

ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECÆ REGIÆ PARISIENSIS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. III.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.XLI.

EXCERPTA PHILOLOGICA.

PARS I.

DE SCHOLIIS HOMERI PARISIENSIBUS, CUM APPENDICE E SCHOLL. IN ODYSSEAM CODICIS HARLEIANI.

DE SCHOLIIS HOMERI PARISIENSIBUS.

ETSI nullos Scholiastas habeat Bibliotheca Regia Parisiensis in Homeri Carmina, qui cum Venetis, vel Townleiano Musei Britannici, vel Lipsiensi, antiquitate aut præstantia æquiparari possint, aliqua tamen insunt in iis Codicibus, quos ibi evolvere mihi contigit, quæ digna notatu visa sunt, nec in nova horum Scholiorum editione prætermittenda. Brevem itaque de horum Librorum indole notitiam, et satis ampla ex iis excerpta, in hac Operis mei parte inserere haud inutile fore duxi, nec ingratum viris harum rerum studiosis, præsertim cum in sua Scholiorum Homericorum editione, nullam Parisiensium librorum rationem habuerit Bekkerus.

Cod. 2679. est exemplar Edit. Princ. Homeri Flor. impr. cum Scholiis uberrimis Marginalibus Arsenii manu, ut testatur Catalogus, descriptis. E quonam Codice deprompta fuerint hæc Scholia non liquet, sed maximam affinitatem habere cum Codice Leidensi, ex iis Scholiis quæ hinc vulgavit Valcknaerius, in promptu fuit discernere. Quædam Eustathio communia esse videntur; sed pleraque Porphyriana sunt, neque alibi forsan nisi in Leidensi Cod. invenienda.

ILIAD. A.

V. 42. ΤΙΣΕΙΑΝ Δαναοὶ] Τιμήσειαν τὰ ἐμὰ δάκρυα οἱ Ἕλληνες τοῖς σοῖς βέλεσι· διατί δὲ οὐ κατὰ Ἀγαμέμνονος ηὔχετο τοῦ ὑβρίσαντος ὁ Χρύσης, ἀλλὰ κατὰ τῶν Ἑλλήνων; φαμὲν ὅτι Ἀγαμέμνονος ἀποθανόντος, ὁ στρατὸς ἐλύετο, καὶ Χρυσηῒς εἰς τὴν Ἑλλάδα ἀπήγετο· ἀναιρουμένων δὲ τῶν ὄχλων, ζήτησις δὲ ἦν τοῦ πάθους, ἀπόδοσις δὲ τῆς κόρης· καὶ ἀποθανὼν μὲν Ἀγαμέμνων, ἄλυπος ἦν, ζῶν δὲ βασανίζεται, ὁρῶν ἀπολλυμένους τοὺς ὄχλους. ἢ πᾶσιν ἠράσατο ἀνθ' ὧν ὁμοῦ γενόμενοι, οὐκ ἐπέσχον τὴν τοῦ βασιλέως ὕβριν· καὶ γὰρ Ἡσίοδος φησὶ "πολλάκις καὶ "ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηῦρα."

63. Ἡρωδιανὸς τελείαν δίδωσι, καὶ κοινὸν τὸν μάντιν· ὁ δὲ Πορφύριος τὸ διὰ οἰωνῶν, ἢ σημείων, ἢ τεράτων μαντευόμενον· ὀνειροπόλον δὲ τὸν ὀνειροκρίτην.

85. Τρία εἰσὶν ὀξυνόμενα, εἰπὲ, ἐλθὲ, εὑρὲ, ὁ Ἡρωδιανὸς δὲ λέγει ὅτι ταῦτα παραληγόμενα μακρᾷ, ταύτης ἔλαχε τῆς

τάσεως· τὰ γὰρ βραχεία παραληγόμενα, βαρύνονται· Ἀττικὸν δὲ τὸ ἴδε καὶ λάβε.

104. Εἴκω τὸ ὁμοιῶ, εἶκα, εἴκειν, εἰκέτην, εἴκτην, καὶ ἐν διαιρέσει ἐΐκτην.

108. Δυσκαταπαύστως ἔχουσιν πρὸς τὰς κατηγορίας οἱ ὀργιζόμενοι, καὶ τὰ αὐτῶν ἐπαναπολοῦσι· συντείνει δὲ τοῦτο εἰς τὸ δεκαετῆ μαντεύσασθαι ἐν Αὐλίδι τὸν πόλεμον, ὅσον ἀπὸ τοῦ συμβόλου τῶν στρουθῶν. ἐντεῦθεν οἱ νεώτεροι ὁρμηθέντες[a] ἱστοροῦσιν, ὅτι τῶν Ἑλλήνων ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας ἀθροισθέντων, Κάλχας ὁ μάντις ἐξεφώνησε, μὴ δύνασθαι εἰς Ἴλιον ἄλλως ἐκπλεῦσαι αὐτοὺς, εἰ μὴ Ἀγαμέμνων Ἰφιγένειαν τὴν θυγατέρα αὐτοῦ σφαγιάσει τῇ Ἀρτέμιδι, ἅτε φονεύσαντος αὐτοῦ τὴν ἱερὰν αἶγα τὴν τρεφομένην ἐν τῷ ἄλσει αὐτῆς, καὶ πρὸς τοῦτο καυχησάμενον εἰπεῖν, ὅτι οὔτε αὐτὴ ἡ Ἄρτεμις οὕτως ἂν ἐτόξευσε· τοῦ δὲ Ἀγαμέμνονος διὰ τὴν πολλὴν ἀνάγκην παραστήσαντος τὴν κόρην τῷ βωμῷ, κατοικτείρασαν τὴν θεὰν, καὶ ἔλαφον ἀντὶ τῆς παρθένου παραστήσασαν, σῶσαι, καὶ ἐν Ταύροις τῆς Σκυθίας εἰς τὸ ἱερὸν τῆς θεοῦ πεμφθῆναι αὐτήν. ἡ ἱστορία παρὰ πολλοῖς μὲν μακροτέρῳ, καὶ παρὰ Δίκτυϊ τῷ γράψαντι τὰ Τρωϊκά.

115. Δέμας ὁ ποιητὴς τὸ ἔμψυχον εἴωθε λέγειν παρὰ τὸ δεδέσθαι, σῶμα δὲ, τὸ ἄψυχον, ἐπεὶ σῶμα τί ἐστι τοῦ ποτε ζῶντος· Εὐριπίδης μέντοι ἐνηλλαγμένως, δέμας μὲν ἐπὶ νεκροῦ λέγει, σῶμα δὲ ἐπὶ τοῦ ἐμψυχωμένου.

δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι·

καταχρηστικῶς δὲ καὶ οὐ κυρίως.

117. Τὸ ἦ, ἀντὶ τοῦ ἤπερ διασαφητικοῦ, ἔστι δὲ μετὰ ἤθους. Πορφύριος δὲ, παραδιαζευκτικὸν ἀντὶ τοῦ καὶ· θέλω γάρ, φησι, τὸν ὄχλον σώζεσθαι, καὶ αὐτὸς ἀπολέσθαι· καὶ ἔλαβε τὸν σύνδεσμον ἀντὶ τοῦ καί.

137. Οὐκ ἐλλιπὲς τὸ τῆς φράσεως, ἀλλ' ἀρχαϊκὸν, Ἀριστοφάνης ἐν τῷ Πλούτῳ· "καὶ μὴν περὶ τούτου σφῶϊν θέλω "δοῦναι λόγον τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω μόνην ἀγαθὴν "ἁπάντων οὖσαν αἰτίαν ἐμὲ ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς, εἰ δὲ "μὴ, ποιεῖτον ἤδη τόθ' ὅταν ὑμῖν δοκεῖ." καὶ Πλάτων ἐν Ἑλλάδι· "εἰ μὲν σὺ τὴν θάλασσαν ἀποδώσεις ταύτην ἑκὼν, εἰ δὲ μὴ,

[a] οἰμηθέντες Cod.

“ταῦτα πάντα σὺν τριαίνῳ ἀπώλεσα.” καὶ Μένανδρος· “εἰ μὲν “δή τινα πόρον ἔχεις, εἰ δὲ μὴ, νενόηκ᾽ ἐγώ· μισῶ μὲν ἀλλή-“λους.” καὶ Σοφοκλῆς ἐν Ἀκανθοπλῆγι· “εἰ μέν τις οὖν ἔξει-“σιν· εἰ δὲ μὴ, λέγε[b].”

195. Ὅ ἐστιν ἡ φρόνησις· δεῖ γὰρ ὄντως αὐτὴν καταβαίνειν οἷα καὶ τῆς κόμης αὐτὴν κρατεῖν, ἔνθα ἵδρυται τὸ λογικὸν τῆς ψυχῆς μέρος· εὐλόγως δὲ καὶ οἱ μυθογράφοι φασὶν, ἔγκυος οὖσα ἡ μῆτις τὴν Ἀθηνᾶν, κατεπόθη ὑπὸ τοῦ Διὸς, καὶ ἀπὸ τοῦ Διὸς αὐτοῦ τῷ ὡρισμένῳ τῆς ἀποκυήσεως χρόνῳ, ἐξέθορεν ἡ θεὸς σὺν ὅπλοις· ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ ἐν πρώτῳ.

298. Μαχήσομαι] Ἀρίσταρχος διὰ τοῦ η̄, ὁ δὲ Ἡρακλέας, τὰ ὀνόματα διὰ τοῦ η̄, τὰ δὲ ῥήματα διὰ τοῦ ε̄· “Σολύμοισι “μαχέσατο.”

312. Τὰ ὑγρὰ κέλευθα κατὰ μεταπλασμὸν γένους εἰς ἕτερον γένος, ὡς ἀπὸ τοῦ τράχηλος, τὸ τράχηλον, ἔνθεν πληθυντικῶς “τὰ τράχηλα γυμνάζει,” καὶ λύχνος, λύχνα, καὶ δίφρος, δίφρα· καὶ ἀπὸ τοῦ ἐρετμὸς, ἐρετμὰ, ἔνθεν “ἔρετμα προήκεα.” τάρταρος ἀρσενικὸν, καὶ κατὰ μετάκλισιν ἡ τάρταρος παρὰ Πινδάρῳ, καὶ οὐδέτερον τὸ τάρταρον. Ἡσίοδος “τάρταρά τ᾽ ἠερόεντα.” τοιοῦτον καὶ τὸ “ὑγρὰ κέλευθα·” ἔστι δὲ παρὰ τὸ ἐλεύθω.

Ὁ Ζεὺς παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν περισσῶς τῇ παρρησίᾳ ἐχρῆτο, πολλὰ αὐθάδη διαπρασσόμενος· Ποσειδῶν δὲ καὶ Ἥρα καὶ Ἀπόλλων καὶ Ἀθηνᾶ ἐβούλοντο αὐτὸν δήσαντες ὑποτάξαι· Θέτις δὲ ἀκούσασα παρὰ τοῦ πατρὸς Νηρέως, ἦν γὰρ μάντις, τὴν Διὸς ἐπιβουλὴν, ἔσπευσε πρὸς αὐτὸν ἐπαγομένη, Αἰγαίωνα, φόβητρον τῶν ἐπιβουλευόντων θεῶν. ἦν δὲ θαλάσσιος δαίμων οὗτος, καὶ τὸν πατέρ αΠοσειδῶνα κατεβράβευεν. ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος, τὴν μὲν Ἥραν καὶ τὴν Ἀθηνᾶν ἐν δεσμοῖς ἐδάμασε· Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι τὴν παρὰ Λαομάδοντος θητείαν ἐψηφίσατο· τῇ δὲ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν εἰς τὰ μεταταῦτα ἐταμιεύσατο· ἱστορεῖ Δίδυμος. Ὀλύμπιοι δὲ ἄλλοι οἱ Τίτανες, καὶ γὰρ ἐν ἄλλοις φησὶ, μαζ[δ] γὰρ καὶ μάχης[b] ἐπύθοντο καὶ ἄλλοι ὑπερνέρτεροι[c] εἰσὶ θεοὶ, Κρόνον ἀμφὶς ἐόντες. Ἡσίοδος ἐν

[b] Horum antiquior fons est Scholiasta Cod. Reg. 2676. quem excerpsit Arsenius et ante eum Eustathius.

[c] Leg. μαλὰ γάρ κε μάχης. [d] Leg. οἵπερ νέρτεροι.

τῇ αὐτοῦ Θεογονίᾳ φησὶ τά τε ἄλλα περὶ τῶν γεννηθέντων ἐξ οὐρανοῦ καὶ γῆς, καὶ δὴ καὶ ταῦτα. (v. 147.)

ἄλλοι δ' αὖ γαίης τε καὶ οὐρανοῦ ἐξεγένοντο·
τρεῖς παῖδες μεγάλοι καὶ ὄβριμοι, οὐκ ὀνομαστοὶ,
Κόττος[d] τε Βιάρεώς τε, Γύγης, ὑπερήφανα τέκνα,
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων αἴσσοντο,
ἄπλαστοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα.

ζητητέον καὶ τὰ ἑξῆς.

449. καὶ οὐλοχύτας ἀνέλοντο] Ἤτοι ἀνέλαβον, εἰσὶ δὲ κριθαὶ μετὰ ἁλῶν μεμιγμέναι, ἃς ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις πρὸ τοῦ θύεσθαι, ἤτοι πολυπαθείας χάριν, ἢ μνήμην ποιούμενοι τῆς ἀρχαίας βρώσεως· ὡς γάρ φησι Θεόφραστος ἐν τῷ περὶ εὑρεμάτων[e], πρινὴ μάθωσιν οἱ ἄνθρωποι ἀλεῖν τὸν δημητριακὸν καρπὸν, οὕτως σώας αὐτὰς ἤσθιον, ὅθεν ὅλας αὐτάς φησιν ὁ ποιητής.

465. Λείπει τὸ ἄρθρον Ὁμηρικῶς. τὸ δὲ μιστύλλειν, παρὰ τὸ μιστὸς ὃν οὐκ ἔχει, ὡς οὐδὲ τὸ μικρὸν, παρὰ τὸ μεῖον. μίστυλλον τ' ἄρα τἄλλα, ὡς τἄργα· ὁ δὲ Ἡρωδιανὸς τόν τε παραπληρωματικὸν ἀποδέχεται, καὶ λείπειν τὸ ἄρθρον Ὁμηρικῷ ἔθει.

526. Εἰς τὸ τέκμαρ[f] στίζουσιν οἱ πολλοὶ, συνάπτοντες τὰς ἄνω· ἔνιοι δὲ ἐφεξῆς ἀναγινώσκουσιν. " ἦ δὴ λοίγια ἔργα " ὅτ' ἐμ' ἐχθοδοπῆσαι ἐφήσεις Ἥρῃ· ὅταν μ' ἐρέθῃσιν ὀνειδίοις " ἐπέεσσιν." Ἀρίσταρχος τὸ Ἥρη κατ' εὐθεῖαν φησὶν, ἵν' ᾖ ὅταν με ἐρέθῃσιν ἡ Ἥρα, τότε με ἐχθοδοπῆσαι ἐφήσεις. Ἄλλως· ὅταν ἡ Ἥρα ὑπονοήσῃ με σοὶ παρέχοντα χάριν, παροξύνῃ λόγοις χρωμένη ἐρεθιστικοῖς.

579. ἡμῖν δαῖτα] Ὁ Πτολεμαῖος ἡμῖν ἀντὶ τοῦ ἡμῶν, ὁ δὲ Ἀρίσταρχος ἧμιν.

607. ἧχι ἑκάστῳ] Ἀρίσταρχος καὶ Διονύσιος δίχα τοῦ ῑ. πρῶτος δὲ Ὅμηρος ἀρχὴν ἔδωκεν ἀπὸ τῶν μαθητῶν εὑρηκὼς ἕκαστον τῶν θεῶν οἶκον ἴδιον ἔχειν.

B.

205. Δηλοῖ δὲ τὸ ἀγκύλον παρὰ τῷ Ποιητῇ τρία· τὸ σκολιὸν, ὡς ὅταν λέγῃ, ἀγκυλομήτην τὸν Κρόνον· καὶ τὸ περιφερὲς κατὰ σχῆμα, ὡς τὸ ἀγκύλαι· καὶ τὸ ἰσχυρὸν, ὡς τὸ " ἀγκύλον

[d] κότος Cod. [e] ἐρευμάτων Cod. [f] Leg. τέκμωρ.

“ ἅρμα.” ἐνταῦθα δὲ ὁ σκολιὰ βουλευσάμενος κατὰ τοῦ πατρὸς καὶ τῶν παίδων, ὥς φησιν Ἡσίοδος μύθῳ, τοῦ μὲν γὰρ τὰ αἰδοῖα τῇ ἅρπῃ ἀπέταμε, τοὺς δὲ κατέπινεν· ἢ ὁ τὰ ἀγκύλα καὶ σκολιὰ καὶ δυσχερῆ πράγματα τῇ μήτιδι περιλαμβάνων, καρόνους τις ὢν καὶ τέλειος.

308. δράκων] Οὔτινος δράκοντος τὸ ὄνομα, ὁ Πορφύριος ἐν τοῖς ζητήμασι φησὶν αὐτὸν Σθένιον· οὕτω γὰρ ἱστορεῖται Διονυσίῳ ἐν τῷ έ τῶν ἀπόρων.

Δεῖπνον τὸ πρωϊνὸν, μεθ' ὃ δεῖ πονεῖν, ἐργάζεσθαι. δόρπος ἐστὶν ἡ ἑσπερινὴ τροφὴ, παρὰ τὸ οἱονεὶ παύεσθαι τηνικαῦτα τοῦ δόρατος, ἤγουν τοῦ πολέμου καὶ ἡσυχάζειν. Καὶ ἄλλως— Δεῖπνον ἑωθινὸν ἄριστον ὃ διὰ τὴν ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται, δόρπον δὲ τὸ ἑσπερινὸν, τὸ δὲ δεῖπνον ἔσθ' ὅτε πᾶσαν τροφήν· Αἰσχύλος δὲ κακῶς,

ἄριστα, δεῖπνα, δορπάθ' αἱρεῖσθαι τρία·

οὐδὲ μνηστῆρες γὰρ οὐδὲ Κύκλωψ τρίτον τροφῇ ἐχρῶντο.

435. Τραγικὴ[g] διδασκαλία, χρόνου μὴ φείδεσθαι, οὔτε γὰρ παρελθόντα ἀνακαλέσασθαι, οὔτε αἰτήσαντες λαβεῖν, αὐτὸν δυνάμεθα, ἐρωτηθεὶς γὰρ Ἀλέξανδρος πῶς τῆς Ἑλλάδος περιεγένετο; “ μηδὲν ἀναβαλλόμενος εἰς τὴν αὔριον” εἶπεν.

403. πίονα, πενταέτηρον] Ὅτι βοῦν ἱέρευσεν Ἀγαμέμνων τῷ Διῒ πίονα πενταέτηρον, ὡς βασιλεὺς βασιλικὸν ζῶον τῷ βασιλεῖ, ὡς τελείῳ φασὶ τέλειον, ὡς μέγα μεγίστῳ, ὡς δυνατῷ ἀκμαῖον. ἀκμάζει γὰρ ὁ πενταέτηρος βοῦς, ὅπου γε Ἡσίοδος καὶ τοὺς ἐνναετῆρας ἀρίστους εἰς ἐργασίαν γῆς λέγει, καὶ ἥβης μέτρον φησὶ, καὶ Ἀριστοτέλης οὖν ἱστορήσας ἀκμάζειν μάλιστα, τὸν βοῦν πενταέτη ὄντα, λέγει ὀρθῶς πεποιηκέναι τὸν Ὅμηρον βοῦν ἄρσενα πενταέτηρον, καὶ γίνεται δὲ ἐκ τοῦ πενταετὴς ἢ πενταέτης, ὁ πενταέτηρος.

462. Ἐν τῷ τῆς Ἀσίας συμφύτῳ, ἢ ἐν τῷ ἰλώδει τόπῳ, ἄσις γὰρ ἐστὶ κατὰ διάλεκτον ἡ ἰλύς· ἄλλοι δὲ Ἀσίου ὀνομαστικῶς ἀπὸ Ἀσίου τοῦ Λυδῶν, ὃς κατὰ προχοὰς, ὥς φησι Πτολεμαῖος, πηλώδη τὸν τόπον ἐργάζεται.

783. εἰν ἀρίμοις] Τὰ Ἄριμα οἱ μὲν ὄρος τῆς Κιλικίας φα-

g Leg. στρατηγικὴ cum Bekker.

σὶν, οἱ δὲ Λυδίας· ὁ δὲ Τυφὼν, εἷς τῶν γιγάντων Γῆς ὢν καὶ Ταρτάρου πολέμιος τοῖς θεοῖς, ὥς φησιν Ἡσίοδος, ἐκεραυνώθη ὑπὸ Δίος. (Theog. 821.)

824. Ζέλεια πόλις ἐν μεθορίοις τῆς Τροίας οὖσα, καὶ ὑπὸ τῇ Ἴδῃ πατρὶς Πανδάρου[f], ὑπὸ τὰ ἔσχατα μέρη τῆς Ἴδης· πόδα γὰρ τὸ κατώτερον μέρος μεταφορικῶς, ὃ ἡμεῖς ὑπώρειαν καλοῦμεν.

877. Ἐν τῇ συντάξει ζητοῦμεν εἰ στικτέον ἐπὶ τὸ

τηλόθεν ἐκ Λυκίης Ξάνθου ἀπὸ δινήεντος,

ὑποτελὴς γάρ ἐστιν, ἥτις τρίχρονος δύναται εἶναι· ἡ γὰρ κατὰ στοιχεῖα διαίρεσις, γραμματικόν ἐστιν· ὁ μέν τοι ποιητὴς ζητῶν πραγμάτων φήσιν[g], ἐνοῖ τὸ σωμάτιον, καὶ τὰ ἔπη ἐπιφ [h] γὰρ ὁ ποιητὴς σύνδεσμον τὸν αὐτὰρ συνδήσας τοῖς προκειμένοις, καὶ τοῦτο ληπτέον εἰς τὸ μὴ κατὰ ῥαψῳδίαν γεγραφέναι. ἐπὶ μέντοι τοῦ τέλους τοῦ σώματος περισσὸν τὸ στίζειν· σιωπῇ γὰρ αὐτὸ ἐκδέχεται ἡ στιγμή (Γ. 1.). Ζητεῖται δὲ πάλιν πῶς τὸν ἀτὰρ σύνδεσμον δεῖ προφέρεσθαι, πότερον ὀξυτόνως ἢ βαρυτόνως, οἱ μὲν γάρ φησιν ὀξυτόνως ἀναγνώκασιν ὡς Καλλίμαχος, οἱ δὲ βαρυτόνως, λόγῳ τῷδε· πᾶσα λέξις εἰς ᾱρ λήγουσα βαρυτονεῖται, οἷον, ἄφαρ, εἶθαρ, δάμαρ, στέαρ, οὖθαρ· ῥητέον δὲ ὅτι οὐδεὶς συμπλεκτικὸς ἢ βαρύνεται, ἢ περισπᾶται, πάντες δὲ ὀξύνονται.

Γ.

13. Ἀελλὴς, ὡς ἀδεὴς, Ἀριστοφάνης·

θαλασσίας κονισάλου ὤρνυτ' ἀελλής.

ἄριστος δὲ κριτὴς ὁμοιοτήτων Ὅμηρος, ὁμίχλη γὰρ καὶ κονιορτὸς ὁμόχροα, καὶ ὁμοίως ἐπιπροσθοῦντα τοῖς ὄμμασιν.

52. Τὸ δὲ "οὐκ ἂν δὴ μείνειας" δύναται καὶ μετὰ ἠθικῆς πεύσεως καὶ μετὰ βεβαιώσεως· τινὲς δὲ τὸν ἢ ἀντὶ τοῦ εἰ, "εἰ "ταῦτα πεποίηκας." οὐχ ὑφίσταται τὸν ἄνδρα τῆς γυναικὸς, καὶ προκρίνει Νικάνωρ τόδε.

318. λαοὶ δ' ἠρήσαντο θεοῖς] Ὁ Νικάνωρ στίζειν εἰς τὸ θεοῖσιν, ἵνα μὴ ὡς ἑτέροις ἔσονται θεοῖς ἀνατείνοντες.

401. Μηονίης ἐρατεινῆς] Λυδίας λέγει· Μήονες γὰρ τὸ παλαιὸν ἐκαλοῦντο οἱ Λυδοί. εἶτα Λυδοὶ ἀπὸ Λυδοῦ τοῦ Ἄτυος[i], ὥς φησιν Ἡρόδοτος ἐν τῇ α΄.

[f] πινδάρου Cod. [g] Sic. [h] Sic, ἐπιφέρει leg. [i] ἄστεος Cod.

424. φιλομειδὴς Ἀφροδίτη] Ἡ φιλόγελως, ἱλαρὰ, καθ' Ὅμηρον· κατὰ δὲ Ἡσίοδον, ὅτι μηδέων ἐκείνων ἐξεφαάνθη, ὅ ἐστιν αἰδοίων.

Δ.

137. μίτρης θ' ἦν] Μίτρα ἐλέγετο τὸ ἐσώτερον τῆς λαγόνος εἴλημα. τὸ δὲ ἔρυμα, Ζηνόδοτος καὶ Ἀριστοτέλης ἔλυμα λέγουσι.

147. μηροὶ εὐφυέες] Εὐφυεῖς μηροὶ οἱ εὖ πεφυκότες καὶ τῷ ὅλῳ σύμμετροι. ὅτε μέν τοι εὐφυέα που πτελέην ἐν τοῖς ἑξῆς ἐρεῖ ὁ ποιητὴς, τότε μάλιστα κυριολεκτεῖ. οἱ δέ γε παρὰ τοῖς ὕστερον εὐφυεῖς, ψυχικῶς ἐπαινοῦνται, καὶ εὖ πεφυκότες εἰς τὸ μαθεῖν. τὸ δὲ παρ' Εὐριπίδῃ "εὐφυὲς πρόσωπον," κατὰ τοὺς εὐφυεῖς ἐρρέθη μηροὺς, ἐκ τῆς μεθ' Ὅμηρον φυῆς· σφυρὰ δὲ καλὰ τῷ Μενελάῳ, πρὸς ἀναλογίαν καὶ αὐτὰ τοῦ ὅλου σώματος.

235. ἐπὶ ψεύδεσσι] Ἀρίσταρχος τοῖς ψεύσταις Τρωσὶν, εἰ δὲ τὸ πρᾶγμα ἠβουλήμεθα παραλαβεῖν Ἑρμῇ[k], ψεύδεσιν ἀνέγνωμεν ἂν, ὡς βούλησιν, ἵν' ἀπ' εὐθείας ᾖ τῆς ψεῦδος. ἐπεὶ οὐδέ ποτε, φησὶν, ὁ ποιητὴς οἶδεν ἁπλοῦν τὸ ψευδὴς, ἐν δὲ συνθέσει φιλοψευδής. καὶ μᾶλλον πειστέον Ἀριστάρχῳ, ἢ τὸ Ἑρμῇ[l].

E.

4. δαῖέ οἱ] Ἄλλο φῶς ἀντὶ Ἀχιλλέως ὁ ποιητὴς ἔγραψεν Ἕλλησιν. δαῖε δὲ αὐτῷ, φαντασίαν πυρὸς ἀπὸ τῶν ὅπλων αὐτοῦ ἐποίει φαίνεσθαι, ὡς πλέον εἶναι αὐτὸν ἐπίφοβον τοῖς Τρωσί. Ζώϊλος δὲ ὁ Ἐφέσιος κατηγορεῖ τοῦ τόπου τούτου καὶ μέμφεται τὸν ποιητὴν, ὅτι λίαν γελοίως πεποίηκεν ἐκ τῶν ὤμων τοῦ Διομήδου πῦρ καιόμενον· ἐκινδύνευσε γὰρ ἂν καταφλεχθῆναι ὁ ἥρως· ἔνιοι μὲν οὖν παρειλῆφθαι τὸ ῶς κατὰ συνήθειαν τῷ ποιητῇ, ὡς καὶ ἐν ἑτέροις,

ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς,

ἀντὶ τοῦ ὡς δέμας πυρός· καὶ ἐνθάδε τὸ "δαῖε ἀκάματον πῦρ," ἵν' ᾖ ὡς πυρὸς φαντασία οὐκ ἰδικῶς πῦρ.

Ad fin. Schol. ad v. 385. Βέλτιον δὲ ὅτι φιλοσοφεῖν βούλεται διὰ τῆσδε τῆς ῥαψῳδίας, ὡς καὶ δι' ὅλης τῆς ποιήσεως· Ἄρη δὲ ὀνομάζει τὸν θυμόν.

k Ἑρμαπίᾳ leg. l τῷ Ἑρμαπίᾳ leg.

397. ἐν πύλῳ] Ὁ μὲν Ἀρίσταρχος τὸ πύλῳ κατὰ μεταπλασμὸν ἀντὶ τοῦ πύλην, ὡς ἀπὸ τοῦ πολύαρνι, πολύαρνα, καὶ ἀντὶ τοῦ ἐν πύλῳ, πρὸς τῇ πύλῃ· οὐ γὰρ ἐν τῇ πόλει τῶν Πυλίων λέγει, ἀλλ' ἐν τῇ πύλῃ τῇ τῶν νεκρῶν, κατὰ τὴν τοῦ Κερβέρου ἀναγωγήν.

493. δᾶκε δὲ φρένας Ἕκτορι μῦθος] Ἐκ τούτου παρ' Εὐριπίδῃ τὸ, "μή τι σὴν δάκω φρένα." ἐν ἄλλοις σύγκειται "δακέθυμος ἄτα," καὶ ὁ "θυμοδακὴς μῦθος." (Od. Θ. 185.) εἰ δὲ μελεδῶνες αἱ φροντίδες τὰ μέλη ἔδουσαι, χείρων ἂν εἴη ὁ καταφορικὸς λόγος, οἷα τὸν θυμὸν δάκνων, ἤτοι αὐτὴν τὴν ψυχήν. τούτοις δὲ συστοιχεῖ καὶ τὸ θυμὸν κατέδειν, καὶ τὸ θυμοφθορεῖν δὲ ὃ κεῖται παρὰ Σοφοκλεῖ.

H.

9. Ἄρνη πόλις Βοιωτίας, ἔστι δὲ καὶ τῆς Θεσσαλίας.

— Κορυνήτης ὁ τῇ κορύνῃ μαχόμενος, τουτέστι ῥοπάλῳ. ἔστι δὲ ἐπίθετον Ἀρηΐθου· οὗτος δὲ Ἀρηΐθοος ὁ Βοιώτιος, ἄριστος τῶν κατ' αὐτὸν ἀνθρώπων, διαβὰς εἰς τὴν Ἀρκάδα ἦν γὰρ ἀψιμαχία τοῖς βεβρότων Βοιωτῶν πολίταις, καὶ τοῖς Ἀρκάσι περὶ γῆς ὅρων, πλείστην ἐντεῦθεν κατεσύρατο λείαν. καταφρόνησιν δὲ μεγάλην αὐτοῦ ἐμβαλόντος Ἀρκάσι, Λυκοῦργος ὁ τῶν ἐνταῦθα κράτιστος ἀνὴρ, λόχον ποιήσας, ἔπεισε[1] τὴν πολλὴν τοῦ Ἀρηϊθόου φάλαγγα. ἀνεῖλε δὲ αὐτὸν, καὶ ὑπολαβὼν τὴν λείαν ἔτι καὶ πρὸς ἄμυναν παντευχίαν, μετὰ τῆς κορύνης. ἡ ἱστορία παρὰ Φερεκύδῃ.

256. σύν ῥ' ἔπεσον λείουσιν ἐοικότες] Σημείωσαι ὅτι καὶ ἐνταῦθα δυσὶ συντομωτάταις Ὅμηρος χρῆται παραβολαῖς προσηκόντως τῷ καιρῷ συνεπιτρέχων οἷον τῷ λόγῳ, καὶ στενοχωρῶν αὐτὸν τοῖς φραζομένοις πράγμασι. λέγει γὰρ ὅτι ἐκσπασάμενοι καὶ τὰ ἑξῆς· "τῶν τε σθένος οὐκ ἀλαπαδνόν·" ὡς τῶν θηλέων δηλαδὴ συῶν ἀλαπαδνῶν οὐσῶν· καὶ ὅρα τὸ ἐκσπασάμενος ἀπὸ τῶν φυτῶν ληφθὲν, μέσως πῶς, ἤγουν σεμνῶς, ἐὰν ἀπὸ δένδρων μετήνεκται, ἢ μικροφυῶς ἐὰν ἀπὸ φυταρίων ἴσως γέγονεν ἡ τροπὴ, ὅπερ οὐκ ἂν εἴη ὡς δηλοῖ, καὶ τὸ "σὺν ῥ' ἔπεσον," τὸ γὰρ συμπεσεῖν ὡς ἐπὶ μεγάλων σωμάτων καὶ αὐτὸ εἴρηται, ὑψόθεν καταρασσομένων εἰς

[1] Leg. ἔσεισε.

ἄλληλα, οἷον, νεφελῶν ἢ λίθων ὀρεινῶν ἢ τοιούτων τινῶν. οἱ δὲ μεθ᾽ Ὅμηρον τὴν λέξιν καὶ ἐπὶ τυχηρῆς ἀποβάσεως τιθέασι. λέγεται δέ ποτε ἐμπεσεῖν καὶ τὸ ἅμα πεσεῖν. Ἰστέον δὲ ὅτι ἐκ τοῦ σπᾷν, ἐξ οὗ τὸ ἐκσπάσασθαι, οὐ μόνον ἐπὶ φυτῶν τὸ ἀνασπᾷν λέγεται, ἀλλὰ καὶ ἐπὶ ἀλαζονείας, ὡς δηλοῖ καὶ παρὰ Σοφοκλεῖ, τὸ "λόγους ἀνέσπα," οὗ ὅμοιον καὶ τὸ ὀφρῦς ἀνασπᾷν, οἷς ἐναντίον τὸ κατασπᾷν, ἐκεῖθεν δὲ καὶ τὸ "προανεσπάσθησαν κλίμακες," ἤγουν ὑψώθησαν κτισθεῖσαι. δῆλον δὲ ὡς καὶ ἕτεραι προθέσεις τῷ αὐτῷ ῥήματι συντεθεῖσαι, διάφορα ποιοῦσιν ὀνόματα, ὡς δῆλον ἐκ τοῦ συσπᾷν, καὶ διασπᾷν, καὶ παρασπᾷν, τῷ ἀφαιρεῖσθαι γῆν τυχὸν, ἢ ἕτερόν τι, καὶ ἐκ τοῦ ἀντισπᾷν, καὶ τῆς ἐπισπάσεως, καὶ τοῦ περισπασμοῦ καὶ ἑτέρων. ἐν δὲ τῷ "λείουσιν ὠμοφάγοισιν, ἢ συσὶ "κάπροισι," συχνὰ διὰ τὸ κάλλος τὰ πέρισσα. καὶ ἐνταῦθα γενικὸν μὲν τὸ συσὶν, εἰδικὸν δὲ τὸ κάπροισιν. καὶ ἔστι καὶ αὐτὸ ὅμοιον τῷ βοῦς, ταῦρος, καὶ τοῖς τοιούτοις.

409. *νεκύων κατατεθνειότων*] Θατέρα λέξις περιττῶς κεῖται· ὁ δὲ παλαιὸς ἀστεῖος ἐκεῖνος ὁ τοὺς χλωροὺς ἀνθρώπους νεκροὺς ὀνομάσας, εἴποι ἂν ἐντεῦθεν λαβεῖν τὴν ἀρχὴν, ὡς τῶν τοιούτων παρ᾽ αὐτῷ νεκρῶν οὐ τεθνεώτων. ἱστορεῖ γάρ τινα ὁ Ἀθήναιος βαρὺν δοκοῦντα ὅτι ἔσκωπτε τόπον τινὰ ὡς νοσερὸν φάναι πρὸς τοὺς αἰτιωμένους ἐποίκους, ὡς καὶ πῶς ἂν πόλιν οὐκ ἐρεῖ (sic) νοσώδη, ἔνθα καὶ οἱ νεκροὶ περιπατοῦσιν;

Θ.

70. *ἐν δ᾽ ἐτίθει δύο κῆρε*] Πρὸς Αἰσχύλον Ψυχοστασίαν γράψαντα, καὶ τὸ κῆρ᾽ ἀκούσαντα οὐκ ἐπὶ τῆς μοίρας λεγόμενον, ἀλλ᾽ ἐπὶ τῆς ψυχῆς. ὅτι θηλυκῶς μὲν ἡ κὴρ τὴν μοῖραν δηλοῖ· οὐδετέρως δὲ τὸ κῆρ καὶ περισπωμένως τὴν ψυχὴν, ὃ διαιρεῖται εἰς κέαρ.

I.

7. Τὸ πάρεξ ὁ Τυραννίων[m] ἓν μέρος λόγου ἤκουσεν, ἵν᾽ ᾖ ἐπίρρημα, καὶ βαρύνει καὶ ἔχει λόγον, ὡς Ἡρόδοτος ἐν α΄, "πάρεξ τοῦ Σκυθικοῦ ἔθνους." παρὰ δὲ τῷ ποιητῇ τὸ πάρεξ δύο μέρη λόγου εἰσὶ, καὶ ἐγκλίνεται εἰ δύο προθέσεις.

[m] τυράννιος Cod.

K.

12. ἄνωχθι] Τὸ δὲ ἄνωχθι ἐνεστῶτός ἐστι, καὶ παρατατικοῦ μᾶλλον ἢ παρακειμένου· ἀναλογώτερον δὲ τὸ παρὰ Καλλιμάχῳ[n],

ἄνωγε δὲ πορθμέα νεκρῶν,

καὶ δῆλον ὅτι μεταβέβληται τὸ γ̄ εἰς χ̄ ἐν τῷ ἄνωχθι διὰ τοῦ θ̄. ὁ μὲν οὖν Ἀπολλώνιος εἰς ε̄ βούλεται εἶναι τὰ τοῦ παρακειμένου προστακτικὰ, καὶ ἱκανῶς τῷ λόγῳ συνηγόρει. ὁ δὲ Ἡρωδιανὸς[o] τοὐναντίον εἰς θ̄, μηδὲ γὰρ εἰς ε̄ μετάληψιν.

353. πηκτὸν δὲ ἄροτρον τὸ τὴν γύην προσπεπηγότα ἔχον, αὐτόγυιον δὲ τὸ ἐξ αὐτοῦ μονόξυλον, καὶ Ἡσίοδος φησὶ, Δοιὰ θέσθαι ἄροτρα, αὐτόγυιον καὶ πηκτὸν, ὅσον ἀρωτριῶσαι ἡμίονοι ὑπογράφειν δύνανται, ὅ ἐστι πλέθρον.

360. ὡς δ' ὅτε καρχαρόδοντε] Νῦν μὲν κυσὶν αὐτοὺς εἰκάζει διὰ τὸ ἀγρευτικὸν, πρότερον δὲ λέουσι διὰ τὸ ἀπαθές· ὅτι πρωτότυπον ὁ λαγὼς διὰ τὸ ἀπαθὲς τοῦ ο̄ μικροῦ ἔχον τὴν λέγουσαν ὀξυτόνως· οὗ πρὸς διαστολὴν Λάγος τὸ κύριον, πολλοῖς ἀρέσκει τῶν παλαιῶν, πλεονάζει δὲ πρὸ τῆς ληγούσης τὸ μέγα ω̄ κατὰ τὸ κολωὸς, καὶ αὐτοῦ γὰρ προϋπόκειται δισύλλαβον ὄνομα, ὅπερ ὁ κόλον βοῦς, καὶ τὸ κόλον δόρυ δηλοῖ. γίνεται δὲ παρὰ τὸ λάειν ὅ ἐστι βλέπειν ὁ λαγός· τὸ δὲ λέγειν ὅτι λαγὼς παρὰ τὸ λ̄ᾱ ἐπιτατικὸν γίνεται, καὶ τὸ ὦς ὠτὸς, τὸ ὠτίον, ἐξ οὗ δῆθεν ὁ λαγωὸς, δοκεῖ ἔχειν ἀντιλογίαν διὰ τὴν ὀξυτόνησιν· ἐχρῆν γὰρ ἢ περισπᾶσθαι τὴν τούτου λήγουσαν διὰ τὸ ὦς, ἢ ἀλλὰ βαρύνεσθαι διὰ τὴν σύνθεσιν κατὰ τὸ φῶς, ἄφως, καὶ λειψίφως, ἤδη δὲ καὶ λυκόφως. δοκεῖ δὲ Ἀττικοῖς φίλος εἶναι ὁ ἐν δυσὶ συλλαβαῖς λαγὼς, οὗ καὶ ἡ ἑνικὴ γενικὴ τοῦ λαγὼ, καθὰ δὴ ὁ γράψας τὸ,

λαγὼ βίον ζῇς, ὁ πρὶν ἄτρομος λέων.

καὶ πληθυντικὴ εὐθεῖα οἱ λαγὼ, ἐκ δὲ τοῦ τοιούτου λαγὼς καὶ "κρέα λαγῶα" παρὰ τῷ κωμικῷ. μνηστέον δὲ καὶ σοφοῦ εἰπόντος ἐπὶ βασιλεῖ περιελκομένῳ δώροις ὑπό τινος λαγωοφθάλμου, τὸ

ἕλκει λαγὼς λεόντα χρυσίνῳ βρόχῳ.

394. Θοὴν δὲ νύκτα λέγει, ἢ τὴν τῶν ζώων καταθετικὴν εἰς ἀνάπαυλαν, ἀπὸ τὸ θέω, ῶ, τὸ τίθημι, ἢ τὴν ταχεῖαν, ὡς ἀπὸ τοῦ θέω τὸ τρέχω· ἀνεπαισθήτως γὰρ τοῖς ὑπνοῦσι προσερχομένη,

[n] Fragm. 440. Bl. [o] ἡρόδοτος Cod.

δοκεῖ τοῖς ὑπνοῦσι ταχυτέρα τῆς ἡμέρας εἶναι· ἢ μάλιστα φιλοσόφως τὴν κωνοειδῆ, καὶ εἰς θοὸν ἤτοι εἰς ὀξὺ λήγουσαν. ἐπεὶ γάρ φασιν ὁ φωτίζων ἥλιος μείζων ἐστὶ τῆς φωτιζομένης γῆς, κωνοειδὴς γίνεται ἡ αὐτόθεν σκιὰ, ὅ ἐστιν ἡ νύξ· καθόλου γὰρ εἰ τὸ φωτίζον μεῖζον τοῦ φωτιζομένου, κωνοειδὴς ἀποτελεῖται σκιὰ, ὥσπερ ἐὰν ἀνάπαλιν, καλαθοειδὴς, ἐὰν δὲ ἄμφω ἴσα, κυλινδροειδής. ὁ δέ γε Κράτης καὶ ἐν τῇ τοιαύτῃ φιλοσοφίᾳ, τὸ θοῇ ἐπὶ ταχείας τίθησι, λέγων ὡς ἡ νὺξ σκιὰ τῆς γῆς οὖσα, ἰσοταχῶς κινεῖται τῷ ἡλίῳ, διώκουσα οἷον καὶ διωκομένη.

408. πῶς δ' αἱ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναὶ] Πῶς δαὶ, ὁ δαὶ διὰ διφθόγγου, καὶ ἔστι μὲν συμπλεκτικὸς, μόνοις δὲ τοῖς πυσματικοῖς συντάσσεται. καὶ ἀπορεῖ ὁ Ἀπολλώνιος περὶ αὐτοῦ λέγων ὡς οἱ μὲν παραπληρωματικὸν αὐτὸν θέλουσιν εἶναι ἰσοδυναμοῦντα τῷ δὴ ὅτε παρέλκει. οἱ δὲ περὶ Ἀρίσταρχον αὐτὸν φασὶν ἰσοδυναμεῖν τῷ δε τῷ διὰ τοῦ ε ψιλοῦ, καὶ εἶναι συμπλεκτικόν· διόπερ ἐν τῷ,

πῶς δὲ τῶν ἄλλων Τρώων φυλακαί τε,

δυνάμενος ἀποστρέψαι μὲν τὸ δαῖ ἵνα ᾖ ὁ δὲ συμπλεκτικὸς συναληλιμμένος. δασύνει δὲ τὴν αι δίφθογγον καὶ πληθυντικὸν ἄρθρον ἐκδέχεται· δεῖται γὰρ τοῦ ἄρθρου ἡ σύνταξις· τοῦτο μὲν οὐ πεποίηκε, ψιλῶς δὲ τὸν δαὶ προσήγαγε, καθ' ἓν μέρος λόγου σύνδεσμον ἐκδεχόμενος συμπλεκτικὸν, γινώσκων τοῦ ποιητοῦ τοῦτο τὸ ἰδίωμα, ὡς ἐλλειπτικὸς μὲν τῶν ἄρθρων ἐστί· τούτῳ δὲ τῷ συνδέσμῳ μετὰ πυσματικῶν χρῆται.

τίς δὲ ὅμιλος ὅδ' ἔπλετο;
ποῦ δαὶ ναῦς ἕστηκεν;

οἷς ὅμοιον ἐστὶ καὶ τὸ προκείμενον.

409. ἅσσα τε μητιόωσι] Ἰστέον ὅτι οὐ πάνυ εὕρηται χαίρων ὁ ποιητὴς τῇ προφορᾷ τοῦ τ ἀντὶ τοῦ σ, κατὰ τοὺς ὕστερον Ἀττικοὺς, οἳ Ὁμήρου σήμερον λέγοντος, τήμερον αὐτοί φασιν, ὡς καὶ τὴν κοινῶς σύρβην, τύρβην λέγουσι, καὶ τὸ σεῦκλον, τεῦτλον. Αἴλιος δὲ Διονύσιος ἱστορεῖ τοὺς κωμικοὺς μάλιστα ἐκκλίνειν πᾶν τὸ ἔχον σιγμὸν καὶ ἐξήχησιν καὶ ψόφον, ἃ τῇ τραγῳδίᾳ μάλιστα ἂν ἁρμόττοι· διὸ καὶ διασύροντες τοὺς τραγικοὺς, ὡς μὴ τοιούτους προσπαίζουσιν, ἐν τῷ

ἔσωσ' ἡμᾶς ἐκ τῶν σιγμάτων Εὐριπίδου.

λέγει δὲ καὶ ὅτι Περικλέα φασὶ πρῶτον ἐκκλίναι τὸν διὰ τοῦ σ

σχηματισμὸν τοῦ στόματος ἀπρεπῆ καὶ πλατὺν, γυμναζόμενον ἀεὶ πρὸς κάτοπτρον. καὶ ὅτι Θετταλοὶ καὶ Κιτιεῖς οἱ[o] κατὰ Φοινίκην, ἀλλ' οἱ περὶ Κύπρον, ὧν πόλις Κίτιον κληθεῖσα οὕτω φασὶν ἀπὸ Κιτίου γυναικός.

Λ.

27. ἴρισι] Ταῖς ἐν τῷ οὐρανῷ ἴρισι φαινομέναις. ἶρις δέ ἐστι πάθος περὶ τὸν ἀέρα, ἐν νέφει συνεκτεταμένον ἐξ ἡλιακῆς ἀκτῖνος, ὅταν ἐξ ἐναντίας τῷ ἡλίῳ νέφος στῇ πεπιλημένον καὶ πλῆρες ὕδατος, αἱ δὲ ἀκτῖνες προσπίπτωσι τῷ νέφει, καὶ καθάπερ ἀπὸ κέντρου τοῦ ἡλίου περιγράφωσι κύκλον· τότε τοῦ μὲν τῶν ἀκτίνων ἐρυθροῦ φαινομένου πρὸς τὸ κροκοειδὲς, τοῦ δὲ ἐν τῷ νέφει μέλανος ἐκλυομένου πρὸς κυάνεον, ἡ κρᾶσις ἀμφοῖν ἶρις ἐστί. καὶ Ἀναξαγόρας δέ φησιν, ἶρις νεφέλῃσιν ἀντιλάμπει τῷ ἡλίῳ· χειμῶνος οὖν ἐστι σύμβολον· τὸ γὰρ περιεχόμενον ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν, ἢ ἐξέχεεν ὄμβρον. λέγεται δὲ καὶ πορφυρέη ἀπὸ μέρους ἡ ποικίλη, ἢ ὅτι ἔχει τινὰ πορφυρίζοντα· πιθανῶς δὲ τὴν τῆς θεοῦ κατάβασιν θειωτέρᾳ εἰκόνι ὡμοίωσεν ἀλλαχοῦ,

ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ.

καὶ τὰ ἑξῆς.

105. Ἴδης ἐν κνημοῖσι δίδη μόσχοισι λύγοισι] Λύγον φησὶν ὁ ποιητὴς, οὐχ ἁπλῶς τὸν τοῦ τυχόντος δένδρου ἁπαλὸν κλάδον, ἀλλὰ φυτὸν ἱμαντῶδες καὶ ἁπαλὸν, ὃ καὶ οἶσον καλοῦσιν, ἐξ οὗ καὶ οἰσόκαρπον, τὸ κατά τινας ἀγνόκοκκον, ἐπεὶ ὁ λύγος καὶ ἄγνος καλεῖται, οἱονεὶ ἄγονος· ὁ γὰρ αὐτοῦ καρπὸς φασὶν ἐσθιόμενος, ἀφανιστικός ἐστι τῆς γονῆς, διὸ καὶ ἱερεῖς κόμας τοῦ φυτοῦ τούτου ἐπετίθεντο τῇ στρωμνῇ, ὡς φυσικήν τινα δύναμιν εἰς τὸ ἁγνεύειν ἐχούσας. ἐκ δὲ τοῦ τοιούτου λόγου καὶ τὸ λυγίζειν, καὶ οἱ κωμῳδούμενοι ἐν φαύλοις (sic) ὀρχήσεσι λυγισμοί. λέγεται δὲ λυγέα ἰδιωτικῶς, ἧς οἱ ἁπαλοὶ ἀκρέμονες καὶ μᾶλλον αἱ παραφυάδες, καὶ εἰς πλέγμα συστρέφονται, καὶ εἰς δεσμοὺς καί τινας σχοίνους τε καὶ ἱμάντας. ἐν δὲ τῷ ἁπαλὸν ἦτορ, φασὶν οἱ παλαιοὶ ὅτι Ἀντίπατρος ὁ ἰατρὸς συλλογίζεται τὴν ψυχὴν τῷ σώματι διατίθεσθαι ὡς καὶ συναύξεσθαι αὐτῷ καὶ συμμειοῦσθαι· ἁπαλοῦ μὲν ὄντος, τοιαύτην οὖσαν, τελείῳ δὲ ὄντι συντελειουμένην, καὶ συμφθίνουσαν φθίνοντι.

[o] Leg. οὐχ οἱ.

512. *ἄγρει σῶν ὀχέων ἐπιβήσεο*] Οὐχ ὅτι τὸ δέον μᾶλλον ὁρᾷ τοῦ Νέστορος, ἀλλ' ὅτι ἀπίθανον ἦν τοῦτον τὸν λόγον περιθεῖναι αὐτῷ, ὡς περὶ ἰδίας σπεύδοντι ἀπαλλαγῆς. πιθανὴ δὲ αὐτῷ καὶ ἡ ἀναχώρησις κατὰ πρόφασιν τῆς τοῦ ἰατροῦ ἐπιμελείας, ἵνα καὶ τούτου ἔρημον γένηται τὸ στράτευμα· ἀπαλλάσσει δὲ αὐτὸν δευτέρων κινδύνων ὁ ποιητὴς, καὶ ταῦτα στερόμενον τῶν σωζόντων. ἠδύνατο δὲ τοῦτον ὁ ποιητὴς καὶ πεζὸν ἐπὶ τὰς ναῦς ἀγαγεῖν· τὸν γὰρ ὦμον ἦν τετρωμένος, οἰκονομικῶς δὲ ἐφ' ἅρματος ἐποίησεν αὐτὸν διὰ τὸ τῶν ἵππων τάχος, ἵνα παραδράμῃ τοῦ Ἀχιλλέως τὴν ὄψιν, καὶ μὴ δυνηθεὶς καταμαθεῖν ἀκριβῶς τίς ἐστι, τὸν Πάτροκλον τοῦτο εἰσόμενον ἐκπέμψῃ. ἔστι δὲ τὸ μὲν ἄγρει, παρορμητικὸν ἐπίρρημα, τὸ δὲ ἄγε παρακελευστικόν· ἰστέον δὲ ὅτι τοῦ πρακτικοῦ μόνου ἐμνήσθη, καταλιπὼν τὸ θεωρητικὸν, ὅπερ ἐστὶ μέγιστον μέρος τῆς ἰατρικῆς· διὸ μεσολογίαν λογιστέον τὸ, "ἰητρὸς "γὰρ ἀνὴρ," ἀρκεῖ γὰρ εἰς τέλειον ἔπαινον· τὸν ἐπιφερόμενον δὲ στίχον, πρὸς τὸν ἀνώτερον ἀνακτέον, ἵνα ᾖ οὕτως. ταχύτατα δὲ εἰς τὰς ναῦς ἔλαυνε τοὺς μονώνυχας ἵππους, ἰούς τ' ἐκτάμνειν καὶ τὰ ἑξῆς. φασὶ τινὲς ὡς ἐμείωσεν αὐτῷ τὸν ἔπαινον, μερικὴν αὐτῷ προσθεὶς τὴν εἴδησιν, καί τοι φησὶν "ὃς ῥά τε πάσης εὖ εἰδὼς "σοφίης." οἱ μὲν οὖν φασὶν ὅτι τὸ χειρουργικὸν, καὶ τὸ φαρμακευτικὸν, εὕρηται παρὰ τοῖς παλαιοῖς· τοῦ γὰρ διαιτητικοῦ, Ἡροδικὸς μὲν ἦρξατο, συνετέλεσε δὲ καὶ Ἱπποκράτης, Πραξαγόρας, Χρύσιππος. ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτος ἐστὶ κοινὸς, ἀλλὰ τὸν Μαχάονα μόνον χειρουργεῖν θέλουσι· τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαι φασὶ τὰς νόσους. καὶ τεκμήριον ὅτι Ἀγαμέμνων τρωθέντα Μενέλαον, οὐ Ποδαλείριον καλεῖ, ἀλλὰ Μαχαόνα. εἰ δὲ μὴ παράγει τινὰ διαιτώμενον, οὐ θαῦμα· διὰ γὰρ τὸ ἀπρεπὲς παρῆκε τὴν δίαιταν. αἰσχρὸν γὰρ ἦν τὸν ἥρωα πυρέττοντα παραβαλεῖν, ἢ κενούμενον τὴν γαστέρα, ἢ προποτιζόμενον. ἢ μόνων τῶν ἐν πολέμῳ ἐνεργούντων μέμνηται, εἰσὶ δὲ φάρμακα καὶ χειρουργίαι, εἰ δὲ ἀπὸ τῶν ἡττόνων ὁ ἔπαινος, καὶ τοῦτο ἰατρικῆς ἐγκώμιον, τὸ καὶ τὰ ἡττώμενα μέρη ταύτης εἶναι πολλῶν ἀντάξια.

624. *κυκειῶ*] Ἀποκοπὴ ὁ τρόπος καὶ παρένθεσις, ἀποκοπὴ μὲν τοῦ $\overline{να}$, παρένθεσις δὲ τοῦ $\overline{ι}$. ἐπλεόνασε γὰρ τὸ $\overline{ι}$ κυκεῶνα

οὔσης τῆς αἰτιατικῆς· ἔστι δὲ ἀποκοπὴ, μιᾶς συλλαβῆς ἀποβολὴ κατὰ τὸ τέλος. Δωριέων δὲ τὸ πάθος, ἱδρῶτα ἱδρῶ, δῶμα δῶ. ταύτῃ ἐναντίον, προσχηματισμός. τὸ δὲ παρ' Ἡσιόδῳ, (Theog. 933.)

ναῖε δὲ χρύσεα δῶ,

ἀντὶ τοῦ δώματα, οὐ τῶν δύο συλλαβῶν ἐστὶν ἔνδεια· φθάσαν γὰρ ἀπὸ τοῦ ἑνικοῦ ἀποκοπῆναι, οὐκέτι ἐκλίθη.

634. δύω δ' ὑποπυθμένες] Ἤτοι ὅτι διπλοῦς ἦν αὐτῷ ὁ πυθμὴν, ἢ ὅτι ἦν ἀμφίθετον, ὅπερ καὶ κύμβαλον φασὶ, τοῦτο καὶ ἀμφικύμπαλλον καὶ ἀμφικύπελλον φασίν· ὁ δὲ αὐτὸς πυθμὴν λέγεται καὶ πύνδαξ[p], ὅθεν καὶ παροιμία παρὰ Σωκράτει[q],

ἀπυνδάκωτος[r] οὐ τραπεζοῦται κύλιξ.

637. Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν] Διατί πεποίηκε μόνον τὸν Νέστορα αἴροντα τὸ ἔκπωμα; οὐ γὰρ εἰκὸς ῥᾶον αἴρειν νεώτερον. καὶ Στησίμβροτος μέν φησιν, ἵνα δοκῇ πολλὰ ἔτη βεβιωκέναι. εἰ γὰρ παράμονος ἡ ἰσχὺς, καὶ οὐχ ὑπὸ γήρως μεμάρανται, καὶ τὰ τῆς ζωῆς εὔλογον εἶναι παραπλήσια. Ἀντισθένης[s] δὲ οὐ περὶ τῆς κατὰ χεῖρα βαρύτητος λέγειν, ἀλλ' ὅτι οὐκ ἐμεθύσκετο σημαίνειν, ἀλλ' ἔφερε ῥαδίως τὸν οἶνον. Γλαῦκος δὲ ὅτι κατὰ διάμετρον ἐλάμβανε τὰ ὦτα· ἐκ μέσου δὲ πᾶν εὔφορον[t]. Ἀριστοτέλης[u] δὲ τὸ "Νέστωρ δ' ὁ γέρων," ἀπὸ κοινοῦ ἔφη δεῖν ἀκούειν ἐπὶ τοῦ ἄλλος, ἵν' ᾖ ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε τραπέζης, Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. πρὸς γὰρ τοὺς καθ' ἡλικίαν ὁμοίους γενέσθαι τὴν σύγκρισιν.

709. Μολίωνα] Κτέατος καὶ Εὔρυτος παῖδες μὲν ἦσαν Ποσειδῶνος, καὶ Μολιώνης τῆς Μόλου, ἐπίκλησιν δὲ Ἄκτορος, οὕτω παρηλλαγμένην φύσιν τῶν λοιπῶν ἔσχον ἀνθρώπων, διφυεῖς γὰρ ἦσαν, ἔχοντες ἑκάτερος δύο κεφαλὰς, τέσσαρας δὲ χεῖρας, καὶ πόδας τοὺς ἴσους, ἓν δὲ σῶμα, διὰ τοῦτο τοὺς πολεμικοὺς καὶ γυμνικοὺς ἐνίκων ἀγῶνας. Ἡρακλεῖ δὲ πολεμῶν, καὶ μὴ δυνάμενος κατὰ τοὐμφανὲς αὐτῶν περιγενέσθαι, συμμαχούντων Αὐγείᾳ, λοχήσας αὐτοὺς ἀνεῖλε, καὶ οὕτως ἐπόρθησε τὴν Ἦλιν. ἡ ἱστορία παρὰ Φερεκύδῃ.

[p] πίνδαξ Cod. [q] Leg. Σοφοκλεῖ. Cf. Hesych. v. ἀπυνδάκωτος. [r] ἀπινδάκοτος Cod. [s] Ἀντιφάνης Bekker. [t] πανεύφορον Cod. [u] ἔνιοι Bekker.

M.

118. εἴσατο] Τὸ εἴσατο σημαίνει τρία, ἀντὶ τοῦ ὥρμησεν, οὕτως,

εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερὰ,

εἴσατο ἀντὶ τοῦ ἐφάνη,

εἴσατο δ' ὥστε ῥινὸν,

καὶ εἴσατο ἀντὶ τοῦ ἔγνω,

εἴσομαι εἰ καί με Ὀδυσσεύς.

Πορφυρίου. Πολλάκις ἀπὸ διαφόρων κλίσεων συνέμπτωσις γενομένη, πλανᾷ τοὺς πολλοὺς, ὡς ἑνὸς ὄντος τοῦ σημαινομένου, ὥσπερ ἔχει τὸ εἴσατο. σημαίνει δὲ καὶ τὸ ὑπέλαβεν, καὶ τὸ ἐπορεύθησαν, καὶ ἴσος καὶ ὅμοιος γενόμενος, ἀλλὰ τὸ μὲν ἀπὸ τοῦ εἴδω, τὸ δὲ ἐπορεύθην ἀπὸ τοῦ ἴω, τὸ δὲ ὁμοιώθην ἀπὸ τοῦ ἐΐσκω. τὸ μὲν οὖν δηλοῖ τὰ τοιαῦτα. "εἴσατο δ' ὥστε ῥινὸν" ἓν μέρος ἰδεῖν ὑπέλαβον· τὸ δὲ ὡς ῥινὸν ὡς δέρμα ὑπέλαβε τὰ ὄρη τῶν Φαιάκων, οὐ γάρ ἐστιν ὡς ἐρινεὸς, ἦν γὰρ, "ὡς ὅτε ἐρινός." καὶ τὸ "εἴσομαι "αἴκε τύχοιμι," ἀπὸ τοῦ εἴδω εἴσομαι, καὶ ἀπὸ τοῦ εἰδῆσαι. τὸ δὲ εἰσάμενος Κάλχαντι δέμας, ὁμοιώσας. καὶ "τῷ μιν ἐεισάμενος." καὶ "εἴσατο φθογγὴν" ὡμοίωσε, καὶ "εἰδόμενος Ἀκάμαντι θοῷ." τὸ μέν τοι "εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερὰ," ἀπὸ τοῦ ἴω γέγονεν, ἀφ' οὗ καὶ τὸ ἴομεν, σημαίνει γὰρ τὸ ἐπορεύθη. τὸ δὲ εἴσατο ἀντὶ τοῦ ὑπέλαβεν, ἐκ τοῦ εἴδω, ὁ μέλλων εἴσω. τὸ δὲ εἴσατο ἀντὶ τοῦ ὡμοίωσεν, ἀπὸ τοῦ ἐΐσκω, τὸ δὲ εἴσατο ἀντὶ τοῦ ἐπορεύθη ἀπὸ τοῦ ἔω. ὡσαύτως κἂν τῷ "αὐτὰρ ἐγὼ ζεφύροιο καὶ ἀργέσταο "νότοιο, εἴσομαι," ἤγουν πορεύσομαι. "ἐξ ἀλόθεν χαλεπὴν ὄρσου-"σα θύελλαν." ὁμοίως δὲ ἔχει καὶ τὸ, "ὅθι οἱ καταείσατο γαίῃ," ἀντὶ τοῦ κατεπορεύθη, καὶ ἐν τῇ γῇ ἐπάγη, ἐπεστηρίχθη. καὶ ἐν ἄλλοις "ἐν γαίῃ ἵσταντο."

N.

1. Ζεὺς δ' ἐπεὶ οὖν Τρῶας τε] Ἐρειφθέντος τοῦ τείχους καὶ τροπῆς γενομένης, λοιπὸν ἦν ἀναστῆναι Ἀχιλλέα. ὁ δὲ ποιητὴς μῆκός τε καὶ ποικιλίας περιποιεῖ διὰ τῆς ἀσχολίας τοῦ Διὸς, ἅμα δὲ ἐπεὶ ἔφθασε περὶ τοῦ Ἕκτορος προειπὼν, "οὐκ ἄν τις μιν "ἐρυκάκοι ἀντιβολήσας, νόσφι θεῶν," ἀναγκαίως τῷ ἀνυπόστατον ἔχοντι τὴν δύναμιν, τὸν Ποσειδῶνα ἀντιστρατεύει. πῶς δ' ἂν

ἐτόλμησε Ποσειδῶν προσελθεῖν, μὴ ἀσχολουμένου Διός; διὰ τούτων δὲ σχεδὸν βοᾷ ὁ ποιητὴς, οὐκ ἴδιον τῶν Τρώων γεγενῆσθαι τὸ κατόρθωμα, ἀλλὰ τοῦ Διὸς, περιπαθῶς δὲ ἅμα τὸ νηυσὶν, οἷον οὐ τῷ τείχει μόνον, ἀλλὰ καὶ ταῖς ναυσὶν, ἧπερ ἔτι μόνη τῶν Ἑλλήνων ἐλπὶς, τὸ δὲ Ἕκτορα πρὸς τὸ δεύτερον ἀπήντησε. πρῶτος γὰρ Ἕκτωρ εἰσῆλθεν, ὑπεξῆλθε δὲ αὐτὸν ἰδία. κεχώρικε δὲ αὐτὸν τῶν λοιπῶν Τρώων κατεξοχήν. μετὰ δὲ τὴν Ἰλίου πόρθησιν, Ἕκτωρ ὁ Πριάμου, καὶ μετὰ τὸν θάνατον, τὴν ἀπὸ θεῶν ηὐτύχησε τιμήν. οἱ γὰρ ἐν Βοιωτίᾳ Θηβαῖοι πιεζόμενοι κακοῖς, ἐμαντεύσαντο περὶ ἀπαλλαγῆς· χρησμὸς δὲ αὐτοῖς ἐδόθη παύσασθαι τὰ δεινὰ, ἐὰν ἐξ Ὀφρυνίου τῆς Τρωάδος τὰ Ἕκτορος ὀστᾶ διακομισθῶσιν εἰς τὸν παρ' αὐτοῖς καλούμενον Διὸς γονὰς τόπον. οἱ δὲ τοῦτο ποιήσαντες, καὶ τῶν κακῶν ἀπαλλαγέντες, διὰ τιμῆς ἔσχον Ἕκτορα, κατά τε τοὺς ἐπείγοντας καιροὺς ἐπικαλοῦνται τὴν ἐπιφάνειαν αὐτοῦ. ἡ ἱστορία παρὰ Ἀριστοδήμῳ.

82. χάρμη γηθόσυνοι] Χάρμην λέγει τὴν εἰς μάχην παράθηξιν, παρὰ τὸ χαράσσειν· τὴν γὰρ χαρὰν, ὡς φησὶ καὶ Ἀριστείδης, οὐδετέρως ἀεὶ λέγει χάρμα.

198. ὥστε δύ' αἶγα] Τὰ ἐν τῇ παραβολῇ, ὡς καθ' ὑπόθεσιν ἐκδεκτέον· οὐ γὰρ συμμαχοῦσιν ἀλλήλοις λέοντες, ἀλλὰ τοῦ ἑνὸς ἁρπάσαντος συναρπάζειν ὑπ' αὐτοῦ ὁ ἕτερος ἑκατέρου τὴν ἄγραν εἰς ἑαυτὸν κατάγοντα· ὡς καὶ Αἰσχύλος, "Εἷλκον ἄνω "λυκηδόν."

Ξ.

1. πίνοντα] Ἀκολάστως φασὶ καὶ ὡς μέθυσος πίνει. τάχα γοῦν τὸν κυκεῶνα πίνειν φησὶν, ὃς εἶχε καὶ οἶνον. τινὲς δὲ στίζουσιν εἰς τὸ ἰαχὴ, καὶ τὸ ἑξῆς οὕτως· ἀλλὰ καὶ πρὸς τὸν Ἀσκληπιάδην πίνοντα ἔφη· ὁ δὲ Ἀρίσταρχος ἀντὶ τοῦ ὁμοίως τῷ Μαχάονι· ὡς τὸ "σὺ δὲ χαῖρε καὶ ἔμπης" παρών τε καὶ ἀπὼν, τόν τε περ πλεονάζειν, ὡς τὸ "ἔφυγόν περ αἰπὺν ὄλεθρον·" ὡς ἐπιπολαίας δὲ οὔσης τῆς πληγῆς, ἅμα δὲ καὶ ὡς ἰατρὸς ὢν, καταφρονεῖ τῆς διαίτης, καὶ πρὸς τὸ ποτὸν ἀδιαφορεῖ. ἐζήτηται δὲ πῶς ὁ Νέστωρ ἐπὶ τοσοῦτον χρόνον πίνει, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων τῆς λ̄. καὶ ῥητέον ὅτι οὐ τοσοῦτον χρόνον ἔπινεν· ἀλλ' Ὅμηρος κατὰ παρέκτασιν ἀπαγγείλας τὰς πράξεις, βουληθείς τε ἐπὶ τὸν Νέστορα

πάλιν ἐπανελθεῖν, ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο, ἀφ' ἧς περ αὐτὸν κατέλιπε πίνοντα[u]. σφόδρα δὲ συνετῶς εἰσάγεται ὁ Νέστωρ μὴ νικώμενος ὑπὸ μέθης τὸν λογισμόν· δηλοῖ δὲ ὡς οὐδὲ ἡ χρεία τῶν ἡδέων τοῖς σπουδαίοις κατὰ τὴν δίαιταν ἐμποδὼν πρὸς ἐπίσκεψιν γίνεται.

78. νὺξ ἀβρότη] Ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται, τουτέστιν ἐν ᾗ φόνος οὐ γίνεται· νὺξ ἀβρότη ἡ θεία, οἱονεὶ ἀμβρότη· ἔστι γὰρ ἱερὰ τῶν θεῶν ἡ νὺξ, ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται· ἢ ἐν ᾗ βροτὸς καὶ φόνος καὶ μολυσμὸς οὐ γίνεται· ἔλυον γὰρ καὶ νυκτὸς τὰς τάξεις· ἢ μεταληπτικῶς ἡ φῶς μὴ ἔχουσα· βροτὸς γὰρ ὁ φώς· καὶ Αἰσχύλος "ἄβροτον εἰς ἐρημίαν·" ἐν ᾗ φῶς οὐ γίνεται.

176. πεξαμένη] Διακρίνασα καὶ διαχωρίσασα, κτενισαμένη. τὸ δὲ πλοκάμους ἔπλεξε παρωνομασία ἐτυμολογική· μέμφεται δὲ Πλάτων τὸν κόσμον, ἀγνοῶν ὡς ἀνθρωποπαθεῖς τοὺς θεοὺς εἰσάγει ὁ ποιητής· πεφυλακτέον δὲ τὸ παιδευτικὸν, ὅτι οὐ κωμωτρίας εἰσήγαγε τῇ θεῷ, ἀλλ' αὐτὴν ἑαυτῇ πάντα ὑπηρετοῦσαν.

200. Ὠκεανόν τε θεῖον] Ἐπεὶ πρῶτον στοιχεῖον τὶ, ἢ φυσικὸν εἶπον τὸ ὕδωρ, καὶ ἐξ αὐτοῦ τὰ λοιπὰ τρία, ὅθεν καὶ ὁ Πίνδαρος "ἄριστον εἶπε τὸ ὕδωρ." Τηθὺν δὲ φησὶ τὴν γῆν, οἱονεὶ τιθηνήν τινα οὖσαν καὶ τροφὸν πάντων. καὶ πῶς φησιν Ἡσίοδος πάντων πρῶτον γεγενῆσθαι τὸ Χάος· Ὅμηρος δέ φησιν Ὠκεανόν; ῥητέον οὖν ὅτι ἕκαστος εἴρηκεν ὡς ἐβούλετο, Ὅμηρος δὲ φιλοσοφώτερον· τὸ γὰρ ὕδωρ τῶν πάντων ἡ ζωὴ, καὶ προέχει τῶν τεσσάρων ὅλων· ὅθεν καὶ Πίνδαρος ἄριστον ὕδωρ φησὶν, ἐκ γὰρ τοῦ ὕδατος πάντα τὰ στοιχεῖα· ὅθεν καὶ τὸ σπέρμα, πνεῦμα ἐστὶν, ὑγρῷ κραθέν.

214. ἱμάντα κεστὸν] Ζωστῆρα κεντητὸν, ποικίλον. ἀποροῦσι διατί τὰ ἐρωτικὰ καὶ ἐν ἱμάντι φησὶν Ὅμηρος κατεστίχθαι.

ἔνθ' ἔνι μὲν φιλότης, ἐνδ' ἵμερος, ἐνδ' ὀαριστύς·

Σάτυρος μὲν οὖν, ἐπεὶ πληγῶν ἄξια δρῶσιν οἱ ἐρῶντες· Ἀπίων δὲ, ἐπειδὴ δεσμοῖς ἐοίκασι καὶ βρόχοις οἱ ἐρῶντες, καὶ τὰ τῶν ἐρώτων πάθη· Ἀρίσταρχος δὲ ὅτι ἄχρι τοῦ δέρματος διϊκνεῖται τὰ ἐρω-

[u] ποιοῦντα Bekker.

τικὰ πάθη, τήκοντα τοὺς ἐρῶντας, καὶ ἀποξύοντα διὰ τῆς στύψεως τὰ μέλη.

231. ἔνθ' ὕπνῳ ξύμβλητο] Μνησίμαχος ὁ κωμικὸς περὶ ὕπνου διαλεγόμενος, φησίν· "ὅτι ὕπνος ἐστὶ μικρὸν καὶ μερικὸν "θανάτου μυστήριον·" ὁ μὲν γὰρ θάνατος ἀπὸ ἰσχυρᾶς γίνεται καὶ τελείας λύσεως σώματος, ὁ δὲ ὕπνος ἀπὸ μικρᾶς καὶ καιρὸν ἐχούσης, ἀμφότεροι δὲ κακῶν ἀναπαύουσι· καὶ ὁ μὲν χωρίζει ψυχὴν, ὁ δὲ συστέλλει μικρόν· καὶ ὁ μὲν διαλύει αἰσθήσεις, ὁ δὲ στερίσκει μόνον.

296. φίλους λήθοντε τοκῆας] Καὶ Ἀπολλόδωρος ἱστορεῖ κρύφα τὸν Δία τῇ Ἥρᾳ συγκαθευδηκέναι. Ἥραν τρεφομένην παρὰ τοῖς γονεῦσιν, εἷς τῶν γιγάντων Εὐρυμέδων βιασάμενος, ἔγκυον ἐποίησεν, ἡ δὲ Προμηθέα ἐγέννησε· Ζεὺς δὲ ὕστερον γήμας τὴν ἀδελφὴν, καὶ γνοὺς τὰ γινόμενα, τὸν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα προφάσει τοῦ πυρὸς δεσμοῖς ἀνήρτησεν. ἡ ἱστορία παρὰ Εὐφορίωνι.

298. τό δ' ἱκάνεις] Ἐνταῦθα παρεγένου, καὶ ἐν τῷ τ' τῆς Ὀδυσσείας·

πολλοῖσι γὰρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω.

O.

82. ἔνθ' εἴην ἢ ἔνθα] Τὸ εἴην σὺν τῷ ν Ἀριστάρχειοι, καὶ σημαίνει τὸ ὑπῆρχον, ὡς αὐτοῦ τοῦ ἀνδρὸς ἐπιλογιζομένου, οἷον πορευοίμην. ὁ δὲ λόγος, εἰς ἐκείνην τὴν χώραν, ἢ ἐκείνην πορευθείην, ἢ πορευοίμην· τὸ δὲ πᾶν οὕτως· ὥσπερ τοῦ ἀνδρὸς πολλὴν ἐπεληλυθὼς γῆν καὶ πολλὰ ἱστορηκὼς ἐν ὑπομνήσει ποιεῖ τὰ ἱστορήματα, καὶ ταχέως ἄλλοτε ἐπ' ἄλλο βαίνει, οὕτω καὶ ἡ Ἥρα ἐκ τῆς Ἴδης ὀξέως παρεγένετο εἰς τὸν Ὄλυμπον.

320. κατενῶπα] Κατὰ πρόσοψιν· ὁ μὲν Ἀρίσταρχος προπερισπᾷ, ἵν' ᾖ ἀπὸ τοῦ ἐνωπὴν ἐνῶπα, ὡς ἰωκὴν ἰῶκα, ἵνα δηλοῖ τὸ κατὰ πρόσωπον· ὁ δὲ Ἡρωδιανὸς προπαροξύνει, λέγων αὐτὸ εἶναι ἀπὸ τοῦ ἐνώπιον, καὶ ἐνώπια ὃ σημαίνει τὰ ἐναντία, κατὰ συγκοπὴν, ὡς τὰ σιτία σῖτα.

410. στάθμη] Ἡ στάθμη ἐστὶ σχοινίον λεπτὸν, ἐρυθρῷ ἢ μέλανι χρώματι ἐχρισμένον, ᾧ κανονίζεται τὰ ξύλα. τὸ γὰρ

παλαιὸν, πᾶς τεχνίτης, σοφὸς ὠνομάζετο συγκεχυμένῳ ὀνόματι. ὕστερον δὲ Πυθαγόρας τοῦτο μεμψάμενος, σοφὸν μὲν εἶπεν μόνον τὸ θεῖον ὀνομάζεσθαι, καὶ φιλοσοφίαν μόνον τὴν ἔχουσαν τὸ τέλειον καὶ ἄπταιστον τῆς ἐπιστήμης, ἥτις ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων.

Π.

85. αὐτὰρ οἱ περικαλλέα κούρην] ἐπιτετίμηται μὲν ταῦτα τὰ ἔπη πρὸς τῶν παλαιῶν, ὡς ἀναξίαν ἐμφαίνοντα τοῦ προσώπου ποιότητα, διά τε τὴν γυναῖκα, καὶ διὰ τὰ δῶρα· τὸ μὲν ὅτι λάγνον αὐτὸν ἐμφαίνει, τὸ δ' ὅτι φιλοχρήματον, καὶ κινδυνεύει περιπεσεῖν, οἷς τοῦ βασιλέως καθήπτετο, τῇ τε φιλοχρηματίᾳ, καὶ τῇ ἀναιδείᾳ· λέλυται δὲ τοῦτο παρ' ἡμῶν οὕτως· ἐπείπερ ταῦτα αἴτια ἦσαν τῆς αὐτοῦ περιφρονήσεως, καὶ ἀτιμίας καὶ ἀποτελέσματα, ἥ τε ἀφαίρεσις τῆς γυναικὸς καὶ ἡ ἀπειλὴ τῆς τῶν κτημάτων προσλήψεως, ταῦτα καὶ αὐτὸς ἀντιλαμβάνειν λέγει πρὸς ἱκάνωσιν τῆς τιμῆς· τὴν μὲν κόρην αὐτὴν μόνην, ἵνα μὴ πέρα τοῦ μέτρου δόξῃ φιλότιμος, καὶ ἵνα μὴ διὰ γυναικὸς μᾶλλον, ἀλλὰ διὰ τὴν οἰκείαν ἰδίαν[x] τιμὴν ἐκείνην ἀνακαλούμενος· τὰ δὲ θελήματα εἰς περισσοτέραν ἀπόδοσιν τῆς ὀφειλῆς· εἴ γε ὁ μὲν λόγοις εἶπεν ἀφαιρήσεσθαι ταῦτα· ὁ δὲ ἔργοις λαμβάνει αὐτὴν μετὰ προσθήκης τοσαύτης.

185. ἀκάκητα] Ὡς μὲν Ἐρατοσθένης φησὶν, ἀπὸ Ἀκακήτου ὄρους οὕτω λέγεται ὁ Ἑρμῆς· ὡς δ' ἕτεροι ὅτι μηδενὸς κακοῦ μεταδοτικός ἐστιν, ἐπεὶ καὶ δοτῆρα ἑάων αὐτὸν λέγομεν.

235. χαμαιεῦναι δὲ οἱ ἐπὶ τοῦ ἐδάφους κοιμώμενοι λέγονται, παρὰ Εὐφορίωνι.

352. ὡς δὲ λύκοι ἄρνεσσιν] Ὥσπερ δὲ λύκοι ἄρνεσσι μετὰ βίας ἐφώρμησαν, ἢ ἐρίφοις βλαπτικοὶ ἀπὸ τῶν προβάτων ὑφαιρούμενοι προβάτων καὶ αἰγῶν· πάντα γὰρ τοῖς παλαιοῖς κοινῶς τὰ θρέμματα, πρόβατα ἐκαλοῦντο· καὶ Εὔπολις, προβατικὸν χωρίον, τὸν ἐξ αἰγῶν φησὶ τόπον.

433. Σαρπηδόνα[y] φίλτατον ἀνδρῶν] Φασὶν Εὐρώπῃ τῇ Φοίνικος ἀνθολογούσῃ φανῆναι τὸν Δία ἐν σχήματι ταύρου, κρό-

[x] Sic. [y] Cf. Sch. Bekker. ad M. 292.

κον ἐκ τῶν ῥινῶν βλαστάνοντα· ἐπικαθεσθείσης δὲ τοῖς νώτοις τῆς κόρης πρὸς ἀπανθισμὸν, ἁρπάσας εἰς Κρήτην ἐκόμισεν, ἀφ' ἧς φασι Σαρπηδόνα γενέσθαι, καὶ Μίνωνα, καὶ Ῥαδάμανθην[1]· ἱστορεῖ Ἡσίοδος.

863. λὰξ προβὰς] Λὰξ λέγεται κατὰ τοὺς παλαιοὺς, τὸ τῷ ὑποκάτω μέρει τῶν τοῦ ποδὸς δακτύλων λακτικῶς προβαίνειν· καθ' ἑτέρους δὲ τὸ μόνῳ τῷ μεγάλῳ δακτύλῳ τοῦ ποδός.

857. γοόωσα] Ἔλεγε Πυθαγόρας, ὅτι ἡ ψυχὴ τελευτῶντος ἀνθρώπου, καὶ τῶν ἄλλων ἁπάντων ἀπαλλαγεῖσα τοῦ σώματος, ἐν ἐκείνῳ γίνεται, ἐν ᾧ ἂν πλανωμένη ἐγκαταλειφθῇ γενομένῳ ζώῳ, ἢ καὶ ἐν φυτῷ. τοῦτο Ὅμηρος ἐν τῷ Ἕκτορος καὶ Πατρόκλου θανάτῳ προὔβαλεν. γενναίους γὰρ ἄνδρας παράγων ἀποθνήσκοντας, τὴν ψυχὴν φησὶν ἀπαλλαττομένην θρηνεῖν τὴν μοῖραν αὐτῆς, ἀχθομένην ὅτι καταλείπει ἀκμάζοντα σώματα καὶ εὐγενῆ, καὶ δεδοικυῖαν μὴ ἐγκαταλειφθῇ μοχθηρῷ τινι γενομένῳ ἢ λυπηθήσεται συνοῦσα, ἢ ἐπί τινι ἄλλῳ εἰκὸς ἄχθεσθαι ἀθάνατον οὖσαν· ἅμα δὲ διὰ τοῦτο καὶ πρὸς ἀρετὴν ἡμᾶς προτρέπει, δηλῶν ὡς τὰ γενναῖα σώματα καὶ ἡ ψυχὴ λειποῦσα θρηνεῖ. κακῶς δὲ τοῦτο ἔλεγεν ὁ Πυθαγόρας, ὅτι ἡ ψυχὴ μετὰ τὸ ἐξελθεῖν, εἰς φυτά τινα καὶ σώματα καὶ θάμνους μεταβάλλεται, ὅθεν καὶ λελύπηται. λυπεῖται δὲ μήποτε ἀνάξια πράξασα ἑαυτῆς, ἀναξίως περιπέσῃ, καὶ ὅτι σῶμα ἐᾷ ἀκμάζον, πρὸς ἀρετὴν δὲ μᾶλλον ὁ ποιητὴς συγκαλεῖ, μήποτε κακὰ διαπραξάμενοι, τοῖς αὐτοῖς περιπέσωμεν.

Ρ.

263. ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διϊπετέος ποταμοῖο] Ὅτι ἀντιτύπτει τῷ ῥεύματι τοῦ ποταμοῦ τὸ τῆς θαλάσσης.

Πορφύριος. Θαυμάσειεν ἄν τις τοὺς τὸν ποταμὸν οἰηθέντας, ὃν Ὅμηρος Αἴγυπτον ποταμὸν κέκληκε, διϊπετῆ εἰρῆσθαι, διὰ τὸ ἀφανεῖς ἔχειν τὰς πηγὰς, κατὰ τοὺς Αἰγυπτίους ἐν οὐρανῷ καὶ οὐρανόθεν ῥεῖν· λέγει γάρ· "οὐ γάρ τοι πρίν μοῖρα φίλους τ' "ἰδέειν, πρὶν ὅταν Αἰγύπτοιο διϊπετέος ποταμοῖο αὖθις ὕδωρ ἔλθῃς." (Od. Δ. 475.) πρῶτον μὲν γὰρ καὶ τὸν Σπερχειὸν διϊπετῆ λέγει·

υἱὸν Σπερχειοῖο διϊπετέος ποταμοῖο,

[1] Sic.

καὶ τὸν πρὸς τῇ Φαιάκων γῇ,

ἐγὼ δ᾽ ἀπάνευθε διϊπετέος ποταμοῖο,
ἀλλ᾽ ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρρόοιο.

καὶ ἁπλῶς δὲ πάντας διϊπετεῖς ἐν παραβολαῖς λέγει·

ὡς δ᾽ ὅτε ἐπὶ προχοῇσι διϊπετέος ποταμοῖο,
βέβρυχε μέγα κῦμα ποτὶ ῥόον.

τῷ παντὶ ποταμῷ, καὶ τὴν ἐκβολὴν εἰς θάλασσαν ποιουμένῳ παρακολουθοῦν περὶ τὸν ἦχον διατακτικῶς ἐμφανίζων. διϊπετεῖς οὖν λέγει τοὺς ποταμοὺς τοὺς ἐκ Διὸς γεγενημένους· τῷ γὰρ πεσεῖν, ἀντὶ τοῦ γεννᾶσθαι χρᾶται,

ὅστις ἐπ᾽ ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικός·

ἀλλαχοῦ δὲ ἔφη ἀντὶ τοῦ διϊπετοῦς

Ξάνθου δινήεντος· ὃν ἀθάνατος τέκετο Ζεύς·

τοῦτο δὲ, ὅτι φύσει οἱ ποταμοὶ ἐκ Διὸς πληροῦνται, ὥς που ἔφη·

καί σφι Διὸς ὄμβρος ἀέξει.

ᾧ λόγῳ καὶ τὰς νύμφας τοῦ Διὸς θυγατέρας λέγει·

νύμφαι κρηναῖαι κοῦραι Διός.

ἐπειδὴ καὶ τὰ ἐν τοῖς ὄρεσι φυτὰ, τῷ τοῦ Διὸς ὕδατι τρέφεται. Ζηνόδωρος δὲ διϊπετῆ τὸν διαυγῆ ἀποδίδωσι, διὰ τοῦτο καὶ γράφει διειπετῆ διὰ ει διφθόγγου. οὐ μόνον δὲ ῥεύματι ποταμοῦ, οὐδὲ κύματι θαλάσσης εἴκασε τὸν ἦχον, ἀλλ᾽ ἄμφω συνέπληξε. καὶ ἔστιν ἰδεῖν μέγα κῦμα θαλάσσης ἐπιφερόμενον ποταμοῦ ῥεύματι, καὶ τῷ ἀνακόπτεσθαι βρυχώμενον, καὶ τὰς ἑκατέρωθεν τοῦ ποταμοῦ θαλασσίας ἠϊόνας ἠχούσας· ὃ ἐμιμήσατο διὰ τῆς ἐπεκτάσεως τοῦ "βοόωσι·" αὕτη ἡ εἰκὼν Πλάτωνος ἔκαυσε τὰ ποιήματα, οὕτως ἐναργέστερον τοῦ ὁρωμένου τὸ ἀκουόμενον παρέστησε. δεικτικὸν δὲ καὶ τὸ "ἐρευγομένης." τὸ δὲ "ἔξω," τὴν ἐπὶ πλεῖστον ἔκχυσιν τῆς θαλάσσης δηλοῖ· φασὶ δὲ καὶ Σόλωνα τὸν νομοθέτην μιμησάμενον τὴν Ὁμήρου ποίησιν ἐν ἅπασιν, ἐνθάδε γενόμενον, διαπορῆσαι, καὶ θαυμάσαντα, κατακαῦσαι πάντα τὰ ἴδια σκέμματα ὡς καὶ Πλάτων· τῆς γὰρ ἐπαλλήλου τῶν ὑδάτων ἐκβολῆς, ὁ τοῦ "βοόωσιν" ἀναδίπλωσις, ὁμοίαν ἀπετέλεσε τὴν συνοδίαν.

519. νειαίρῃ δ᾽ ἐν γαστρὶ] Νείαιραν γαστέρα φησὶν, ἢ τὸ τῆς γαστρὸς νείατον, ἤτοι ἔσχατον, ἢ ἐπιθετικῶς, δι᾽ ἧς νείονται τὰ σιτία, καὶ ἔστι τὸ ἀπαθὲς νέαιρα, ὃ καὶ κύριον ἐστὶ παρὰ

τοῖς ὕστερον ὄνομα· παρὰ τὸ νέα μέντοι ἐκεῖνο, ἵνα δηλοῖ τὴν νεαράν· ὅστις καὶ ἐπὶ τῆς γαστρὸς ἀστεΐζεται διὰ τὸ ἐνδελεχῶς νεάζειν αὐτὴν εἰς ὄρεξιν· ἔστι δὲ καὶ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ κύριον ὄνομα Νέαιρα.

675. ὥστ' αἰετὸς, ὅν ῥά τε] Ὁ ἀετὸς ὄρνις διορατικὸς, καὶ ὀξὺς ἐν τῷ ὁρᾶν καὶ ἵπτασθαι· φησὶ γὰρ Ἀριστοτέλης ὡς ἵστησι τοὺς νεοσσοὺς πρὸς τὸν ἥλιον, ἀναγκάζων βλέπειν, καὶ ὁ δυνηθεὶς ὁρᾶν, τοῦ ἀετοῦ ἐστιν υἱὸς, ὁ δὲ μὴ, ἐκβέβληται καὶ γέγονεν ἀναίετος· ἀξιοπίστως δὲ προσέθηκε τὸ φασὶν, ὡς πρὸ τοῦ ἐπιβαλέσθαι τῇ ποιήσει, ἐξητακὼς ἀκριβῶς ἅπαντα. αὔξει δὲ πάντοθεν τὴν ὀξυωπίαν· ὑψηλὸς γὰρ ὢν πέταται. τὸ δὲ κατασκοπούμενον λαγὼς, τῇ χροιᾷ γεῶδες ὡς μὴ ῥαδίως διακρίνεσθαι, καὶ τῷ μεγέθει βραχύ· βοηθεῖ δὲ καὶ ὁ θάμνος, ὑφ' οὗ κέκρυπται ὁ λαγώς.

Σ.

107. ὡς ἔρις ἔκ τε θεῶν] Ἰστέον ὅτι κατηγορεῖ ἐνταῦθα Ἡράκλειτος τοῦ ποιητοῦ λέγοντος, ὡς ἔρις ἀπόλοιτο, ὡς ἐκ φιλονεικίας τὸ πᾶν σύγκεισθαι καὶ σώζεσθαι ἐκεῖνον δοξάζοντα.

283. οὐδέποτ' ἐκπέρσει] Οἷον τεθνήξεται πρότερον ἢ πέρσει· οὗτοι μὲν οἱ τοῦ Πολυδάμαντος λόγοι. ἰστέον ὅτι τεσσάρων ὄντων τῶν κεφαλαίων, τοῦ καλοῦ, τοῦ συμφέροντος, δυνατοῦ, καὶ ἀναγκαίου, τῶν τριῶν μόνον ἐνταῦθα παρέλαβε διὰ τὸ ὠφέλιμον, τὸ δὲ καλὸν ἐνταῦθα ἄχρηστον· ταῦτα δὲ πάντα πρὸς τὸ ἀναχωρεῖν εἴρηται, διὸ καὶ Ἰσοκράτης πρός τινα γράφων λέγει, "χρὴ "εἰδέναι δύο καιροὺς, περὶ ὧν ἀναγκαίων εἰπεῖν, καὶ περὶ ὧν ἀκρι- "βῶς ἐπίστασαι·" ἐκ τοῦ Ὁμηρικοῦ Πολυδάμαντος διδαχθείς.

T.

80. τὸ μὲν οὖν ἐπιστάμενόν περ ἐόντα] Τὰ ὄντα καὶ τὰ ἐνεστῶτα λέγει τὸν καθ' ἕκαστον αὐτῶν ἐπίστασθαι· χαλεπὸν οὖν καὶ δεινὸν πρᾶγμα ἐστὶ, τὸν ἐπιστάμενον τὰ ἐόντα καὶ τὰ ἐνεστῶτα θορυβεῖν· πυνθανόμενον ὡς ἀγνοοῦντα, ἢ ζητοῦντα περὶ ὧν οἶδεν ἀκούειν. καὶ ὅτι τοῦτο νοεῖ, δηλοῖ δι' ὧν ἐπάγει· "Πηλείδῃ "μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι σύνθεσθ' Ἀργεῖοι·" ὅτι ἡ ἀπότασις τοῦ λόγου μου πρὸς Ἀχιλλέα ἐστὶν, οὐ πρὸς ὑμᾶς τοὺς εἰδότας διατί συνεληλύθαμεν· διὸ χαλεπὸν τοὺς εἰδότας τὴν αἰ-

τίαν τῆς συνόδου, ὡς μὴ εἰδότας θορυβεῖν καὶ τῷ ἀκούοντι, καὶ διὰ τοῦτο ἐμποδίζειν καὶ τῷ λέγοντι· τοιαῦτα καὶ τοῖς ῥήτορσι προοίμια ἐπιγράφει πρὸς τοὺς θορύβους· ὁ δὲ Κολυττεὺς[a] Ἀλέξανδρος λέγει καλῶς ἔχει τὸ ἑστῶτα δημηγοροῦντος ἀκούειν, χαλεπὸν δὲ καὶ τῷ πάνυ δεινῷ ἐν ταραχῇ εἰπεῖν.

108. εἰ δ' ἄγε μοι ὄμοσσον] Διατί μὴ νεῦσαι αὐτὸν κελεύει; ἢ τάχα φοβουμένη μὴ μετατεθῇ, ἐπὶ τὸ ἰσχυρότερον ἔρχεται· ὁ δὲ ὅρκος ἦν τὸ τῆς Στυγὸς ὕδωρ. λέγουσι τὴν Στύγα τῶν οὐρανοῦ παίδων οὖσαν, καὶ αὐτὴν μίαν ἀδελφὴν, τιμιωτάτην μετὰ τὴν τῶν οὐρανίων θεῶν μάχην τῶν λεγομένων Τιτάνων εἶναι συνέβη διὰ τήνδε τὴν αἰτίαν. Ἱστορία. Οἱ περὶ Κρόνον οὐρανοῦ παῖδες ἀρχαῖοι Τιτᾶνες, τοῖς ἀμφὶ τὸν Δία νεωτέροις θεοῖς πόλεμον ἤραντο, καὶ τοῦτο πράττειν δι' ἐπιβουλῆς ἐγνώκασι, καὶ δηλοῦσι τοῦτο Διῒ, καὶ ἀξιοῦσιν αὐτοῖς συγκροτῆσαι τῷ τοῦ πολέμου καιρῷ, καὶ τιμῆσαι τὴν Στύγα, καὶ τὸ τῆς Στυγὸς ὕδωρ ὅρκον θεῶν ποιῆσαι· ἡ ἱστορία παρὰ Ἡσιόδῳ ἐν Θεογονίᾳ.

167. ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος] Καὶ Πλάτων ἐν τοῖς νόμοις φησὶ πιόντα τὸν ἄνθρωπον ἵλεω τότε ἢ πρότερον γενέσθαι, ἀγαθῶν τε ἐλπίδων καὶ δυνάμεων πληροῦσθαι· παρρησίας γὰρ μεστοῦται καὶ ἀφοβίας, καὶ πρᾶξαί τι ἀόκνως ἔχει· ὅθεν Λακεδαιμόνιοι ἀκρατοποτοῦντες ὁπλίζονται.

Σεναχηρεὶμ[b]. Εἰ δὲ καὶ τοῦτο δοκεῖ, ὅτι ἁπλοϊκωτέρως χρωμένων τῶν ἡρωϊκῶν προσώπων ταῖς περιαυτολογίαις, καὶ ἀνεπιφθόνως καὶ φιλαλήθως ἐκτιθεμένων τὰ οἰκεῖα πλεονεκτήματα, καὶ τὸ πολλὸν οὕτως ἤκουσται, προβαλοίμην πολλόν· εἶτα θεραπεύει καὶ τοῦτο, διὰ τὸ μὴ ἐξ ἰδίας συνέσεως τοῦτο λέγειν εἶναι, ἀλλ' ἀπὸ τῆς πολυχρονίου πείρας. τοῦτο δὲ παρατηρητέον καὶ ἐν οἷς ἄλλοις πρόσωπόν τι ἑαυτῷ συνιστᾷ, ἢ δι' ἐπαίνου, ἢ ἑτέρως πως συγκροτεῖ.

222. Ἄμητον δὲ τὸν τοῦ θέρους καιρὸν θέλων δηλῶσαι. ὅτι τροπῆς ἐκ Διὸς γινομένης, πολλοὶ πίπτουσι κατὰ τὸν πόλεμον.

Πορφύριος. Ζητοῦσι τίνα νοῦν ἔχει τὰ ἔπη ταῦτα ἠνιγμένα ὑπὸ τοῦ Ὀδυσσέως "αἶψα τε φυλόπιδος," καὶ τὰ ἑξῆς· ἐπεὶ ἡ ἄμητος λέξις σημαίνει καὶ τὸν χρόνον ἐν ᾧ ἀμῶσι, τουτέστι τὸν θερισμὸν,

[a] ὁ κοτυαεὺς Cod. A. Bekker. [b] σενα.ΧΡ Cod.

σημαίνει δὲ καὶ τὸν ἀμώμενον καρπὸν, καθ' ἑκάτερα τῶν δύο σημαινομένων ἐκδεξάμενοι, πειραθῶμεν τῶν δύο σαφῆ ποιῆσαι τὴν διάνοιαν. κ. τ. λ.

283. Εἶδον πρὸ πόλιος δεδαϊγμένον] Ἐπιτείνεται τῇ ὄψει τὰ παθήματα καὶ Σοφοκλῆς, ὄψις γὰρ ὤτων κριτικωτέρα πᾶσι.

326. ἠὲ τὸν] Ὁ Πύῤῥος ὁ ὕστερον Νεοπτόλεμος κληθεὶς, ὃν ἔσχεν ἐκ Δηϊδαμείας τῆς Λυκομήδους, ἣν διέφθειρεν ἐν Σκύρῳ ταῖς παρθένοις συνδιατρίβων· φασὶν Ἀχιλλέα ἀπὸ τῆς πρὸς Τήλεφον ἀναζευγνῦντα μάχης, προσορμησθῆναι ἐκεῖ·

Πηλείδην δ' Ἀχιλλῆα φέρε Σκύρον[c] θύελλα.

ἔστι δὲ ἐν τῇ Εὐβοίᾳ νῆσος λιμένας ἔχουσα Ἀχίλλειον καὶ Κρίσιον· Νεοπτόλεμος δὲ ἀπὸ τοῦ πατρὸς ὠνόμασται, ὅτι νέος ὢν ἐπολέμησεν. ἔστι δὲ ὥς τινες ἐξ Ἰφιγενείας· φησὶ γὰρ Δοῦρις ὅτι κλαπεῖσα, εἰς Σκῦρον ἐξετέθη ὑπ' αὐτοῦ. ἡ δὲ ἑτέρα ἱστορία διαψεύδεται· ὅρα δὲ πῶς ἀπὸ γενικῆς εἰς αἰτιατικὴν ἡ μετάβασις γέγονεν. ὀδύρεται δὲ τὴν ἰδίαν ἀτυχίαν, ὡς ἴσως αὐτὸν καὶ υἱοῦ στερήσουσαν.

350. ἠδ' ἅρπῃ εἰκυῖα] Τῷ ἴκτιδι· οἱ δὲ ζῶον θαλάσσιον πολεμοῦν λάρῳ, καὶ φιλεῖ τὴν τροφὴν ἣν ἂν συνάγει φυλάττειν ἐπὶ τοῖς γάμφεσι, καὶ τοῖς νεοσσοῖς ἐπιχορηγεῖν· ᾧ νῦν εἴκασε τὴν Ἀθηνᾶν οἰκείως· οἱ δὲ, τὸν ἰκτῖνον, ὅτι ἐφ' ὕψους ἱπτάμενος ὅπου θέλει καταράσσει.

386. πειρήθη δέ οἱ] Ἐπειρήθη ὅπως εἰδῇ πότερον ἔσφικται, ἢ σαλεύεται περὶ τῷ σώματι. τὸ δὲ ἐντρέχοι, εἰ συνάλλεσθαι τοῖς ὅπλοις δύναιτο, καὶ μὴ ἐμποδίζοιτο.

Πορφύριος. Τὰ ὅπλα φησὶ κοῦφα γεγόνασιν ὡς πτερά.

Υ.

145. τεῖχος ἐς ἀμφίχυτον] Τὸν πάντοθεν περικεχωσμένον τόπον κύκλῳ πολλῷ τῷ χώματι εἰς ὕψος, τὸ καὶ χωστὸν λεγόμενον, ὃ κατεσκεύασαν οἱ Τρῶες.

271. ἢ ῥα καὶ ἐν δεινῷ σάκει ἤλασε] Πορφύριος. Ἐν τῇ Αἰνείου πρὸς Ἀχιλλέα μάχῃ, ζήτησιν παρέσχε τὰ ἔπη ταῦτα,

ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασεν ὄμβριμον ἔγχος,

καὶ τὰ ἑξῆς.

267. οὐδὲ τότ' Αἰνείαο] Πορφύριος. Δοκεῖ μάχεσθαι τῷ,

ἀλλὰ δύο μὲν ἔλασσε διὰ πτύχας, ὥστ' ἔῤῥηξεν.

[c] Leg. Σκύρονδε.

ἔστι δὲ ἀπὸ τῆς λέξεως ἡ λύσις καθ' ἑκάτερον, εἰ γὰρ μὴ διόλου διῆλθεν, οὐκ ἔρρηξε τοσάκις, ἀλλὰ διέθλασε. κ. τ. λ.

329. πόλεμον μεταθωρήσσοντο] Πορφύριος. Μάχεται τῷ μὴ κατειλέχθαι Καύκωνας ἐν τῷ καταλόγῳ, τὸ

ἐνθάδε Καύκωνες πόλεμον μέγαν θωρήσσοντο,

λύοιτ' ἂν ἐκ τοῦ καιροῦ, μὴ γὰρ ἐλθόντας αὐτοὺς ἐξ ἀρχῆς τοῦ πολέμου, ἀλλ' ὕστερον, οὐ συγκατεῖπε τοῖς ἐξ ἀρχῆς τοῦ πολέμου. μήποτε δέ μοι περιέχονται τοῖς πᾶσι Λελέγεσιν οἱ Καύκωνες.

Φ.

76. παρὰ γὰρ σοὶ πρώτῳ πασάμην] Πορφύριος. Ἀποροῦσι πῶς ὁ ἱκετεύων πρὸς τὸν Ἀχιλλέα ἔφη·

παρὰ γὰρ σοὶ πασάμην δημήτερος ἀκτήν.

τὸ γὰρ λέγειν καθάπερ Στησίμβροτος, ὅτι οἱ βάρβαροι ἄλφιτα οὐκ ἐσθίουσιν, ἀλλὰ ἄρτους κριθίνους, ψευδές. ἤσθιε γὰρ ὡς ἂν βασιλέως υἱὸς, καὶ οὐδαμῶς τοῦτο ὁ ποιητὴς ἐπεσημήνατο· ἡ δὲ λύσις, ὅτι παρὰ τῷ Ἕλληνι πρώτῳ καὶ ξείνῳ τῷ Ἀχιλλεῖ γεγονέναι φησὶ, πρὸς γὰρ τὴν ἱκεσίαν εἶχε τινὰ βοήθειαν τοῦτο ὥσπερ τετυχηκὼς ξενικῆς τραπέζης, παρ' ἐκείνῳ πρῶτον.

Τοῦ Σεναχηρείμ. Ἐμοὶ δὲ δοκεῖ τὸ, πρώτῳ πασάμην μὴ κατὰ τάξιν τινὸς ἑξῆς λέγεσθαι, ἀλλ' ἀσχέτως ἀντὶ τοῦ προτέρω.

252. μέλανος θηρητῆρος] Ἀριστοτέλης σύνθετον κατὰ βαρείαν τάσιν μελανοστόλου θηρητῆρος, φησὶ γὰρ τοὺς ἀετοὺς μέλανα ὀστέα ἔχειν· τινὲς δὲ γράφουσι μελανόσσους παρὰ τὸ μέλανας ὀφθαλμοὺς ἔχειν.

319. χεράδος περιχεύας] Χεράδος τῆς ὑπὸ ποταμὸν ἀθροιζομένης ψάμμου καὶ ξύλων συγκομιδῆς· Ἀρίσταρχος δέ φησι χεράδας καλεῖσθαι τοὺς ποταμοὺς, καὶ τοὺς ἐν αὐτοῖς λίθους· εἶναι δὲ τὸν νοῦν τοιοῦτον· πολλῇ ἰσχύει οὐκ ὀλίγον πλῆθος τῶν ποταμίων λίθων ἐπισωρεύσας χώσω· χεράδος οὖν λιθάδος.

323. τυμβοχοῆς] Χωστοῦ τάφου· τύμβος γὰρ ὁ τάφος, τὸ πλῆρες τυμβοχοῆσαι, οὕτως Ἀρίσταρχος καὶ Ἀσκαλωνίτης καὶ οἱ πλείους· ἄμεινον γὰρ ἐν τῷ ῥήματι τὸ πρᾶγμα λαμβάνειν, ἢ τῷ ὀνόματι.

349. ὁ δ' ἐς ποταμὸν τρέψε φλόγα] Πορφύριος. Διατί τοῦ Σκαμάνδρου καιομένου ὁ Ἀχιλλεὺς ἐν ζέοντι αὐτοῦ ἀπολειφθεὶς, ἐπνίγετο μὲν, οὐκ ἐκαίετο δέ; ἢ διότι οὐχ ὅλος ὁ ποταμὸς

ἐκαίετο· ἐνδέχεται οὖν μὴ ἐν τοῖς τοιούτοις αὐτὸν τοῦ ποταμοῦ μορίοις εἶναι· καὶ γὰρ ἂν οὕτω γε ὁ Ἥφαιστος ἦν αὐτὸν ὁ διαφθείρων, ὃν οὐκ εἰκὸς βοηθεῖν μὲν αὐτῷ, τοῦτο δὲ μὴ ὁρᾶν, ὅπως μὴ ἔνθα ἦν ἐκεῖνος ὁ ποταμὸς πονήσῃ· ὡς οὖν ἐκεῖνος ὁ Σκάμανδρος πνίγων Ἀχιλλέα τοὺς ἐμβεβηκότας τῶν Τρώων εἰς αὐτὸν,

ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα
κρύπτων ἐν δίνῃσιν,

οὕτω καὶ ὁ Ἥφαιστος τὸν μὲν ποταμὸν ἔκαιε, τῷ δὲ Ἀχιλλεῖ διὰ τοῦ πυρὸς συνεμάχει.

363. ὡς δὲ λέβης ζεῖ] Πορφύριος. Οἱ μὲν οὖν διορθοῦντες ἠξίουν μετὰ τοῦ ν̄ γράφειν· κνίσσην μελδόμενος, ἀντὶ τοῦ τήκων ἀκούοντες, ἵν' ᾖ τὴν κνίσσαν τήκων. οὐκ εἶχον δὲ παρ' Ὁμήρῳ δεικνύναι οὐδετέρως τὸ κνῖσσος λεγόμενον, ἀλλ' ἀεὶ θηλυκῶς. "κνίσση δ' οὐρανὸν ἷκεν," καὶ "κνίσσην ἐκ πεδίου ἄνεμοι φέρον." μήποτ' οὖν οὐκ ἔστι μελδόμενος τὸ τήκων, οὐδὲ δεῖται τὸ ἔδειν, ἀλλὰ τὸ ἔλδειν. ὅπερ οὖν λελυμένως ἔφη τὸ "μέλε' ἤλδανε ποιμένι "λαῶν," σημαίνων τὰ εὐτραφῆ, λιπαρὰ ἐποίει, εὐρύνουσα τὰ μέλη, τοῦτο συνελὼν, μελδόμενος ἔφη, κατὰ μεταφορὰν τὰ μέρη τοῦ λέβητος, μέλη λέγων, ἅπερ λιπαίνεσθαι τηκομένῃ τῇ πιμελῇ χριόμενα. τὸ οὖν ἀλειφόμενον λιπαίνεσθαι, μέλδεσθαι ἔφη. ὡς ἐν ἄλλοις, "ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο." τινὲς δὲ οὕτως κνίσσῃ μελδόμενος, ἀντὶ τοῦ κνίσσης μέλη ἐδόμενος, δοτικὴν ἀντὶ γενικῆς λαβών. ἢ τῇ κνίσσῃ ζεούσῃ αὐξάνων τὰ μέλη, ἤτοι τὰ κρέα, ἢ αὐτὸς τῇ κνίσσῃ τοῦ εὐτραφοῦς χοίρου ὁ λέβης λιπαινόμενος καὶ τηκόμενος· δύναται καὶ οὐδετέρως κνίσση, ὡς ἡ κωμῳδία "τὸ κνίδος ὀπτῶ." ἄλλοι δὲ τὸ κνίσος εἰς τοὺς γείτονας, ὁ δὲ ποιητὴς ἀεὶ θηλυκῶς τὴν κνίσσαν φησὶν, ἵνα ᾖ μὴ παρὰ τὰ μέλη τήκων, ἀλλὰ τῇ κνίσσῃ ἄρδων τὰ μέλη τοῦ τρίποδος μεταφορικῶς, ὥς φησι, "μέλε' ἤλδετο ποιμένι λαῶν," ἵνα ᾖ τὰ μέλη τοῦ λέβητος λιπαίνεσθαι. Ἄλλως—Ὡς ἀπὸ εὐθείας οὐδετέρας τῶν πληθυντικῶν, ὅτι οὐκ ἔστι παρὰ τὸ τὰ μέλη ἔλδειν τὸ μελδόμενος, ἀλλ' ἀπὸ τοῦ ἄλδω, ὅθεν τὸ "μέλε' ἤλδανε," τὸ μελδόμενος παθητικὸν ἀντὶ ἐνεργητικοῦ τοῦ μέλδων, ὅ ἐστι κατατήκων.

551. πόρφυρε] Διενοεῖτο, ἀπὸ μεταφορᾶς τῆς πορφύρας, ἥτις ἔνδον κρύπτει τὸ ἑαυτῆς βάμμα.

COD. REG. 2681.

Hic Codex Chart. form. in fol. max. continet Hom. Iliad. cum amplissimis Scholiis marginalibus et interlinearibus. Textus Homericus scriptus antiquiore manu et decimo tertio sæculo, ut mihi visum fuit; Scholia recentiora sunt, et decimo quarto sæculo ineunte fortasse non vetustiora. Horum magna pars Porphyriana sunt, quæ habent etiam Codd. Venetus B. Lipsiensis, Harleianus Mus. Brit. 5693. et forsan alii. His autem Porphyrianis addita sunt e diversis fontibus plurima Scholia ad Rem Grammaticam plerumque spectantia et ex antiquis Technicis derivata, quæ huic Codici propria sunt, excepto tamen Harleiano prædicto qui eadem habet, sed non ultra Lib. A.[a]

Libri Parisiensis hujusmodi Scholia e tribus Rhapsodiis vulganda curavi Θ, Ι, Κ. ut de horum commentariorum indole docti viri certiores fiant. Insunt autem non pauca quæ Eustathio etiam communia sunt; uter autem alterum excerpsit non liquido affirmare ausim.

ILIAD. Θ.

V. 1. *ἐκίδνατο*] *Τὸ ἐκίδνατο ἐν παρατάσει, σφαιροειδὴς γὰρ οὖσα ἡ γῆ, οὐ πᾶσα ὑφὲν φωτίζεται.*

19. *Σειρὴν χρυσείην*] *Δία νοητέον τὴν εἱμαρμένην· χρυσῆν δὲ σειρὰν, τὴν δίκην ἁλύσεως ἐπιπλοκὴν τῶν δ̄ στοιχείων κατὰ τὰς ἐν αὐτοῖς ποιότητας, λεγομένην χρυσῆν διὰ τὸ φύσει πολύτιμον, καὶ διὰ τὴν ἐκ τοῦ ἡλίου ἐν αὐτοῖς χρυσαύγειαν. ἧς δὴ ἐπιπλοκῆς μεταποιηθείσης ποτὲ, ἄνω κάτω φησὶ γενήσεσθαι τὸ πᾶν μεταστοιχειωθὲν, ἢ μεγάλῳ χειμῶνι ἄνωθεν ἐκ Διὸς ὡς ἐν κατακλυσμῷ καὶ ἐξυδατώσει, ἢ μεγάλῳ θέρει κατὰ ἐκπύρωσιν· οἱ δὲ χρυσῆν σειρὰν, τὰς τοῦ αἰῶνος νοοῦσιν ἡμέρας, αἳ χρυσῷ οἷον κέκρανται, τῇ τοῦ ἡλίου λαμπρότητι, καὶ ἀλλήλων ἐξήρτηνται ἁλύσεως δίκην, καὶ τὸν καθ' ἡμᾶς βίον συνδέουσαι, ληψόμεναί ποτε πέρας καὶ*

[a] Hic Codex qui Card. Seripandi fuit, est Chart. in fol. et Sæc. XIV. exaratus, prioribus foliis exceptis, quæ recentissima sunt. Quoad Porphyriana integer est, et dignus est qui cum Edd. conferatur.

αὐταὶ καὶ τὸ πᾶν ἀναστοιχειώσουσαι, τοῦ Διὸς μένοντος ἀπαθοῦς, ὃν ψυχήν φασι τοῦ παντὸς οἱ παλαιοί.

Τῶν δὲ Διὸς πληγῶν ὄργανον ὁ κεραυνός.

14. βέρεθρον] Ὥσπερ δὲ βάθος βένθος, πάθος πένθος, οὕτω καὶ βάραθρον βέρεθρον, οἷς ἀνάλογον κατά γε φωνὴν καὶ τὸ βρένθος ἐπὶ ὑπερηφανίας, ἐξ οὗ καὶ τὸ βρένθειον μῦρόν τι ἐκεῖνο περιαδόμενον, ὅθεν ῥῆμα τὸ βρενθύεσθαι, ἤγουν τὸ τρυφᾷν ἀλαζονικῶς.

18. εἴδετε] Ὅρα δὲ τὸ εἴδετε χρόνου ὂν ἐνεστῶτος χρηστὸν Ὁμήρῳ. ἔστι δὲ αὐτὸ καὶ πρῶτον πρόσωπον παρὰ τῷ ποιητῇ, "ἵνα εἴδομεν ἄμφω."

22. Ὁ δὲ ὕπατος, ὅτι τε ἐκ τοῦ ὑπέρτατος συγκέκοπται καὶ ὡς ἀντίκειται τῷ νειάτῳ (sic), ὧν πρὸς ὁμοιότητα, καὶ ἡ παρὰ τοῖς μουσικοῖς ὠνόμασται ὑπάτη τε καὶ νεάτη, καὶ κατὰ κρᾶσιν νήτη, δῆλον.

26. μετήορα] Ὥσπερ δὲ ἐκ τοῦ ἀείρω τὸ συζυγῶ παρήορος ἵππος, οὕτω καὶ ἐκ τοῦ ἀείρω τὸ κουφίζω καὶ ἀνωφορῶ, τὸ μετήορον, ἐκεῖθεν δὲ καὶ τὸ μετέωρον κατὰ περίεργον σκευωρίαν. ἐκ τοῦ ἀείρω γὰρ ἄοιρος, ὁ εἰς ἀέρα ἐλαφρισθεὶς, καὶ τροπῇ τοῦ α εἰς ε καὶ τῆς οι διφθόγγου εἰς ω, καὶ ἐν συνθέσει μετέωρον.

36. ὑποθησόμεθα] Ὑποτίθημι τὸ ὑποβάλλω, ὑποτίθεμαι τὸ συμβουλεύω.

39. Τριτογένειαν ὁ μῦθος οὕτω λέγει, διὰ τὸ ἐν τρίτῃ μηνὸς γεννηθῆναι, ἢ ἐκ τῆς τοῦ Διὸς κεφαλῆς αὐτὴν γεγονυῖαν, τριτὼ γάρ φησι κατὰ γλῶσσαν Κρητῶν ἡ κεφαλή.

40. πρόφρονι] Προθύμῳ, ἢ ὑπέρφρονι καὶ καταφρονητικῷ, κατὰ Πορφύριον.

41. Τιτύσκω ἐκ τοῦ τύκω γίνεται, πλεονασμῷ τοῦ σ καὶ ἀναδιπλασιασμῷ Ἰωνικῷ. τύκω δὲ τὸ κατασκευάζω. τιτύσκομαι ἐπὶ στοχασμοῦ διανοίας καὶ εὐτρεπισμοῦ.

43. Τὸ δὲ γέντο, Δωρικὴ λέξις γενομένη ἐκ τοῦ εἵλετο, ὃ καὶ σημαίνει.

Ἰστέον ὅτι κατέλευσις παρὰ τῷ ποιητῇ γίνεται, ὅταν ἄξια ἔργα λόγου τελοῦνται, κατὰ εἱμαρμένην τινά.

Τοῦ πατριάρχου Κύρου Κοσμᾶ. Ἐκ τοῦ γένυς γίνεται

γενύω ῥῆμα, οὗ ὁ μέλλων γενύσω, ὁ ἀόριστος ἐγένυσα, ὁ δεύτερος ἐγένυον, ὁ μέσος ἐγεννόμην, ἐγενύου, ἐγενύετο, καὶ Ἰωνικῶς γενύετο, καὶ ἐν συγκοπῇ τοῦ ῡ καὶ ε̄, γέντο. καὶ τί μετέχει τὸ γένυς ἐνταῦθα, ὥστε τὸ ἔλαβεν ἐνταῦθα διὰ τοῦ γέντο λαβεῖν τῆς ἀφορμῆς ἐκ τοῦ γενύω γενομένης; ὅτι πάντα τὰ ζῶα διὰ τῶν γενύων φημὶ τῆς ἄνω καὶ τῆς κάτω ἐπιδράττονται. μόνος δὲ ὁ ἄνθρωπος τῇ χειρὶ πάντων ἐπαφᾶται πρώτῃ, καὶ ποιεῖται ἡ χεὶρ τῶν γενύων τὸ ἔργον, αἵ τινες ἐν πᾶσι τοῖς ζώοις ἐνεργοῦσι. καὶ διὰ τοῦτο καὶ πάντα τὰ δραττόμενα τινὸς καὶ βιαίως ἀποσπώμενα, γένυς καλοῦνται, ὡς γένυες αἰχμῆς, καὶ γένυες ἀρκύων. ἢ ὡς οἱ παλαιοὶ φασὶν, ἀπὸ τοῦ ἕλω τὸ λαμβάνω, οὗ ὁ παρατατικὸς εἱλόμην, εἵλου, εἵλετο, καὶ ἕλτο κατὰ συγκοπὴν, καὶ τροπῇ τοῦ λ̄ εἰς γ̄, καὶ πλεονασμῷ τοῦ ν̄, γέντο.

45. πετέσθην] Τὸ πέτεσθαι τοὺς τοῦ Διὸς ἵππους, σύμβολόν ἐστι τοῦ ἀλληγορεῖσθαι αὐτὸν εἴς τε τὸν ἀέρα καὶ τὸν αἰθέρα, στοιχεῖα ταῦτα πληροῦντα τὸ μεταξὺ γῆς τε καὶ οὐρανοῦ.

48. Γάργαρον] Ἀπὸ τοῦ γαργαρίζειν τὰ ὕδατα, ἢ ἀπὸ μεταφορᾶς τοῦ γαργαρῶνος τῆς λεγομένης σταφυλῆς. καὶ γὰρ τὸ σῶμα τοῦτο, ἀπὸ παχέος εἰς ὀξὺ λήγει.

Γάργαρον] Τρεῖς ἄκραι Ἴδης, Λεκτὸν, Γάργαρον, Φαλάκρα. οὕτω καλεῖται τὸ Γάργαρον, διὰ τὰ ἐκεῖ ἀναδιδόμενα ὕδατα καὶ τὸν ἐντεῦθεν ποιὸν ἦχον. ἐξ οὗ καὶ ἐφ' ἡμῶν τὸ ἀναγαργαρίζειν λέγεται καὶ ὁ γαργαρεών. ὅτι δὲ οἱ θῆρες παρὰ τὸ θέειν ῥᾶον, καὶ φθεῖρες λέγονται ὡς φθείροντες, γνώριμον.

56. Παρὰ τὸ δυσμενὴς καὶ ἀποβολῇ τοῦ δ̄, ὑσμίνη. ἢ δυσμίνη καὶ ὑσμίνη. ἢ παρὰ τὸ ὑπομένειν ὑπομίνη τίς οὖσα, χρεία γὰρ ὑπομονῆς.

68. ἦμος] Εἰς τὸ η̄ ψιλήν. πᾶσα λέξις τροχαϊκὴ ψιλοῦται, πλὴν τοῦ ἧλος τὸ καρφίον.

69. τάλαντα] Ὅτι δὲ τάλαντον κυρίως ἐπὶ ζυγοῦ διὰ τὸ τάλαν ἤγουν καρτερικὸν τοῦ ὀργάνου, καὶ ὅτι ὁμωνύμως τῷ ὀργάνῳ τάλαντον καὶ τὸ ζυγοστατούμενον, καὶ ὡς τὸ ῥέπειν κυριωτάτη λέξις ἐπὶ τοῦ κάτω βαρεῖσθαι τὸν σταθμὸν, ἀφ' οὗ καὶ ἑτερορρεπὴς δίκη ἢ φιλία, ἤτι τοιοῦτον. καὶ ὅτι τὰ μὲν κάτω καὶ πρόσγεια, δυστυχίας τίθεται σύμβολα, θνητότητος γὰρ τόπος τὰ περὶ γῆν,

ἡ δέ γε μετέωρος πλάστιγξ, εὐτυχίαν δηλοῖ καὶ ἐνηρτημένην ζωὴν, διὰ τὸ τῶν ἄνω μακρόβιον, δῆλον.

Ταλαίπωρος δὲ ὁ τάλας περὶ πώρους, ἤγουν λίθους ἐν τῷ λατομεῖν. ἀταλὸς δὲ ὁ ἁπαλὸς καὶ μὴ δυνάμενος τάλας, ἤγουν καρτερικὸς εἶναι. . . . .

73. Ὅτι δὲ ἡ βῶτις γῆ καὶ ἡ παμβῶτις καὶ ἡ βωτιάνειρα ἐκτείνουσι τὸ ω̅ διὰ τὸ μέτρον, δῆλον.

75. Ἰστέον ὡς αἱ μὲν ἐνταῦθα βρονταὶ τοῦ Διὸς ἤγουν ἀέρος τὰ βέλη μετὰ καὶ τῶν ἀστραπῶν εἶεν ἂν κατὰ σάλπιγγας μάχην συνθηματιζούσας. τὸ δὲ τῶν ἀστραπῶν σέλας, κατὰ τὸ ἐν μάχῃ ἐπαφιέμενον πῦρ εἰς σύμβολον τοῦ καυστειρὰν εἶναι.

80–7. Ἰστέον δὲ καὶ ὡς φαίνεται ἐκ τῆς διασκευῆς τοῦ ἅρματος τοῦ Νέστορος, τρεῖς συζυγοῦντας εἶχεν ἵππους τὸ τοῦ Νέστορος ἅρμα, ἕνα παρήορον καὶ δύο ζυγίτας, ἤγουν ζυγίους. τὸ δὲ "ὅθι "πρῶται τρίχες ἵππων," ἑρμηνεία ἐστὶ, τοῦ "ἄκραν κατὰ κορυφήν." τὰς δὲ τοιαύτας τρίχας, καὶ προκόμιον ἵππου φασί. πρῶται δὲ λέγονται ὡς πρὸς τὴν χαίτην.

Ἰστέον δὲ ὡς ἡ κάρα, πρωτόθετον ἔχει τὴν ἄκραν. ἄκρα γὰρ ὡς τὸ, "ἤλασε κῦμα κατ' ἄκρης," εἶτα κατὰ μετάθεσιν κάρα.

89. ἰωχμὸν] Ἰωχμὸς δὲ κατ' ἔλλειψιν τοῦ δ̅, ἡ δίωξις. ὁ δ' αὐτὸς καὶ ἰωγμὸς ἂν εἴη, ὡς βρέγμα βρεχμὸς, καὶ ῥῆγμα ῥωχμός. ὥσπερ δὲ ἰωχμὸς κατ' ἔλλειψιν τοῦ δ̅, οὕτω καὶ ἰωμὴ, ὅτι δὲ καὶ πολλαὶ λέξεις μετὰ τὴν τοῦ κατ' ἀρχὰς συμφώνου ἔκπτωσιν τὸν αὐτὸν σώζουσι νοῦν, δηλοῖ τὸ, χλιαρὸς λιαρὸς, πήγανον ἤγανον. σῦς ὗς, περὶ ἐρὶ, τὸ ἐπιτατικὸν, σμικρὸν μικρὸν, μῆλα ἦλα.

105. ἐπιβήσεο] Τὸ δὲ ἐπιβήσεο οὗ κρᾶσις τὸ ἐπιβήσου, ἀσυνήθως καὶ αὐτὸ ἔχει κανονισθὲν ὡς ἀπὸ ἐνεστῶτος τοῦ ἐπιβήσω, οὐκ ἔχοντος δύο σ̅σ̅, ἵνα μὴ συνεμπέσῃ τῷ βήσσω βήξω, ὅθεν ὁ βὴξ τοῦ βηχός.

108. οὕς ποτ'] Τὸ πάλαι καὶ τὸ ποτὲ οὐκ ἀεὶ μακρὸν σημαίνουσιν, ἀλλ' ἔστιν ὅτε καὶ πρόσφατον Ἀττικῶς, ὡς καὶ ἐνταῦθα δηλοῖ τὸ, "ἵππους οὕς ποτ' ἀπ' Αἰνείαν ἑλόμην." ἔνθα ὅρα τὸ ποτὲ, οὐκ ἀνέκαθεν χρονικὸν, ἀλλὰ τὴν χθὲς ἡμέραν δηλοῦν. τοιοῦτον καὶ παρὰ Σοφοκλεῖ, τὸ "νῦν τε καὶ πάλαι λέγω." νῦν μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι, πάλαι δὲ τὸ, ἐν τῷ ἀνωτέρῳ ἐκεῖ

προσεχεῖ στίχῳ. ὥσπερ δὲ ἐκ τῆς πάτου κατὰ μετάθεσιν ὁ ταπεινὸς, οὕτω ἐκ τοῦ πέδου ὁ ἠπεδανὸς, πλεονασμῷ τοῦ η.

109. κομείτων] Ἰστέον δὲ ὡς ἐκ τοῦ κομείτων ἤγουν ἐπιμελείσθωσαν καὶ κομείτην ἀντὶ τοῦ ἐπεμελοῦντο, τοῦ ἐνταῦθα κειμένου, φαίνεται ὅτι ἔστι καὶ κομῶ κομεῖς, οὐ μόνον κομᾷς.

116. σιγαλόεντα] Γράφεται φοινικόεντα, τὰ φοινικῷ χρώματι κεκαλυμμένα, τουτέστι κόκκινα, ὅπερ ἴδιον τῶν βασιλέων, ὃ καὶ οἱ νῦν βασιλεῖς παράσημον ἔχουσιν. σιγαλόεντα, τουτέστι λαμπρὰν σιγὴν ποιοῦντα διὰ τὴν ἔκπληξιν.

σιγαλόεντα] Ἢ τὰ κεντητὰ ἐκλείψει τοῦ τ̄, ἢ τὰ σιγᾷν ποιοῦντα διὰ τὸ ἀπαράμιλλον, ἢ τὰ κατασιγάζοντα τοὺς ἵππους.

124. πύκασε] Ἢ τὸ πύκασε ἀντὶ τοῦ ἐπύκνωσεν, ἐπεὶ ὥσπερ ἡ χαρὰ διαχέει τὰ ἡμέτερα σώματα, οὕτως ἡ λύπη πυκνοῖ.

127. σημάντορος] Τοῦ κελεύοντος καὶ προστάσσοντος ἀπὸ τοῦ σημαίνω τὸ ἐπιτάσσω. ὁδηγοῦ τοῦ ἡνιοχήσαντος.

130. Τῷ δὲ πολυμηχάνῳ ἀντίκειται ὁ ἀμήχανος ἤγουν ἁπλοῦς καὶ ἀπόνηρος καὶ ἀπερίεργος. αὐτοῖς δὲ πάλιν ἀντίκειται ἡ ἀμήχανος Ἥρη καὶ εἴτις κατ' αὐτὴν δαίμων ἢ βροτός.

133. ἀργῆτα] Λευκὸν ἢ μελανοποιὸν κατὰ ἀντίφρασιν. ὁ ἀὴρ αἴτιος τῆς συστάσεως καὶ τῶν ἄλλων στοιχείων καὶ τῶν ἀνθρώπων.

162. πλείοις δεπάεσσι] Ἡ εὐθεῖα τὸ πλεῖον, ὅ ἐστι πλῆρες, οὗ ἀρσενικὸν μὲν ὁ πλεῖος, θηλυκὸν δὲ ἡ πλείη.

164. κακὴ γλήνη] Σκῶμμα μέν ἐστι δειλοῦ, κερτομεῖ δὲ ἀντὶ γυναικὸς γενέσθαι τὸν Διομήδην, ἤγουν ἴσον γυναικί. τινὲς φασὶ τὸν Ἕκτορα τοῦτο εἰπεῖν διὰ τὸ τὸν Διομήδην μικρόφθαλμον εἶναι, καὶ ὡς ὑπόραιβον. οἱ δέ φασιν οὐ διὰ τοῦτο ἀλλ' ἁπλῶς ὑβρίζων αὐτὸν ὡς δύσμορφον.

182. ἐνιπρήσω] Ἀπὸ τοῦ πυρῶ πυρήσω ὡς καὶ τὸ χειρήσασθαι χρήσασθαι. ὁ δὲ Ἡρόδοτος[b] ἀπὸ τοῦ πυρῶ πυρώσω.

185. Ξάνθέ τε] Σημείωσαι ὅτι ἐνθουσιῶν ὁ Ἕκτωρ ἐφ' οἷς ἐθάρρησεν ἄρτι, ἐγκελεύεται τοῖς ἵπποις ὡς εἰ ἦσαν λογικοὶ,

Ξάνθέ τε καὶ σὺ Πόδαργε καὶ Αἴθων, Λάμπε τὲ δῖε,

ἤγουν Ξανθὲ ταχύτατε καὶ πυρρὲ, τὸ δὲ " ὑμῖν προτέροις πυρὸν

[b] Leg. Ἡρωδιανός.

παρέθηκεν οἶνόν "τε ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι," ὁ ἐμὸς δηλαδὴ, ἄλλως γὰρ ἀδιανόητον φασὶ τὸ μὴ οὕτω νοούμενον. ἵπποις γὰρ οὔτε πυρὸς παρατίθεται, οὔτε κιρνᾶται οἶνος. εἰ δέ τις εἴπῃ τὸν ποιητὴν ἐπίτηδες νῦν τῷ Ἕκτορι παραθεῖναι κακοσύνθετον σύνταξιν λόγου, μιμούμενος τὴν ἐκείνου περὶ τὴν μάχην θερμότητα, ἢ καὶ τὴν ταραχὴν δι' ἣν οὐκ ἔσχεν ἐπιμεληθῆναι τῆς φράσεως, ἀκούσοι ἂν ὅτι καὶ τοῦ τὴν πυροφαγίαν καὶ οἰνοποσίαν τοῖς ἵπποις προσνεῖμαι, τὸ αὐτὸ αἴτιον· διὰ γὰρ σπουδὴν ἐπεκρούσθη τοῦ ὀρθοῦ νοήματος καὶ τὰ ἑαυτοῦ τοῖς ἵπποις προσήρμοσεν.

192. Σημείωσαι ὅτι τὸ τῆς τοῦ Νέστορος ἀσπίδος παράσημον εἰς τὴν τοῦ γέροντος ἀλληγοροῦσί τινες πολυμίμητον φρόνησιν, καὶ εἰς τοὺς παρ' ἐκείνῳ μεθοδικοὺς κανόνας, ὧν εἰ στερηθῶσιν Ἀχαιοὶ, μεγάλα βλαβήσονται.

203. Ἑλίκη μὲν τόπος περὶ Πελοπόννησον, Αἰγαὶ δὲ περὶ Εὔβοιαν, ἀφ' ὧν καὶ τὸ Αἰγαῖον πέλαγος παρωνόμασται. διαφερόντως δ' αὐτόθι Ποσειδῶν ἐτιμᾶτο. τὸ δὲ "δῶρ' ἀνάγουσιν," ἀντὶ τοῦ ἁπλῶς ἄγουσιν.

223. ἐν μεσσάτῳ] Ἐν τῷ μέσῳ ἡ τοῦ Ὀδυσσέως ἵσταται ναῦς, οὐ διὰ δειλίαν, ὡς οἱ ψέγοντες εἶπον, ἀλλ' ἵνα τῷ στρατῷ οἷον καρδία εἴη, ἐκ τοῦ μέσου πᾶσιν ἐπαρκοῦσα τῷ ζωογόνῳ τῆς φρονήσεως, διὸ καὶ ὁ βασιλεὺς ἵσταται ὥστε ἐξάκουστον βοᾷν ἀμφοτέρωσε καὶ γνωστόν.

219. Συρφετώδης γλῶσσα ἡ κοινὴ λέγεται. τοῦ δὲ ποιπνύειν ἀρχὴ τὸ πονῶ πονύω, τουτέστιν ἐνεργῶ, καὶ συγκοπῇ καὶ ἀναδιπλασιασμῷ καὶ ἐπενθέσει ποιπνύω· ἰστέον δὲ ὅτι καὶ τοῦ ἀναδιπλασιασμοῦ ἀφαιρεθέντος τὸ πνύσαντι σύστοιχόν ἐστι τῷ πεπνυμένος, ὡς ἀπὸ θέματος τοῦ πνύω.

227. Ἰστέον δὲ καὶ ὡς ἔστι γνώω τὸ νοῶ, οὗ μέσος παρακείμενος γέγνωα καὶ μεταθέσει γέγωνα τὸ γνωστῶς βοῶ, ἀφ' οὗ καὶ τὸ γεγωνέναι καὶ ὁ γεγωνώς. καὶ τὸ γεγώνω παρὰ Σοφοκλεῖ οἷον "τί γεγώνω." ὅτι δὲ καὶ γεγωνῶ περισπώμενον ῥῆμα ἐστὶ, δῆλον. τὸ δὲ ἐν μεσσάτῳ μεσαιτάτῳ φασὶν οἱ μεθ' Ὅμηρον, ὥσπερ δὲ τρίτος τρίτατος, οὕτω καὶ μέσος μέσατος.

226. Ὅτι δὲ ὕπεστιν ἤνωρ ἤνορος ἄρρητος εὐθεῖα, ὅθεν κτητικὸν ἠνόρειος, ἐξ οὗ καὶ ἠνορέη ἡ ἀνδρεία, δῆλον καὶ αὐτό.

231. Ὀρθοκραιράων, ὀρθοκεφάλων, γαύρων, ἢ ὀρθοκεράτων. κραῖρα γὰρ Ἀττικῶς τὰ περὶ τὴν κεφαλὴν, ὅθεν καὶ παρὰ τῷ Κωμικῷ,

ἐψίλωταί τις τὴν ἑτέραν ἡμίκραιραν,

ἤγουν ἡμίκρανον. ἐντεῦθεν καθ' ὁμοιότητα καὶ νῆες ὀρθόκραιραι, ὧν τὰ ἄκρα εἰς ὀρθὸν ἀνίστανται.

237. Ἆσας, ἐκ τοῦ ἄασας καὶ κατὰ κρᾶσιν ἆσας, ὡς τὸ "ἆσέ "με δαίμονος αἶσα κακή." γίνεται δὲ ἀάτη καὶ κατὰ κρᾶσιν ἄτη. Τὸ δὲ ἀπηύρας ἤγουν ἀφείλου ἐναντίον ἐστὶ πρὸς τὸ ἐπαυρεῖν, ὃ γενικῇ συντάσσεται.

239. Ἔρρων ἀπὸ τῆς ἐν προθέσεως καὶ τοῦ ῥῶ τὸ φθείρω, γίνεται ἔνρω, καὶ τροπῇ ἀναλόγῳ τινὶ εἰς τὸ ἑξῆς ἀμετάβολον ἔρρω. οἱ Αἰολεῖς φασὶ τὰ εἰς ρω βαρύτονα ἔχοντα τὴν ει δίφθογγον παρατέλευτον μετατιθέντες τὸ ι εἰς ἕτερον ρ, προσφέρεσθαι, τὸ κείρω κέρρω λέγοντες καὶ τὸ δείρω δέρρω, οὕτως οὖν καὶ τὸ φθείρω φθέρρω, καὶ ἄρσει τῶν πρώτων δύο συμφώνων ἔρρω, καὶ ἡ μετοχὴ ὁ ἔρρων.

246. νεῦσε δὲ] Κατάνευσιν δὲ Διὸς νοητέον ἐν τῷ "νεῦσε δὲ "λαὸν σόον ἔμμεναι," τὴν ἐν διοσημίᾳ δήλωσιν ἄνωθεν τοῦ μέλλοντος, διὸ καὶ ἐπάγει "αὐτίκα δ' αἰετὸν ἧκε."

Σημεῖόν τι γέγονε δι' οὗπερ ἐγνώκεισαν Ἕλληνες σώζεσθαι καὶ θαρρήσαντες ἐμάχοντο, ὃ καὶ Διὸς νεῦσιν ἔφασεν Ὅμηρος.

250. πανομφαίῳ] Σημείωσαι ὅτι πανομφαῖος Ζεὺς κατὰ ἀλληγορίαν ὁ ἀὴρ, εἰς ὃν πᾶσα ὀμφὴ, ἤγουν ἁπλῶς φωνὴ ἐνάγεται, ἤγουν ὁ πάσης φωνῆς αἴτιος ἀήρ. φωνὴ γὰρ ἀέρος ἐστὶ πληγή. κατὰ δὲ μῦθον, ὁ πάσης μαντείας αἴτιος. οἱ γὰρ ἄλλοι πάντες ὑποφῆται Διὸς, εἴτε δαίμονες εἰσὶν εἴτε ἄνθρωποι. ὀμφὴ δὲ κυρίως ἡ ἀληθὴς φήμη ἡ τὸ ὂν φαίνουσα. ὡς καὶ ὄνειρον κατὰ κυριολεξίαν τὸ ἀληθὲς ἐνύπνιον, δι' οὗ τὸ ὂν εἴρεται.

266. εἴνατος] Σημείωσαι ὅτι ἐπὶ τιμῆς ἔχει τὸν ἔνατον ἀριθμὸν ὡς καὶ πολλαχοῦ ἐδείχθη.

268. Τὸ ὑπεξέφερεν οὐ κενῶς ἐστοίβασται προθέσεσιν, ἀλλ' ἡ μὲν ἐξ φορὰν δηλοῖ τῆς ἀσπίδος ἐπὶ τὸ ἔξω καὶ πορρωτέρω τοῦ κατὰ τὸν Αἴαντα στήθους. ἡ δὲ ὑπὸ τὸ κρυφαῖον σημαίνει καὶ λεληθὸς τοὺς ἐχθρούς. λάθρα γὰρ ἐξανοίγων ὁ Αἴας τὸν ἑπταβόειον θυρεὸν, ἐνεδίδου τῷ ἀδελφῷ βαλεῖν· εἶτ' αὖθις ἔσκεπεν.

ἐπιστρεφῶς δὲ τὸ ἐπιστρεπτικῶς, οἷον ὡς ἂν οἱ δεῖνα ἐπιστρεφῶς ἔχοιεν τοῦ ἀριστεύειν.

Ib. Τὸ "αὐτὰρ ὅγ' ἥρως παπτήνας" καὶ ἑξῆς, δόξῃ ἂν σολοικοφανὲς, εἰ μή τις ἀναστρέψας τὴν φράσιν, τὴν σύνταξιν καταστήσει οὕτως· ἐπειδὰν δὲ ὁ ἥρως βάλοι τινὰ παπτήνας ἐν ὁμίλῳ, ὁ μὲν βληθεὶς, ἔκειτο πεσὼν, Τεῦκρος δὲ ἀναχωρήσας ἐγένετο ὑπὸ τῷ σάκει τοῦ Αἴαντος.

269. Ὃν φησιν ἀορίστως ἐνταῦθα τινὰ, παρακατιὼν ἐν τῇ ἀπαριθμήσει λέγει τὸ ὄνομα, ὀκτὼ ἀπαριθμουμένων προσώπων, καὶ τοῦ Τεύκρου βοῶντος "ὀκτὼ δὲ προέηκα ὀϊστούς." ἔστι δὲ ὁ Ὀρσίλοχος, πρῶτος γὰρ τῶν ὀκτὼ οὗτος. οὐ λέγει τὸ ὄνομα, ἀλλὰ τινὰ φησι, καὶ τοῦτο εἰκότως. ταραχῆς γὰρ γινομένης ἐν τῷ λαῷ τῷ Τρωϊκῷ καὶ συγχύσεως, ὀϊστεύει ὁ Τεῦκρος, οὐ κατὰ τούτου ἢ τούτου ἀλλὰ κοινῶς. διὰ τοῦτο οὐδὲ ὀνομαστὶ γινώσκεται ὁ τρωθείς. ἐπὶ δὲ τοῦ Διομήδους ἄνω φερομένου τοῦ ὀνόματος τοῦ τρωθέντος ὅτι Φραμονίδης Ἀγέλαος ἦν, μεγάλην φαντασίαν ἡμῖν παρέχει ὁ ποιητὴς, ὅτι καὶ τοιοῦτος ὁ Ἀγέλαος ὢν, ὅμως εἰς φυγὴν τραπεὶς, οὐκ ἔφυγε τὸ τοῦ Διομήδους βέλος, ἀλλ' ἐκληρονόμησε καὶ τρώσεως αἰσχίστης, λέγω δὴ τῆς κατὰ τὸ μετάφρενον ἐμπήξεως.

270. Τὸ ὀϊστοῖσι θανατοῦν ἀπὸ τόξου ἀπόλλειν φησί.

281. Ἐν δὲ τῷ "Τεῦκρε φίλη κεφαλὴ," τὸν ὅλον Τεῦκρον ἐδήλωσεν ἀπὸ τοῦ κυριωτάτου μέρους.

282. Αἶνος δὲ μυριαχοῦ, καὶ ὁ γρίφος, εἴτουν τὸ αἴνιγμα λέγεται, ὡς καὶ Ἡσίοδος· "νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω."

Αἴνιγμα. αἶνος τίς ἐστιν, ὡς ἀνήρ τε οὐκ ἀνήρ· ὄρνιθά τε κοὐκ ὄρνιθα. ἰδών τε κοὐκ ἰδών. ἐπὶ ξύλου τε κοὐ ξύλου. καθημένην τε κοὐ καθημένην. λίθῳ τε κοὐ λίθῳ. βάλλοι τε κοὐ βάλλοι. ἡ λύσις δὲ τοῦ παρόντος γριφώδους ἔστιν αὕτη εὐνοῦχος θεασάμενος καὶ οὐ παριδών. ἐπὶ νάρθηκος κυρίως μὲν οὐ καθημένην, ἄλλως δὲ καθημένην. ψευδολίθῳ κισσήρει, βάλλοι μὲν κατὰ μόνην ῥίψιν καὶ ἄφεσιν κισσήρεως, οὐ μὴν καὶ βάλοι ἐπιτυχῶς καὶ εὐστόχως.

Ὅτι δὲ Τεῦκροι ἐκαλοῦντο οἱ Τρῶες ἢ Τευκροὶ ἀπό τινος ὁμωνύμου ἀνδρὸς, δῆλον.

284. Δαιμονίως πως διὰ τοῦ "καί σε νόθον περ ἐόντα" περι-

βάλλει τῷ[ὃν] Τεύκρῳ[ου] (sic) εἶχε δόξαν μεγίστην εἰ ἐπὶ πολὺ ἀνδραγαθήσας. εἰ γὰρ νόθος ὢν τὴν εὔκλειαν ἐκ τοῦ Τελαμῶνος ἐκτᾶτο. νῦν δὲ ἀνδραγαθήσας εἰς τοσοῦτον εὐκλείας ἥξει ὡς μὴ μόνον ἀρκεῖν εἰς εὔκλειαν αὐτοῦ ἡ ἀνδραγαθία, ἀλλὰ καὶ εἰς εὔκλειαν τοῦ τιμήσαντος καὶ θρέψαντος Τελαμῶνος· ὡς καὶ τοῦτο δὴ τὸ παροιμιαζόμενον εὐκαίρως λέγεσθαι "ἄνω ποταμῶν χωροῦσι πηγαί." πῶς οὐκ ἀθλήσει ὁ Τεῦκρος, πῶς οὐκ ὀϊστεύσει, πῶς οὐ προήσει σὺν τοῖς βέλεσι καὶ τὴν ψυχὴν εἰ δεήσειεν;

290. Τιμήσω σε ἢ ὡς νικητὴν τρίποδι, ἢ ὡς ἐν πολέμῳ κοπιάσαντα καὶ πολεμικὸν τοῖς ἵπποις, ἢ ἐν τοῖς μεγίστοις πάνυ τάξω σε διὰ τῆς γυναικός· αἱ γὰρ γυναῖκες τοῖς μεγιστᾶσι μάλιστα ἐδίδοντο εἰς γέρας, ὅτε ἐμερίζοντο τὰ λάφυρα καὶ ψήφῳ κοινῇ· ὡς ὑπισχνεῖται καὶ ὁ Ἀγαμέμνων τοῦ Τεύκρου· οἱ δὲ ἄλλοι ἐκ τοῦ παλλακὰς ἐν τῷ κατὰ μέρους λεηλατεῖν αὐτούς.

291. Ὁμὸν λέχος, ὅθεν τὸ ὁμόλοχος συντέθειται. ἀντὶ τοῦ ἥτις ἂν εἴη συγκοιμωμένη σοι, ὡς μὴ ἁπλῶς αἰχμάλωτος δούλη, ἀλλὰ καὶ οἷα εἶναί σοι εἰς παλλακήν, τὸ ὁμὸν γὰρ λέχος εἰ συντεθείη, ποιεῖ τὴν ὁμόλεκτρον, ἤγουν τὴν ἄλοχον.

295. Ἀλλ' ἐξ οὗ, τὸ ἀλλὰ ἐνταῦθα ἀντὶ τοῦ γάρ, κατασκευαστικὸν γὰρ τὸ κῶλον ἀλλ' οὐ τοῦ πρὸ αὐτοῦ σύνεγγυς, ἤγουν τοῦ "οὐ μέντοι ὅση δύναμίς γε πάρεστι παύσομαι." οὐ γὰρ κατασκευαστικὸν ἐπὶ τοῦ οὐ μὴ παύσομαι. ὁ ἐναίρων ἐνεστὼς ἐξ οὗ ὠσάμεθα αὐτούς, μᾶλλον γὰρ τοῦτο ἦν κατασκευαστικὸν τοῦ παύσομαι ὡς πολλὰ κοπιάσας, ἀλλὰ κατασκευαστικόν ἐστι τοῦ ἀνωτέρω τοῦ "τί με σπεύδοντα καὶ αὐτὸν παροτρύνεις" οἱονεὶ κακοπαθοῦντα ἐν τῷ ἐναίρειν τοὺς ἄνδρας. οὐδὲ γάρ ἐστιν εὔλογον λέγειν τὸν Τεῦκρον ὅτι οὐ μὴ παύσομαι. διότι συνάρσει τῆς τύχης φονεύω ἄνδρας, ὡς δήλου ὄντος ὅτι οὐκ ἐφόνευεν, ἀλλὰ ποσῶς ἐφοβεῖτο, παυθῆναι ἔμελλεν, ὅπερ ἐστὶ παντελῶς ἀστρατεύτου ἀνδρός. εἰ μή πως πρὸς τὸ μιξοβάρβαρον τοῦ Τεύκρου ἀποβλέψας ὁ ποιητὴς τοῦτο εἶπε.

305. Τὸ δὲ εἰκυῖα ὃ γίνεται ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ, οὐκ ὤφειλε μὲν ἔχειν τὸ σύμφωνον τοῦ ἐνεστῶτος, ὡς τὸ ἐοικυῖα, ὃ χρόνου μέσου παρακειμένου ἐστίν. ἔσχε δὲ ὅμως αὐτὸ διὰ τὸ

εὐφωνότερον. ὡς ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ εἶκα· ὅτι δὲ ἀναλογώτερον τὸ οἰκυῖα, δηλοῖ καὶ ὁ οἰκὼς ἤγουν ἐοικὼς παρά τισι τῶν ποιητῶν.

306. Μήκων εἶδος φυτοῦ ἡ λεγομένη κωδία, ἥν περ τὰ βρέφη ἐσθίοντα μικρὸν κοιμῶνται. ὅπερ γράφεται διὰ τοῦ ι. κώδεια δὲ ἡ κεφαλὴ δίφθογγον, παρὰ τὸ κεῖσθαι ἐν αὐτῇ τὰ δέοντα. τὸ γὰρ λογιστικὸν ἐν τῇ κεφαλῇ, κἂν ἕτεροι περὶ τὴν καρδίαν φασίν. οὕτω λέγεται κώδεια ἢ ἀπὸ ὁμοιότητος τῆς κωδίας βοτάνης, ἥτις κωδία λέγεται, ὅτι κώματι καὶ ὕπνῳ δέει τοὺς ταύτην φαγόντας. ὑπνωτικὸν γὰρ τὸ φυτόν.

316. Πυκάζειν δὲ οὐ μόνον τὸ σκεπάζειν καὶ κρύπτειν, ἀλλὰ καὶ τὸ πυκνοῦν, ὡς δηλοῖ ἐνταῦθα τὸ τὸν "Ἕκτορα αἰνὸν ἄχος "πύκασε," ἤγουν ἐπύκνωσε. διαχέει μὲν γὰρ ἡ χαρὰ, πυκνοποιεῖ δὲ ἡ λύπη.

331. Περίβη, ταυτὸν τῷ ἀμφιβέβηκε τῆς ταχείας βοηθείας. καὶ παροιμία, "γόνυ κνήμης ἔγγιον."

337. Τὸ δὲ βλεμεαίνειν κυρίως ἐπὶ λέοντος λέγεται, καὶ δηλοῖ τὸ καὶ μόνῳ βλέμματι ἐκφοβεῖν. ἢ τὸ ἐνταῦθα καὶ ἐκεῖ ἐπιστρεφῶς περιβλέπεσθαι. "μένεϊ δὲ βλεμεαίνειν," οὐ τὸ ἁπλῶς βλοσσυροῦσθαι, ἀλλὰ τὸ μετὰ ἀνδρείας.

Βλεμεαίνων σφοδρῶς ἐπιρρωννύμενος, καταπληκτικῶς βλέπων οἰκεῖον δὲ τοῦτο τῷ λέοντι. οἱ δὲ λέγουσιν ἀπὸ τοῦ βρεμεαίνειν ἤτοι ἠχητικῶς βλέπειν.

338. ὡς δ' ὅτε] Ὅρα τὴν παραβολὴν πῶς τέθεικεν αὐτὴν ὁ ποιητὴς, ἀλκιμωτέρους δεικνύων τοὺς φεύγοντας τῶν διωκόντων.

340. Γλουτὸς δὲ τὸ σφαίρωμα τῆς κοτύλης, ἢ τὸ ὄπισθεν παχὺ τῶν μηρῶν καὶ ἁπαλὸν καὶ γλοιῶδες. ἰσχίον δὲ τὸ ὑπὸ τὴν ὀσφὺν ὀστοῦν, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὃ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη διὰ τὴν κοιλότητα. ἰσχίον δὲ καὶ τὸ νεῦρον τὸ πρὸς τὴν κοτύλην καὶ ὅλον τὸ ἄρθρον.

342. Ὀπίστατον] Ὡς ἐκ τοῦ ὄπισθεν, σ καὶ θ ὤφειλε γράφεσθαι, ἀλλ' οὐχ εὕρηται τοιαύτη γραφὴ, καὶ ἔοικε τῷ κλεπτίστατος λαλίστατος. ἢ ἀπὸ τοῦ ὀπίσω ὀπισώτατος, καὶ ἐν συγκοπῇ ὀπίστατος.

346. Στικτέον εἰς τὸ κεκλόμενοι· ἵνα μὴ ἡμαρτημένα ᾖ ὅτι τοῖς θεοῖς παρακελευόμενοι, ηὔχοντο γὰρ τοῖς θεοῖς, ἀλλήλους δὲ παρεκελεύοντο.

349. Γοργὼ τὸ ζῶον τεράστιον ἦν καὶ φρίκης ἀνάμεστον. ἥν τινα ὁ ἰδὼν εὐθὺς ἀπελιθοῦτο. νῦν οὖν ὁ ποιητὴς παραστῆσαι θέλων τὸ φρικῶδες τῆς ἀνδρείας τοῦ Ἕκτορος, τῇ Γοργόνι τοῦτο κατὰ τοὺς ὀφθαλμοὺς εἴκασεν· ὑπέφριττον γὰρ αὐτὸν οἱ πολέμιοι. καί πως ἀπολιθοῦσθαι τῇ προσβολῇ τούτου ἐώκησαν, τῇ ἐκ πτοίας ὑπερβαλλούσης ἀποβολῇ τῆς ἐμφύτου θερμότητος. τῷ γὰρ ταύτης φόβῳ ἢ πάθει τινὶ τῶν ζώων ἀποβεβληκὸς, ἄζωός τε καὶ ἄψυχος γίνεται, οἷά περ λίθος καὶ εὐμοιρῶν τινὸς αἰσθήσεων.

361. Ἀλιτρὸς, ὁ τοῦ δέοντος ἀλιτὼν, ὥσπερ δὲ λείπω λοιπὸς, οὕτω καὶ ἐκ τοῦ ἀλείτω εὕρηται ὁ ἀλοιτὸς ἐν Λυκόφρονι.

Περὶ δὲ τοῦ Κερβέρου ἰστέον ὡς κύων ἦν ἄφυκτος βασιλέως τινὸς τῶν Θρᾳκῶν Ἀϊδωνέως καλουμένου· οὗ καὶ διὰ τὸ ὄνομα μακρὸν μῦθον οἱ μυθοπλάσται ἐπλάσαντο περὶ αὐτοῦ καὶ τοῦ Ἡρακλέος καταγωνισαμένου ἐκεῖνον, καὶ ἀπαγαγόντος τῷ Εὐρυσθεῖ· ἡ δὲ ἀλληγορία εἰς μέθην αὐτὸν ὑπονοεῖ ἢ ἄλλό τι κακὸν, παρὰ δὲ τὸ κέαρ βαρύνειν· οὗ Κερβέρου περιγίνεται Ἡρακλῆς, ὁ εἰς τὸν λόγον ἀναγόμενος.

368. Κῦνα ἄδου, τὸν Κέρβερον. Τελεσθέντων τῶν Ἡρακλέους ἄθλων ἐν μηνὶ καὶ ἔτεσιν ὀκτὼ, μὴ προσδεχόμενος Εὐρυσθεὺς τόν τε τῶν Αὐγείου βοσκημάτων ἆθλον, καὶ τὸν τῆς ὕδρας ἑνδέκατον, ἐπέταξεν ἆθλον αὐτῷ τὸν Κέρβερον ἐξ ᾅδου κομίζειν· εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλὰς, τὴν δὲ οὐρὰν δράκοντος· τὰ δὲ τοῦ νῶτα, παντοίων εἶχεν ὄφεων κεφαλάς· μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι, ἦλθε πρὸς Εὔμολπον, εἰς Ἐλευσῖνα βουλόμενος μυηθῆναι. ἦν δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι· ἐπειδήπερ Θυέστιος ὁ Πυλίου παῖς παραγενόμενος ἐμυεῖτο· μὴ δυνάμενος οὖν ἰδεῖν τὰ μυστήρια, ἐπείπερ οὐχ ἡγνίσθη, εἰς τὸν τῶν μεγιστάνων φόνον ἁγνισθεὶς ὑπὸ Εὐμόλπου τότε ἐμυήθη· καὶ παραγενόμενος ἐπὶ τὸ Ταίναρον τῆς Λακωνικῆς ἀκρωτήριον, οὗ τῆς ᾅδου καταβάσεως ἐστὶ στόμιον, διὰ τούτου κατῄει· ὡς δὲ εἶδον αὐτὸν αἱ ψυχαὶ χωρὶς Μελεάγρου καὶ Μεδούσης τῆς Γοργόνος, εὐθὺς ἔφυγον. ἐπὶ δὲ τὴν Γοργόνα τὸ ξίφος ὡς ζῶσαν ἕλκει, καὶ παρ' Ἑρμοῦ μαν-

θάνει, ὅτι κενόν ἐστιν εἴδωλον· πλησίον δὲ τῶν ᾅδου πυλῶν γενόμενος, Θησέα ἐγείρει καθήμενον ἐπὶ ἀκινήτου θρόνου· ὁμοίως δὲ Πειρίθουν ἠβουλήθη, καὶ τῆς γῆς πολὺ σειομένης, οὐκ ἠδυνήθη· ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκάλαφον πέτρον· βουλόμενος δὲ αἷμα ταῖς ψυχαῖς παρασχέσθαι, μίαν τῶν ᾅδου βοῶν ἀπέσφαξε.

369. Ἡ μυθικὴ στὺξ ἐν ᾅδου· ἡ δὲ ἱστορικὴ, Ἀρκαδικὴ πηγή· τὸ δὲ αἰπὰ ἀπὸ τοῦ αἰπὸν σεσιγημένης εὐθείας, ὡς τὸ κακὸν τὰ κακά.

Λογοειδεῖς δὲ στίχοι ἡρωϊκοὶ δηλαδὴ λέγονται, οἱ κοινὰς λέξεις ἔχοντες· στυγνὸς δὲ οὐ μόνον ὁ στυγνάζων καὶ λυπούμενος, ἀλλὰ καὶ ὁ στυγητός· στυγεῖν δὲ, τό τε μισεῖν καὶ τὸ φρίσσειν.

374. Νῶϊν, λείπει ἡ εις ἢ ἡ δια, ἵνα ᾖ εἰς νῶϊ, ἢ διὰ νωϊ καὶ ἡμᾶς, καὶ οὕτως ἰαθήσεται τὸ σόλοικον· τὸ γὰρ νῶϊ θηλυκὴ πάντως δυϊκὴ εὐθεῖα ἢ αἰτιατική.

378. Γεφύρας, οὐ μόνον αἱ ἐν τοῖς στρατεύμασι διακοπαὶ, ἀλλὰ καὶ αἱ ἐκ τῶν λιμνῶν τῶν αἱμάτων γινόμεναι. πᾶσα γὰρ γέφυρα ἐφ᾽ ὑγρᾶς διαβάσεως λέγεται.

385. Διὰ τοῦ ποικίλου πέπλου τὸ πολυειδὲς δῆλοι τῆς φρονήσεως, διὸ καὶ ὁ Ὀδυσσεὺς, πολύμητις καὶ πολύβουλος· τὸ δὲ "ὃν αὐτὴ ποιήσατο" τὸ ἀπροσδεὲς καὶ αὔταρκες δηλοῖ ταύτης· τὸ δὲ Διὸς ἐνδύσασθαι χιτῶνα, τὸ αὐτῆς ἀγχίστροφον αἰνίττεται· ποτὲ μὲν ὑπενδιδοῦσα μαλακωτέρως, ὡς καὶ δοκεῖν εἶναι θηλύφρονα· ποτὲ δὲ καὶ δοκεῖ τὸν πέπλον τὸ γυναικεῖον ἔνδυμα ἔχειν· ποτὲ δὲ ἀρρενωποῦ φαινομένης καὶ ἀνδρικῆς· ἀνδρώδης γὰρ καὶ βασιλικὸς ὁ τοῦ Διὸς χιτὼν καὶ πολεμικός· τὸ δὲ πύρινον ἅρμα τὸ κατ᾽ αὐτὴν θερμουργὸν δηλοῖ. ἢ καὶ ἄλλως τὸ αὐτῆς ὀξὺ καὶ δραστικόν· ὥσπερ τὸ ἔγχος, τὸ βριθὺ καὶ πελώριον.

385. Φλόγεα ὄχεα καὶ στιβαρὸν ἔγχος λέγων, τὸ δραστικὸν καὶ ἐνεργὸν αἰνίττεται τῆς φρονήσεως.

391. Ἠθικῶς μὲν ὡς ὄβριμον πατέρα ἔχουσα, ὅς ἐστιν ὁ Ζεύς· ἀλληγορικῶς δὲ Ἀθηνᾶ λαμβάνεται ἡ φρόνησις, ἥτις ἐκ νοὸς γεννᾶται.

405. Ἀπαλθήσεσθαι, τὸ θεραπευθήσεσθαι ἢ θεραπεῦσαι, ἀπὸ τοῦ ἀλδῶ τὸ αὐξάνω κατὰ συγγένειαν τοῦ δ πρὸς τὸ θ· τοῦτο δὲ ὡς τῆς νόσου φθίνειν ποιούσης, τὸ αὔξεσθαι κατ᾽ ἐναντιότητα περι-

γίνεται. τὸ δὲ "ὄφρ' εἰδῇ γλαυκῶπις," ἔλλειψιν ἔχει, ἢ ὅτι κρείττονι ἀντιφερίζει, ἢ ἐσφάλη, ἢ καὶ ἀνελλιπῶς ἐστὶ νοῆσαι, ἵνα εἰδῇ πότε χρὴ σωφρόνως τῷ ἰδίῳ πατρὶ μάχεσθαι.

411. Τὸ πολύπτυχος ὡς ἐπὶ ὄρους τοῦ Ὀλύμπου λέγειν δοκεῖ, ὃς πολλὰς πτύχας ἤτοι φαραγγεύδεις πτύξεις ἤγουν περιοχὰς ἔχει.

413. "Ἐνὶ φρεσὶ μαίνεται," ἡ ψυχὴ ἐν ταῖς φρεσὶ μαίνεται, τουτέστιν ἐν ταῖς διανοίαις, ἤγουν διανοεῖται μαινόμενα.

421. Ἀνθρωπίνῳ πάθει ὁ Ζεὺς ἔοικεν ἐνταῦθα διὰ τῆς ἀγγελίας τῆς Ἴριδος τῇ Ἀθηνᾷ διαλέγεσθαι, εἰπὼν γὰρ ὡς οὔτι οὐδαμῶς νεμεσίζομαι καὶ μέμφομαι τῇ Ἥρᾳ, ὡς πάλαι ἀντεγκοτούσῃ μοι, καὶ μέχρι τοῦ νῦν, ἔοικε σχισμόν τινα καὶ τῆς φιλίας διαίρεσιν εἰσάγειν μέσον αὐτὸν τῆς Ἥρας καὶ Ἀθηνᾶς. τῇ μὲν γὰρ δεξιοῦται, τῇ δὲ Ἀθηνᾷ ὀργίζεται, ὡς ἑαυτὸν παριστῶν τῇ Ἥρᾳ ἀόργητον ἐπὶ τοῖς ἐγκλήμασι ταύτης. τὸ δὲ μήκονα θεὸν ὑπερέχοντα τὰ κατὰ τῶν θεῶν τῶν ἐναντιουμένων αὐτῷ διεργάζεσθαι, ἀλλὰ σχῆμα τούτων ἐπιμηχανᾶσθαι πάθους ἐστὶν ἀνθρωπίνου, καὶ οὐ δύναμις θεϊκή. ἐλλιπὴς δὲ ὁ λόγος κατὰ τὴν μήνιδα τοῦ Διὸς τῇ Ἀθηνᾷ ἀγγελλόμενος "εἰ ἐτεόν γε τολμήσεις Διὸς ἄντα "πελώριον ἔγχος ἀεῖραι." ἔδει γὰρ καὶ τὸ ἑξῆς δηλῶσαι τῆς ἀμυνῆς· ἀλλὰ διὰ τῆς ἐλλείψεως τοῦ ῥητοῦ τὸν ὑπερβάλλοντα τοῦ Διὸς χόλον κατὰ τῆς Ἀθηνᾶς παρασήμανε. ὁ γὰρ ἄκρως μανεὶς, πέφυκεν ὡς τὰ πολλὰ τὸν τῆς ἀμύνης λόγον φέρειν ἀτελῆ πρὸς ὃν παροξύνεται· οὕτω τὰ ῥήματα τοῦ Διὸς ἐνταῦθα συμβεβήκασιν ἀνθρωπίνοις εἰκάζεσθαι πάθεσιν.

429. ἀποφθίσθω] Τὸ ἀποφθίσθω διφορεῖται παρὰ τοῖς παλαιοῖς καθὰ καὶ ὁ θεματικὸς ἐνεστὼς αὐτοῦ.

429. Βιώτω, τὸ δὲ βιώτω δοκεῖ βιούτω εἶναι, ὡς χρυσούτω, καὶ μεταβολῇ ἐθίμῳ τῆς ου εἰς ω μέγα βιώτω. αἱ δὲ ὧραι ὡς ὑπηρετικαί τινες πλάττονται δαίμονες. ὧραι οὖν ἔλυσαν καλλίτριχας ἵππους τῇ Ἥρᾳ καὶ τῇ Ἀθηνᾷ θυμωθείσαις ἤδη κατὰ τοῦ Διὸς, καὶ οὕτω μὲν ὁ μῦθος. ἡ δὲ πρὸς ἦθος ἀλληγορία, αἴνιγμα ἐνταῦθα νοεῖ, τοῦ χρῆναι ὥραν εἶναι δέουσαν τοῖς ἐνδόξοις καὶ λύσεως θυμοῦ, τοῦ ἀλόγου μέρους τῆς ψυχῆς. τῷ δὲ Διῒ μετ' ὀλίγα, κλυτὸς Ἐννοσίγαιος τοὺς ἵππους λύει, ὡς τοῦ ἀέρος μέχρι

τοῦ κατὰ Ποσειδῶνα ὕδατος ἄνωθεν ἥκοντος, ἐκεῖσε δὲ καταλύοντος.

435. Ἐνώπια δὲ πολλοὶ μὲν τοὺς παροδίους τῆς εἰσόδου λέγουσι τείχους, τουτέστι τοὺς ἀντικρὺ τῆς εἰσόδου, οἳ ἐν ὀφθαλμοῖς εἰσι τῶν παροδευόντων ἔξωθεν, διὸ καὶ παμφανόωντα τὰ τοιαῦτα λέγει· ἡ μέν τοι Ὀδύσσεια ἐν τῇ κατὰ τοὺς μνηστῆρας μάχῃ, ἐμφαίνει ἐνώπια μάλιστα τοίχων εἶναι, τὰ ἐν τῇ τῶν θυρῶν εἰσόδῳ καὶ ἐξόδῳ πλάγια, εἰ καὶ μὴ παμφανόωντα ταῦτα.

437. Τετιημέναι, τίω τιήσω τετίημαι ἀντὶ τοῦ κεκόλασμαι. κυρίως ἐνταῦθα ἀπὸ τοῦ ἡγουμένου τὸ ἑπόμενον.

441. Λῖτα, τὸ λιτὸν, τὰ λῖτα, ἀνεβιβάσθη δὲ ὁ τόνος καὶ ἐγένετο ἴδιος· βωμοὺς νῦν τοὺς ἀναβαθμούς. λῖτα περιβόλαια, εὐτελῆ ἱμάτια.

441. Βωμοῖσι, βωμὸς οὐ μόνον ἐν ᾧ ἔθυον, ἀλλὰ καὶ κτίσμά τι ὑπερανεστηκὸς ὑφ' οὗ ἐστι βῆναί τι καὶ τιθέναι· σημείωσαι δὲ καὶ τὴν ἀνὰ πρόθεσιν δοτικῇ συντασσομένην.

448. Ἰστέον ὅτι τὸ, "Οὐ μὲν θὴν κάμετόν γε," οὐ μέν τον γράφουσι τινὲς, Ἀργολογικῶς τε καὶ Κρητικῶς· οἳ ἐξαιροῦντες τὸ ῑ, ἐντάττουσι τὸ ῡ, τὴν εἰς πρόθεσιν, ἓνς λέγοντες, καὶ τὸ, τιθεὶς, τιθὲνς, καὶ τὸ σπείδω σπένδω, καὶ τὸ αἰεὶ αἰὲν, καὶ τὸ οὐ μέν τοι, οὐ μέν τον. Σικελοὶ μέν τοι ἔμπαλιν, τὸ ῑ ἀντὶ τοῦ ῡ τάττουσι, τὸ ἔνδον, ἐνδοῖ λέγοντες, καὶ Ὅμηρος, εἰνάνυχες ἐννεάνυχες.

453. Μέρμερα ἔργα, τὰ μερίζοντα τὴν ψυχὴν καὶ τὰ ἄξια φροντίδος.

455. Τὸ "πληγέντε κεραυνῷ" ῥηθὲν ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς, Ἀττικῶς δίκην ἀρσενικοῦ καὶ οὐδετέρου ἐσχημάτισται, καὶ Ἡσίοδος οὕτω φησὶ, "Προλιπόντε ἀνθρώπους αἰδὼς καὶ νέμεσις." καὶ Εὐριπίδης, "ταυτὰ ἔχοντε γράμματα," ἤγουν ἔχουσαι αἱ δύο αἰδοί· καὶ ἡ τοῦ Σοφοκλέους Ἠλέκτρα ἐφ' ἑαυτῇ καὶ τῇ ἀδελφῇ λέγει· ἴδεσθε τώδε κασιγνήτω," ἤγουν ταύτας τὰς ἀδελφάς· "τούτω χρὴ τιμᾷν, ὣ ψυχῆς ἀφειδήσαντε." τὼ γυναῖκε δὲ καὶ τὼ χεῖρε καὶ τὼ θεὼ, καὶ αὐτὰ Ἀττικά.

459. Ἀκέων, ἀντὶ τοῦ ἀκῆν, ἤγουν κατὰ Σοφοκλῆν εἰπεῖν, "ἀλόγως" ἤτοι ἀλαλήτως· τούτου τρόπος ἐτυμολογικὸς, τὸ οὐδέ

τι εἶπε, καὶ γίνεται ἀπὸ τοῦ ἀκῆν· τοῦτο δὲ ἀπὸ τοῦ ᾱ στερητικοῦ καὶ τοῦ χαίνω· ὁ γὰρ μὴ χαίνων ὅλως οὐδὲ λαλεῖ.

463. εὖ νυ καὶ ἡμεῖς ἴδμεν] Ἀπορία πῶς τὸ αὐτὸ προοίμιον εἰποῦσα ἡ Ἀθηνᾶ ἐν τῇ παρὰ τοῦ Διὸς τῶν θεῶν ἀγορᾷ, κακείνη μὲν εἰς μειδιάμα ἔτρεψεν, ἐνταῦθα δὲ ἡ Ἥρα εἰς θυμόν; Λύσις· καὶ φαμὲν ὅτι ἐν τῇ τῶν θεῶν ἀγορᾷ, οὔπω τίς τῷ ἐκείνου θελήματι ἀντέπεσε, διὰ τοῦτο καὶ ἐκεῖνος ἔφη τὸ, "ἐθέλω ἤπιος εἶναι." ἐνταῦθα δὲ τῷ ἐκείνου θελήματι ἀντιπεσοῦσαι, εἰκότως διήγειραν εἰς θυμόν. ἕτερον δὲ, ὅτι οὐδὲ μετὰ ταῦτα κακείνῳ ὑπετάγησαν, ἀλλὰ καὶ ἐναντία ἐκείνου ἐκάθισαν. οὐδὲ προεῖπον τὶ, ὅπερ περισσοτέρως τὸν ἐκείνου θυμὸν ἀνῆψεν.

Ib. Οὐκ ἐπιεικτὸν, μηδενὶ εἶκον ἀλλὰ πάντων ὑπερέχον.

470. Ἠοῦς, σχῆμα προαναφωνήσεώς ἐστι, τουτέστιν ἐκ τῆς πρωΐας ὄψεαι.

472. ὀλλύντ' Ἀργείων] Τὸ ὅλον πραγματεύεται ὅτι Ζεὺς ὄλλυσι τοὺς Ἕλληνας, οὐχ ὁ Ἕκτωρ· ἴδε γὰρ ὅτι καὶ "Ἀργείων "στρατὸν αἰχμητάων" φησί· καλῶς δὲ καὶ τὸ "ὑπερμενέα" ἐνταῦθα, ὑπερμένει γὰρ ἐνταῦθα τῷ πείσματι μόνον ἵνα τὸν Ἀχιλλέα τιμήσῃ· οἰκεῖον δὲ τὸ βοῶπις πρὸς τὸ "ὄψεσιν αἴκ' ἐθέ- "λησθα." εἰ γὰρ βοῶπις εἶ, οὐχ ἡ δύναμις ἐστὶ τὸ ἀμφιβαλλόμενον ὅτι ἐὰν δύνῃ, ἀλλ' ἡ θέλησις, ὅτι ἐὰν θέλησθα ὑπομονητικῶς ἔχουσα πρὸς ταῦτα.

476. αἰνοτάτῳ] Αἰνοτάτῳ διὰ τοὺς ἐκεῖ φόνους γενομένους. Στείνει δὲ, τῷ στενώματι. εἴωθε γὰρ λέγειν τὴν στενὴν ὁδόν· λέγει δὲ τὴν ὑπὸ πολλοῦ πλήθους στενοχωρίαν.

478. νείατα πέρατα] Τουτέστι τὰ ἔσχατα τῶν ἐσχάτων, εἰ δεῖ οὕτω φάναι τέλη· ἅτινα φησὶ καὶ ἀφώτιστα τῇ ἡλιακῇ ἀπουσίᾳ ἧς ἐγκάθησθαι τὸν Κρόνον εἰκότως· Κρόνος γὰρ ἀπὸ τοῦ κορὸν τὸ μέλαν· καὶ τὸν Ἰαπετὸν, οὐ γάρ ἐστιν ἐκεῖσε βαδίζειν δυνατόν· καὶ τὸ μὴ ἀνέμοις καταπνεῖσθαι· καὶ τοῦτο προσηκόντως. ἐπεὶ γὰρ οἱ ἄνεμοι ἐκ τῆς ἀναθυμιάσεως τῆς ξηρᾶς γίνονται, αὕτη δὲ ὑπὸ τοῦ ἡλίου, τούτου μὴ ὄντος, οὐδ' ἄνεμον ἐστὶ συνίστασθαι. "νείατα," ἤγουν ἔνθα ἡ ἀπείρων γῆ τελειοῦται· πρὸς διαστολὴν δὲ εἶπε κελεύθου καὶ ὁδοῦ, αἵπερ πέρατα ὄντα, οὐκ εἰσὶ νείατα.

480. ὑπερίονος] Ἢ τοῦ ὑπεράνω ἰόντος, ἢ τοῦ υἱοῦ Ὑπερί-

ονος, ἢ ὅτι ἐξ Ὑπερείας τινὸς θεᾶς ἐγένετο. τὸ δὲ "τάρταρος," τόπος ἐστὶν ἡλίῳ ἀφώτιστος· τὸ δὲ "ἀμφὶς" ἀντὶ τοῦ ἀμφὶ αὐτούς.

486. ζείδωρον] Ἡ δωρουμένη τὴν ζειὰν, εἶδος σίτου.

488. ἀσπασίη] Ὡς ἡττωμένοις, καὶ διὰ τοῦτο ποθοῦσι τὴν νύκτα ἐλθεῖν.

Ib. τρίλλιστος] Πολυλιτάνευτος ἐκ τοῦ τρὶς, ἤτοι πολλὰ, καὶ τοῦ λίσσεσθαι· ἡ λιτὴ δὲ ἀπὸ τούτου τοῦ ῥήματος, εἰ καὶ ὑποστολὴν ἔπαθε τοῦ σ, ὡς καὶ ἄλλα.

490. Ἢ ποταμῷ δινήεντι ἐν καθαρῷ, ἢ ὑπερβατὸν, ἐν καθαρῷ νεκύων.

495. πόρκης] Τὸ κρίκωμα τὸ συνεκτικὸν τοῦ ξύλου καὶ τῆς αἰχμῆς· ᾧ καὶ οἰκεῖον τὸ περιθέειν, ἤτοι περικυκλοῦν; ὥσπερ καὶ τὸ περιάγεσθαι, ἀφ' οὗ καὶ "ἄγκιστρον περιηγὲς," τὸ περιφερές.

498. νῦν ἐφάμην] Ὑπέρφρονος τὰ τοιαῦτα ῥήματα, τὸ τὰ κοινὰ ἰδιοποιεῖσθαι, καὶ ἐπί τινι ἀριστεύματι μέγα φρονεῖν, οἷος νῦν ὁ Ἕκτωρ φαίνεται.

505. ἄξασθε] Τὸ ἄγειν καὶ τὸ φέρειν ὁ ποιητὴς ἐν οἶδε· τὸ δὲ ἄξασθε Ἀττικῶς ἐρρέθη κατὰ πάθος.

506. οἰνίζεσθε] Οἶνον λαμβάνετε, ὡς λέγω λόγον, οὕτω καὶ οἰνίζομαι οἶνον.

508. μέσφ' ἠοῦς] Μέχρις ἡμέρας, τοῦτο διασαφητικὸν τοῦ παννύχιοι.

Ib. ἠριγενείης] Ἤτοι τῆς γεννώσης τὸ πρωϊνὸν κατάστημα.

513. οἴκοθι] Τριχῶς τὰ ἐπιρρήματα ταῦτα, ἢ ἐκ τόπου ἢ εἰς τόπον, ἢ ἐν τόπῳ ἀμεταβάτως· οἴκοθεν ἐξ οἴκου, οἴκοσε εἰς οἶκον μεταβατικῶς, οἴκοθι ἐν τῷ οἴκῳ ἀμεταβάτως.

Ib. πέσσῃ] Τὸ πέσσῃ δὲ ἀντὶ τοῦ θεραπεύσῃ· τὰ γὰρ πρὸς θεραπείαν γινόμενα ἕλκη πέτεσθαι λέγονται· νοεῖται δὲ ἀντὶ τοῦ παρακατέχει.

517. Διῒ φίλοι] Ἤγουν τῷ ἀέρι, φωνητικοὶ γὰρ, διὸ καὶ ἠερόφωνοι λέγονται, τοῦτο ἐν τοῖς ἑξῆς τελέσει τὸ ἀστυβοώτης· τὸ δὲ ἀγγελλόντων, ἀντὶ τοῦ ἀγγελλέτωσαν, ἢ ἔστωσαν ἀπὸ τῶν ἀγγελλόντων· οὕτω καὶ τὸ πῦρ καιόντων.

518. κροτάφους] Αὐτόθι γὰρ πρῶτα πολιοῦσθαι ἀρχόμεθα,

διὸ καὶ κρόταφος κατά τινας ὁ κηρύσσων τὸν τάφον [c]· οἱ δὲ ἀπὸ τοῦ κροτεῖν τὴν ἁφὴν διὰ τὸ σφύζειν· ἢ ἀπὸ τῆς κόρσης, ἤτοι τῆς κεφαλῆς· τὸ δὲ "θηλύτεραι" ὁ Πορφύριος λέγει, ἢ ἁπλῶς ἀντὶ τοῦ θήλειαι, ὡς καὶ τὸ νεώτερος ἔστιν ὅτε ἀντὶ τοῦ νέος, ἢ συγκριτικῶς τῶν ἄλλων ζώων, οὐ γὰρ τέτακταί τις αὐταῖς καιρὸς ὁμιλίας τῆς εἰς τὸ γεννᾷν.

524. μῦθος δ' ὃς] Οὕτω συντακτέον καθ' ὑπερβατόν· ὁ μὲν λόγος ὃς νῦν εἰρημένος ἐστὶν, ἔστω ἀπαραποίητος, εἴτουν ὑγιὴς καὶ ἀκολόβωτος. καὶ σύνεσιν δὲ τινὰ ἡ λέξις δηλοῖ.

525. τόν δ' ἠοῦς] Ἀττικῶς ἀντὶ τοῦ κατὰ τὴν πρωΐαν, οὕτω καὶ τὸ νυκτός. Ὃν ἠοῦς ἔμελλεν εἰπεῖν, λέγει πάλιν καὶ αὐτὸν νῦν "ἔλπομαι εὐχόμενος Διΐ τ' ἄλλοισί τε θεοῖσιν, ἐξελάαν."

528. Τὸ δὲ "οὓς κῆρες φορέουσιν," ἐφερμηνευτικὸν τοῦτο τοῦ κύνας κηρεσσιφορήτους· μονονουχὶ λέγων οὐ τοὺς ἐπάγοντας κῆρας τοῖς Τρωσὶν, ἀλλ' οὓς κῆρες φέρουσιν, ἤγουν ἐπὶ κακῷ ἑαυτῶν ἡμῖν ἐπεστράτευσαν, καὶ κατὰ πάθος γὰρ καὶ ἐνέργειαν δὲ ὁ κηρεσσιφόρητος λέγεται.

530. ἠοῖοι] Ἐκ τοῦ ἠὼς ἠόος καὶ προσθέσει τοῦ ι, ἠοῖος. ἔστι δὲ τὸ πρωῒ τούτου διασαφητικὸν, ὅπερ μετ' ὀλίγον ἐρεῖ "ἠελίου ἀνιόντος." ἀπὸ δὲ τοῦ ἄω τὸ λάμπω γίνεται ἡ ἠὼς, καὶ τὸ αὔριον· ὅτι δὲ ἠοῖος καὶ ὁ ἀνατολικὸς, δῆλον.

536. Τὸ "ἐν πρώτοισι κείσεται," οὐ τοσοῦτον τὸν Διομήδους ἔπαινον περιέχει τὸ λεγόμενον παρὰ τοῦ Ἕκτορος, ὅτι ἐν πρώτοισι μέλλει πολεμεῖν, μὴ φοβηθεὶς καὶ ἐμὲ τὸν Ἕκτορα, καὶ κατὰ τοῦτο κείσεται ἐν τοῖς πρώτοισιν, ὅσον τὸν τοῦ Ἕκτορος ἔπαινον ἐμφαίνει, ὡς τοιούτου στρατιώτου ὄντος, καὶ τὴν ὁρμὴν πᾶσαν δείξοντος ὑποποσῶς [d] ὑποπτευόμενον Διομήδην καὶ φονεύσαντος αὐτὸν ὃν καὶ βούλεται ἐν τῇ τοιαύτῃ τοῦ πολέμου εἰσβολῇ.

540. τιοίμην δ' ὡς τίετ'] Ἡ ἐνταῦθα σύζευξις Ἀθηνᾶς καὶ Ἀπόλλωνος, ληρεῖται ὑπὸ τοῦ παραβάτου, διὰ τὸ Δία μὲν νοεῖσθαι τὸν ἥλιον, ἐξ αὐτοῦ δὲ νοεῖσθαι τὴν Ἀθηνᾶν, ἤτοι τὴν πρόνοιαν.

541. ὡς νῦν ἡμέρη] Αὕτη ἡμέρα κακὸν ἤγουν κάκωσιν, βλάβην, ἄγει τοῖς Ἕλλησι.

[c] Vel τύφον. [d] Sic.

542. κελάδησαν] Οἱ παλαιοὶ ἡρωϊκώτερον λέγουσιν εἶναι τὸ ἰάχειν τοῦ κελαδεῖν, ὡς τοῦ ἰάχειν τιθεμένου τοῖς Ἀχαιοῖς, τὸ δὲ κελαδεῖν τοῖς Τρωσὶν ὡς θορυβώδεσι.

545. ἶφια] Τοῦ ἶφια ἄδηλος ἡ εὐθεῖα εἴτε κατὰ τὸ ἴχνιον κλίνεται, εἴτε κατὰ τὸ στίμμι, ὃ δηλοῖ τὸν παρὰ τοῖς σοφοῖς χολλᾶν, ὃν κόχλον ἡ γυναικεῖα γλῶσσα καλεῖ. ὅτι δὲ τὸ στίμμι καὶ ἡ στίμμις λέγεται, οἷον

καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον,

καὶ ὡς τὸ ἶφια μονῆρες ἐστὶ, μὴ ἔχον καὶ ἑτέρας πτώσεις, δῆλον.

546. μελίφρονα] Τὸν τὰ μέλη εὐφραίνοντα, ἢ τὸν ἡδύνοντα ὡς μέλι, οὐχὶ γλυκὺν κατὰ ποιότητα.

549. πτολέμοιο γεφύρη] Γεφύρας ἐνταῦθα λέγει, ὃ προλαβὼν ἔφη, "ἐν καθαρῷ ὅπου νεκύων διεφαίνετο χῶρος," ἤγουν τὸν τόπον ἐν ᾧ οὐ γέγονε πολέμου κακόν. διὸ οἱ παλαιοὶ γεφύρας πολέμου τὰς διεξόδους φασί.

551. ὡς δ' ὅτ' ἐν οὐρανῷ] Ἄλλως ἐσχημάτισε τὸν λόγον, οὐκ ἐπενεγκὼν τῷ "ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα," τὸ οὕτως μεταξὺ νεῶν.

553. πρώονες] Οἱ προνενευκότες ὀρῶν τόποι ἐπικαμπεῖς· πλεονάζει τὸ ο, πρῶνες γὰρ λέγονται ἐκ τοῦ πρὼν πρωνὸς, ὃ δηλοῖ τὸν ὑψηλὸν τόπον, ὡς ἀπὸ τῆς προϊὼν μετοχῆς πλεονασμῷ τοῦ ι, καὶ κράσει τῶν λοιπῶν συμφώνων. ἐτυμολογεῖται δὲ καὶ ἀπὸ τοῦ πρωΐα. μάλιστα γὰρ ἡ πρωΐα ἐν ἐκείνοις διαφαίνεται. λέγεται δὲ ὁ πρὼν οὗτος, καὶ πρηών. τὸ δὲ πρώων πρώονος, κατὰ τὸ λώων λώονος κινεῖται, καὶ τῶν ὁμοίων.

554. νάπαι] Νάπαι κατὰ τοὺς παλαιοὺς δρυμοὶ, φάραγγες, κοιλάδες· γίνεται δὲ ἢ παρὰ τὸ νη ἐπιτατικὸν μόριον, καὶ τὸ πῶ πίνω, ὅθεν ἔστι πίνειν τὰ ἐκεῖ ζῶα, ἢ ἀπὸ τοῦ νη στερητικοῦ, καὶ τὸ φῶ τὸ λάμπω, οἱονεὶ νάφη τὶς, ἡ ἀφώτιστος καὶ οὐ κατὰ τὰς σκοπιὰς ἐκκειμένη φωτί· εὕρηται δὲ οὐδετέρως καὶ τὸ νάπος παρὰ τοῖς ποιηταῖς· ὅτι δὲ τὸ νη καὶ ἐπίτασιν δηλοῖ καὶ στέρησιν, δῆλον.

557. φαίνετο] γρ. καίετο.

558. πὰρ δ' ἑκάστῳ] Τὸ ἑκάστῳ συναπτέον τῷ σέλαϊ, ἵν' ᾖ παρ' ἑκάστῳ σέλαϊ.

560. κρῖ λευκὸν] Τὸ κρῖ ἀπὸ τοῦ κρίμνον ἔπαθε τὴν ἀποκοπὴν, διὸ καὶ οὐδέτερόν ἐστιν, ὡς καὶ τὸ δῶμα δῶ, καὶ κάρηνον κάρη. καὶ ὅτι λευκὸν ὡς καὶ μέλανος ὄντος τὴν ἐπιφάνειαν. ἀκίνητον δὲ εἰς κλίσιν τὸ κρῖ.

ὀλύρας] Ὅτι δὲ ὀρόβου παχύτερον σπέρμα ἡ ὀλύρα, δῆλον.

560. πεντήκοντα] Ἀπὸ τούτου δῆλον ποιεῖται ὁ Ὅμηρος, καὶ τὸν ἀριθμὸν τῶν Τρώων, πεντήκοντα χιλιάδας ἀναβιβάζεσθαι ἐμφαίνων αὐτούς.

I.

2. θεσπεσίῃ] Θεία πολλὴ ἐκ θεοῦ πεσοῦσα. ἰδίως μὲν διὰ τοὺς Τρῶας, ἰδίας δὲ διὰ τὸν πεσόντα κεραυνόν.

3. βεβολήατο] Ἀπὸ τοῦ βάλλω γίνεται βλῶ, βλήσω, βέβληκα, βέβλημαι, ἐβεβλήμην, ἐβέβληντο. προσθέσει τοῦ ο̄ ἐβεβόληντο, καὶ Ἰωνικῶς ἐβεβολέαντο καὶ τροπῇ τοῦ ε̄ εἰς η ἐβεβολήατο.

4. Εἰκάζονται τοῖς δύο ἀνέμοις οἱ Ἀχαιοὶ διὰ τὸν εἰς δύο τινὰ μερισμὸν αὐτῶν, οἳ μερίζονται ταῖς βουλαῖς, εἴτε φεύγειν εἴτε μένειν χρέων. ὁ δὲ "Βορέης" παρὰ τὴν βορὰν ἐτυμολογεῖται· καὶ γὰρ ἁδρύνει τοὺς στάχυας ὁ Βορρᾶς καὶ οὕτω γίνεται ἡμῖν βορᾶς αἴτιος· εἰ δὲ ὁ Βορρᾶς διὰ δύο ρ̄, ὁ δὲ Βορέας δι' ἑνὸς, ἔχεις ὁμοιότητα καὶ ἐν τῷ στερρὸς στερεός· Ζέφυρος δὲ ὁ τὰ πρὸς τὸ ζῆν φέρων. καρποφορεῖν γὰρ καὶ αὐτὸς ποιεῖ τὰς ἀρούρας πνέων. ἢ ὁ ἀπὸ τοῦ ζόφου οὖρος, ἤτοι ἐκ τῶν πρὸς δύσιν ἄνεμος· ἐμνήσθη δὲ ὁ ποιητὴς τῶν ἀνέμων τούτων, ἐκ τοῦ περιτυχόντος, οὐ κατά τι ἀναγκαῖον. Θρῄκηθεν δὲ πνέειν λέγει τὸν Ζέφυρον καὶ τὸν Βορρᾶν, ἢ διὰ τὸ τὴν Θρᾴκην κοινὸν οἰκητήριον ἀνέμων μυθολογεῖσθαι, ἢ διότι δι' αὐτῆς τῇ καθ' ἡμᾶς ἐμπίπτουσι θαλάσσῃ, οὐ μὴν ἐξ αὐτῆς ἐκείνης· οὐ γὰρ ἐκ Θρᾴκης ὁ Ζέφυρος πνέει ἀλλὰ κατὰ τὴν Θρᾳκίαν θάλασσαν, συμπίπτει τῷ Βορρᾷ περὶ τὸν Μέλανα κόλπον· ἡ δὲ Θρᾴκη, δρεπανοειδὲς ἔχει σχῆμα θέσεως.

7. Τὸ δὲ "παρὲξ" ἐκ τῆς παρα καὶ εξ προθέσεως συγκείμενον, ποτὲ μὲν διὰ τὴν εξ πρόθεσιν γενικῇ συντάσσεται, ἀπρακτούσης οἷον τῆς παρα, ὡς τὸ παρὲξ ὁδοῦ, ἤτοι ἔξω τῆς ὁδοῦ· ποτὲ δὲ τῆς παρα προθέσεως νικώσης, προάγεται εἰς αἰτιατικὴν,

σῖον, παρὲκ τὴν νῆσον ἤτοι, παρὰ τὴν νῆσον. πολλάκις δὲ καὶ ἀμφοτέρων τῶν προθέσεων τὴν σημασίαν ἐνεργοῦσαν ἔχει, λαμβανόμενον ἐπὶ τῶν μήτε πάνυ πολὺ ἀπεχόντων, μήτε ἐγγὺς ὄντων, ἀλλ' ἔξω μὲν, ἔγγιστα δέ.

9. βεβολημένος] Ἀτάκτως καὶ μὴ κατὰ τὸ προσῆκον βασιλεῖ, βεβολημένος γὰρ τὴν ψυχὴν μετὰ λύπης ἐκινεῖτο ὡς ἄντικρυς φοιτῶν, τουτέστι μαινόμενος. εὑρίσκεται γὰρ καὶ εἰς τοιαύτην σημασίαν τὸ φοιτᾷν καὶ παρὰ τῷ Σοφοκλεῖ, "φοιτᾷν τἄνδρασι "μανιῆσι νόσοις."

10. κηρύκεσσι] Εἰκότως ταῦτα ποιεῖ τοῖς κήρυξι πρὸς τὸ δυσωπεῖν ἐκείνους· ἡ γὰρ συμφορὰ ταπεινοῖ καὶ τὰ μεγάλα φρονήματα.

12. Διὰ τοῦτο οὐκ ἐᾷ ὁ βασιλεὺς λαλεῖν τοὺς κήρυκας ἐν ἀγορῇ, ἵνα μὴ ἔκπυστα τοῖς Τρωσὶ τὰ κατὰ τοὺς Ἀχαιοὺς γένοιντο, καὶ γνωσθεῖεν ἀμηχανοῦντες.

15. αἰγίλιπος] Οὐ μόνον διότι καθόλου τὸ ὕδωρ μέλαν εἶναι δοκεῖ μὴ φωτιζόμενον, ἀλλὰ καὶ ὡς ἐκ βάθους ἀνάγουσα τὸ ὕδωρ. αἰγίλιψ δὲ πέτρα ἥτις διὰ τὸ τοῦ ὕψους δυσανάβατος, καὶ ὑπὸ τῆς αἰγὸς λείπεται, ἁλτικοῦ ζώου καὶ πετροβατικοῦ.

Ib. δνοφερὸν] Ἢ τὸ μέλαν ἐξ ὁμοιότητος γνόφου, τραπέντος τοῦ γ̄ εἰς δ̄, συνήθως. ἢ τὸ μετὰ δονήσεως φερόμενον καὶ ψόφου τινὸς, ᾧ ψόφῳ ἔοικεν ὁ βαρὺς τοῦ βασιλέως στεναγμὸς, ὡς τὰ δάκρυα τῷ καταρρεόντι τῆς πέτρας ὕδατι.

Διὰ τοῦ "βαρέως στενάχειν" τὸ δακρυχέειν δηλοῦται ὡς τὸ "ἑζόμενοι λεύκαινον ὕδωρ." τοῦτο δὲ ποιεῖ, ἵνα ἐλεεινὸς γεγονὼς μὴ καταλειφθείη ὑπ' αὐτῶν.

17. ἡγήτορες] Οἱ μέδοντες καὶ ἡγήτορες, καὶ ἡγήτορες μέδοντες.

29. ἀκὴν] Παρὰ τὸ ἄγην ὃ σημαίνει τὴν ἔκπληξιν· ἡ γὰρ ἔκπληξις ἀφωνίαν οἶδε ποιεῖν, κατὰ τροπὴν τοῦ γ̄ εἰς κ. ἢ παρὰ τὸ μὴ χαίνειν γέγονεν, ἀχὴν καὶ ἀκήν.

32. ἀφραδέοντι] Κακῶς φράζοντι καὶ βουλευομένῳ, οὐ τῷ ἀφραίνοντι.

33. ἀγορῇ] Ἀλλὰ γὰρ οὐκ ἔστιν ἀγορεύειν ἄνακτι· ἀγορὰν δὲ ἐνταῦθα τὴν σύγκλητον ἔφη βουλήν.

Ib. σὺ δὲ μήτι χολωθῇς] Ἐν τῷ " σὺ δὲ μήτι χολωθῇς," σχῆμα προθεραπείας ἐστί.

Ib. Ἧι θέμις ἐστιν] Ἀντὶ τοῦ ὡς νόμος ἐστὶ τοῖς συγκληθεῖσιν εἰς ἀγορὰν ἀκωλύτως λέγειν· ἢ ἀντὶ τοῦ ἥτις θέμις ἐστὶν ἐν ἀγορᾷ, ἤγουν ὥσπερ νόμος ἐστὶν ἀγορᾶς· τὸ δὲ ἀλκὴ γίνεται ἀπὸ τοῦ ἀρκῶ τὸ βοηθῶ, ἀρκὴ τίς οὖσα, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ἀλκή.

34. ὀνείδισας] Ὄνειδος καὶ ἡ ἁπλῶς ὄνησις καὶ μέμψις καὶ ἡ τῶν εὐεργεσιῶν προφορὰ ἐπὶ ἐλέγχῳ ἀχαριστίας, ἤγουν ἡ τοῦ ὄντος εἴδησις.

38. σκήπτρῳ μὲν] Διῃρημένως τὸ ἕτερον τῶν δυοῖν οὐχ ἑκάτερον.

39. ἀλκὴν δ' οὔτι] Τοῦτο χρήσιμον εἰς τὸ " ἀλκὴν μέν μοι " πρῶτος ὠνείδισας." Τοῦτο ἐσχημάτισται, ἦν γὰρ κοινότερον εἰπεῖν, ἥτε κράτος ἐστὶ μέγιστον, ἢ καὶ ἄλλως, ὅπερ, ἤγουν τὸ δοθῆναι τινὶ ἀλκὴν, κράτος ἐστὶ μέγιστον.

43. νῆες δέ τοι] Τοῦτο λεληθότως σκῶμμα τῷ βασιλεῖ εὐφυὲς, ὡς δῆθεν προχείρου ὄντος τοῦ βασιλέως φυγεῖν.

45. ἀλλ' ἄλλοι μενέουσι] Ἢ περιττὸς ὁ ἀλλὰ, ἢ ἔλλειψιν ἔχει νοήματος· ἵνα λέγῃ, ὡς εἰ καὶ σὺ ἀπελεύσῃ, ἀλλὰ οἱ λοιποὶ μενοῦσιν.

47. φευγόντων] Ἔστι δὲ σχῆμα ἐλλειπτικὸν, ἤγουν φευγέτωσαν, Ἀττικῶς.

48. νῶϊ δ' ἐγὼ] Προτρεπόμενος αὐτοὺς οὐκ ἐδίστασεν, ἀλλὰ προθύμως φθέγγεται ταῦτα.

49. Ἴλίον εὕρωμεν] Τοῦτο ἐπιφωνηματικῶς ἐπῆκται θεραπεῦον τὴν δοκοῦσαν ἀλαζονείαν τοῦ ἥρωος.

Ib. Τὸ δὲ " εἰλήλουθα" ὅθεν καὶ τὸ " εἰλήλουθμεν" κατὰ Ἡρακλείδην τέσσαρσι πεποίηται διαλέκτοις, Ἀτθίδι, Ἰάδι, Βοιωτίᾳ, Αἰολίδι. ἐλεύθω γὰρ, οὗ μέσος παρακείμενος κοινὸς ἤλευθα, καὶ Ἀττικῶς ἐλήλυθα κατὰ τὸ ἤρεικα ἐρήρικα, ἤγουν ἔσχισα, ἤλειφα, ἀλήλιφα. [e] ἐπεὶ δὲ βεβοιώτισται τὸ προστιθέναι τῷ ῡ τὸ

[e] In marg. ἐπεὶ δὲ ἔθος Βοιωτῶν προστιθέναι τῷ ῡ τὸ ō, Βοιωτικῶς ἐλήλουθα, πλεονάσαντος τοῦ ᾱ.

ō, καὶ Ἰακὸν τῷ ε τὸ ῑ, γίνεται οὕτως εἰλήλουθα, οὗ πληθυντικὸν εἰληλούθαμεν, καὶ Αἰολικῶς, Αἰολέων γὰρ αἱ συγκοπαὶ, εἰληλουθμεν, ὥσπερ ἐκ τοῦ ἴσαμεν κατὰ συγκοπὴν τὸ ἴσμεν, καὶ ἐκ τοῦ ἐπεπίθομεν ἐπέπιθμεν. ἔπιθον γὰρ, ἐπέπιθον, ἐπεπίθομεν, ἐπέπιθμεν.

Ὥσπερ δὲ πατῶ πάτος, στείβω στίβος· οὕτω καὶ ἐλεύθω ἔλευθος, καὶ πλεονασμῷ τοῦ κ̄ κέλευθος· ὁμοίῳ δὲ λόγῳ καὶ τὴν Αὐλωνίαν Καυλωνίαν Χάραξ φησὶ, καὶ τὰ ἀνθήλια κανθήλια.

51. ἀγασσάμενοι] Τὸ ἀγάσασθαι ἐκπληκτικον· τὸ δὲ ἀγαίσασθαι φθονερόν.

53. ἐσσὶ] Εἶς, μεταθέσει τοῦ ῑ, καὶ πλεονασμῷ τοῦ σ̄, ἐσσί.

56. ἀτὰρ οὐ τέλος] Τουτέστιν ἐλλειπτικῶς συνεβουλεύσω, καὶ οὐ τελείαν γνώμην εἰσήνεγκας, οὐ δι' ἀφροσύνην ἀλλ' ὅτι εἶ νέος.

62. ἀτιμήσει] Τὸ ἀτιμήσει Ὁμήρῳ σύνηθες καθ' ὁμοιότητα τοῦ τιμήσει· οἱ δὲ μεθ' Ὅμηρον διὰ τοῦ ω̄.

63. ἀφρήτωρ] Τὸ ἐν Ἀθήναις τοὺς τικτομένους ἀπογραφόμενον, ὥστε φανερὸν εἶναι ὅτι πολῖται εἰσί.

Ib. ἀφρήτωρ] Γίνεται δὲ ὁ ἀφρήτωρ ἢ παρὰ τὴν προδηλωθεῖσαν φήτρην, ὃ δηλοῖ τὴν τριττὺν τῆς φυλῆς· ἢ παρὰ τὴν φατρίαν καὶ τοὺς φράτορας, τὸ ἐν Ἀθήναις σύστημα, τὸ τοὺς τικτομένους ἐν Ἀθήναις ἀπογραφόμενον, ὥστε φανεροὺς εἶναι ὅτι πολίται εἰσίν.

Ἡ δὲ Θέμις δοκεῖ θεά τις εἶναι τοῦ δικαίου φυλακτικὴ, διὸ καὶ τῷ Διῒ παρεδρεύει· κλίνεται δὲ θέμιδος καὶ Δωρικῶς θέμιτος· ὅθεν τὸ θεμιτὸν καὶ ἀθέμιτον, καὶ πλεονασμῷ τοῦ σ̄ θέμιστος καὶ ἀθέμιστος· ἐκ δὲ τοῦ θεμίσσω ἤγουν δικάζω ῥήματος, γίνεται ἡ θέμις· καὶ ἡ Ἑστία θεά τις ἐνομίζετο εἶναι συστατικὴ οἴκων. καὶ τόπος ἦν ἐν τοῖς οἴκοις ὅπη ταύτῃ ἔθυον· ἀπὸ δὲ τῆς αὐτῆς ἑστίας, καὶ ὅλος ὁ οἶκος οὕτω λέγεται, ὡς ἀπὸ κρείττονος μέρους τὸ πᾶν· ὡς ἀπὸ τοῦ κατὰ θυσίαν βωμοῦ, βωμὸς παρὰ τοῖς νεωτέροις ὅλος ὁ ναός· ὁ τοίνυν μὴ ἔχων ἑστίαν, ἔστιν ἀνέστιος.

64. Τὸ δὲ "ἔραται" ἢ ἀπὸ ἐνεστῶτος γίνεται σεσιγημένου τοῦ ἔρημι, ἐξ οὗ τὸ ἔραμαι, ὡς ἵστημι ἵσταμαι, ἢ παθητικὸς παρακείμενος ἐστὶν ἀναύξητος ἀπὸ τοῦ ἐράω ἐρῶ· τοιοῦτον δὲ καὶ τὸ

ἄγαμαι. κρεῖττον δὲ ἀπὸ τοῦ ἔρημι διὰ τὸ τὴν παραλήγουσαν συστέλλειν.

65. ἀλλ' ἤτοι μὲν] Ἄξιον γὰρ τοὺς κάμνοντας προνοεῖν τῆς θεραπείας τοῦ σώματος· φησὶ δὲ ὅπλα οἱονεὶ ποιησώμεθα τὰ δόρπα.

70. δαίνυ δαῖτα] Ἀττικόν ἐστιν ἐκ τοῦ εὐώχει εὐωχίαν, ὡς καὶ κατωτέρω βουλὴν βουλεύσῃ· τοῦτο δὲ ἐκ τοῦ δαίνυε κέκραται, ἢ καὶ γ̄ ἐστὶ πρόσωπον παρατατικοῦ τοῦ ἐκ τοῦ δαίνυμι.

Γέροντες δὲ οἱ ἔντιμοι ἐξ οὗ καὶ τὸ γερούσιον.

Τὸ δὲ "οὔτι ἀεικὲς," ἐφερμηνευτικὸν τοῦ ἔοικεν.

73. πᾶσά τοι ἔσθ'] Ἀντὶ τοῦ περιουσιάζῃ τοῖς ἀναγκαίοις, καὶ πάντα ἔχεις τὰ πρὸς ξενίαν καὶ ἀποδοχὴν (ὑπο) [f] γερόντων ἐπιτήδεια· διὰ δὲ τὸ μέτρον καὶ ἔκτασιν ἡ παραλήγουσα ἔπαθε.

Ib. ὑποδεξίῃ] Πάντα σοι πρόσεστι δι' ὧν ἐστὶ φιλοφρονῆσαι καὶ δεξιώσασθαι τινά. δεῖ δὲ ἐν τῷ τῶν λαφύρων δεσμῷ μερίδα τῷ βασιλεῖ διδόναι χάριν τῶν κοινῶν συμποσίων. δεῖ δὲ τὸν στρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθαι δὲ τὸ ἄριστον.

74. τῷ πείσεαι] Μετρίως οὐχ ἑαυτῷ ἀποδίδωσι, διδάσκει δὲ τὸν στρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθαι δὲ τὸ κράτιστον.

77. τίς ἂν τάδε γηθήσειε] Λείπει πρόθεσις ἢ εις ἢ κατα. ἢ ἀντιπτωτικῶς, τίς ἂν τούτοις γηθήσειεν;

78. νὺξ δ' ἤδη] Τουτέστιν ἀμφίβολον, εἴτε συνθησόμεθα κατὰ τὴν ἄρτι νύκτα, εἴτε καὶ μή.

85. κείαντο] Φαίνεται κἀνταῦθα προϋπόκειται τοῦ καίω ῥήματος ἡ διὰ τοῦ ε̄ ψιλοῦ γραφὴ, ὡς τὸ κέω κῶ καὶ ῥέω ῥῶ, εἶτα κατὰ παραγωγὴν καίω καὶ ῥαίω τὸ φθείρω, ἐξ οὗ καὶ ὁ ῥαιστὴρ καὶ ὁ κυνοραϊστής.

91. ἑτοῖμα] Ἕτοιμον γράφεται· ἀναλογώτερον δὲ τὸ ἑτοῖμον παντοῖον.

97. Ἐπ' αὐτῷ κειμένου· ἢ ἐπεὶ τότε εἰς αὐτὸν ἔληξε λέγων, "λίσσομ' Ἀχιλλῆα μεθέμεν χόλον." ἐκείνην δὲ τὴν λῆξιν, ἀρχὴν ποιεῖται τοῦ νῦν διαλόγου.

103. δοκεῖ] Ἰστέον ὅτι ἡ σύνθεσις ἐναλλάττει τὰς συζυγίας,

[f] Sic.

οἷον δοκῶ δοκεῖς, προσδοκῶ προσδοκᾷς, ὁρῶ ὁρᾷς, θεωρῶ θεωρεῖς· κυκλῶ κυκλοῖς, ὃ καὶ κυκλεύειν φαμὲν, εἰσκυκλῶ εἰσκυκλεῖς· λογίζω, ἐλλογῶ· χειρίζω χειρίσω, διαχρῶ διαχρήσω· σκοτίζω ἐπισκοτῶ· ἱερεύω καλλιερῶ· τοπῶ τοπᾷς· καχυποτοπῶ καχυποτοπεῖς· ξενίζω κακίζω, προξενῶ φιλοξενῶ, ἐκκακῶ, ὁρίζω ὁμορῶ, ὁρκίζω εὐορκῶ, ὁπλίζω εὐοπλῶ, πλέω εὐθυπλοῶ, ῥέω εὐροῶ, τιμῶ τιμήσω, ἀτιμῶ ἀτιμώσω.

Ἰστέον δὲ ὅτι παρ' Ἀθηναίοις μὲν οἱ ἀλεκτρυόνες ἠγωνίζοντο δημοσίᾳ μιᾶς ἡμέρας τοῦ ἔτους· ὅμοιον δὲ καὶ Ῥωμαῖοι δι' ὀρτύγων ἐποίουν, κήρυκος προσφωνοῦντος τὸ, ποῦλλιποῦγατ, ἤγουν τὰ πωλία μάχονται.

101. κρῆναι] Τελειῶσαι, εἰς τέλος ἀγαγεῖν τὸ ὑπ' ἄλλου καλῶς λεγόμενον.

109. ἀπεμυθεόμην] Ἀπηγόρευον, ἐκώλυον, ὃ ἀνάπαλιν ἔχει πρὸς τὸ παραμυθεῖσθαι.

Ib. μεγαλήτορι θυμῷ] Ψυχῇ, δύναται δὲ μεγαλήτορα θυμὸν λέγειν, καὶ τὸν πάνυ μέγαν θυμόν.

112. ἀρεσσάμενοι] Φιλοφρονησάμενοι πείσοιμεν, εἰς φιλίαν ἁρμοσάμενοι, ὅθεν καὶ ἀρθμὸς ἡ φιλία, καὶ ἑταῖροι ἐρίηρες, οἱ ἄγαν ἀλλήλοις ἀρετοὶ, ἤγουν ἡρμοσμένοι, καὶ πρόσαρμα ἡ τῷ σώματι προσφυὴς τροφή. καὶ μετ' ὀλίγα ἀρέσαι φησὶν ἐνεργητικῶς τὸ φιλοφρονήσασθαι, καὶ τὸ ἀρήσασθαι δὲ, ἤγουν εὔξασθαι, ὅμοιόν ἐστι, καὶ γὰρ τὸ ἀρᾶσθαι ἁρμονία τίς ἐστι πρὸς θεὸν, ὥσπερ καὶ ἡ εὐχὴ, ἣν ὁ Αἰλιανὸς πρέσβιν φησὶ πρὸς θεὸν ἀδωρότατον.

116. ἀναίνομαι] Τὸ ἀναίνομαι ταυτόν ἐστι τῷ μὴ αἰνῶ, ἤγουν συναινῶ, συγκατατίθεμαι.

Ib. ἀντί νυ πολλῶν] Ἀντάξιος πολλῶν ἐστιν ὁ ὑπὸ Διὸς φιλούμενος ἀνήρ.

119. ἀλλ' ἐπεὶ ἀασάμην] Ἐγὼ τῆς ἐμῆς βλάβης γέγονα αἴτιος.

120. ἀρέσαι] Εἰς ἀρέσκειαν ἐλθεῖν, φιλιωθῆναι, ἀπὸ τοῦ ἑπομένου τὸ ἡγούμενον.

121. ὀνομήνω] Πρὸς ὄνομα καλέσω.

122. Ὡς πρὸς σύγκρισιν τῶν "ἐν πυρὶ λεβήτων."

Τῶν τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἳ καὶ αἴθωνες λέγοιτ' ἄν, ὡς πυρὶ αἰθόμενοι· οἱ δὲ ἀναθεματικοὶ, πρὸς κάλλος ἀνατιθέμενοι ἐν οἴκοις ἢ ναοῖς ἄχραντοι πυρί.

123. αἴθωνας] Τοὺς πρὸς πῦρ ἐπιτηδείους, ἴσως τοὺς ἐκ τοῦ γεγανῶσθαι λαμπρούς· τοὺς καλουμένους ἐμπυριβήτας, παρὰ τὸ αἴθεσθαι.

124. πηγοὺς] Ἐπὶ παντὸς ζώου τὸ μελάνχρουν ἰσχυρότερον. πηγοὺς δὲ τοὺς εὐπαγεῖς καὶ στερρεούς· οἱ δὲ παλαιοὶ νοοῦσι μέλανας, ὡς αὐτοὺς ὄντας ἀρίστους.

Ib. ἀέθλια ποσσὶν ἄροντο] Νοητέον δὲ ὅτι οὗτοι ἐν Τροίᾳ ἀγωνιζόμενοι ἤραντο ἀέθλια.

Ib. Τὸ δὲ "ἄροντο," χρόνου ἐστὶ παθητικοῦ παρατατικοῦ, ἴσως δὲ καὶ μέσου ἀορίστου δευτέρου, οὗ πρῶτον τὸ, "ἠράμεθα μέγα "κῦδος." ὥσπερ δὲ ἴχνος ἴχνιον κατὰ παραγωγὴν, οὕτω καὶ ἄεθλον, ὅθεν τὸ ἆθλον κέκραται, ἀέθλιον. ὅτι δὲ τὸ μὲν ἆθλον καὶ ὁ ἀθλοφόρος μεσάζονται τῷ νοήματι, ὁ δὲ ἄθλιος ἀεὶ καὶ ἡ ἀθλιότης ἐπὶ δυστυχίας λέγεται, καὶ ἔστιν ἄθλιος ὁ οἷον δυσάεθλος, δῆλον.

125. ἀλήϊος] Ληΐων μνησθεὶς ἐξοχὴν τῆς γεωργίας ἐγκωμιαστικὴν ἐνέφηνε.

128. ἀμύμονας] Ἀμύγμων, καὶ ἐν ἀφαιρέσει τοῦ γ̄, ἀμύμων. ἀμύμων δὲ λέγεται ὁ μὴ ἔχων τί τῆς μυγμῆς· μυγμὴ δὲ λέγεται ὁ διὰ τῶν μυκτήρων ἦχος, ἤγουν τῶν ὑβριστῶν.

129. Λεσβίδας] Ὡς καὶ ὅτι ὁ παροιμιαζόμενος Λεσβίος ᾠδὸς ὁ Τέρπανδρος ἦν. ὥσπερ δὲ λεσβιάζειν τὸ μολύνειν τὸ στόμα ἀπὸ τῶν Λεσβίων, οὕτω καὶ κιλικίζειν καὶ αἰγυπτιάζειν τὸ πονηρεύεσθαι, καὶ κρητίζειν τὸ ψεύδεσθαι· λαικάζειν δὲ καὶ λαικάστρια ἡ πόρνη, ἡ καὶ κασωρὶς καὶ κασωρίτις καὶ κασαλβὰς, ὅθεν καὶ ῥῆμα κασαλβάζειν. παρὰ Λεσβίοις ἀγὼν ἤγετο κάλλους γυναικῶν ἐν τῷ ὄρει ἤγουν τῷ τεμένει τῆς Ἥρας λεγόμενος καλλιστεῖα· ἡ Λέσβος νῆσος ἐστὶν ἐν Αἰγαίῳ πελάγει πόλεις ἔχουσα πέντε.

130. ἐξελόμην] Ἐπελεξάμην, ἑρμηνευτικὸν δὲ τὸ, αἳ κάλλει ἐνίκων.

131. μετὰ δ' ἔσσεται] Ἤτοι σὺν αὐταῖς ὀγδόη ἔσσεται ἡ Βρισηΐς.

133. ἐπιβήμεναι] Ἐκ τοῦ ἐνταῦθα ἐπιβῆναι λέγεται καὶ ἡ ἐπίβασις, ἤγουν ὀχεία παρὰ τοῖς μεθ' Ὅμηρον· καὶ τὸ βατεῦνται παρὰ Θεοκρίτῳ ἐπὶ ζώων μίξεως.

137. νηησάσθω] Νηησάσθω ἤτοι σωρευσάτω, δοκεῖ δὲ εἶναι παράχρησις. ἔτι δὲ καὶ ἐτυμολογία ὡς τῆς νηὸς ἀπὸ τοῦ τοιούτου παρετυμολογουμένης ῥήματος, διὰ τὸ ἐν αὐτῇ σωρεύεσθαι τὰ ἀγώγιμα· κοινῶς δὲ νησάσθω ὤφειλεν εἶναι, ὡς ἀπὸ τοῦ νῶ νήσω τὸ σωρεύω, ἐξ οὗ καὶ τὸ ἐπενήνεον κατὰ ἀναδιπλασιασμόν· τὸ δὲ αὐτὸς ἑλέσθω ταυτόν ἐστι τῷ ἐξελέσθω, ἐπικρινάτω, ἐπιλεξάσθω.

141. εἰ δέ κεν Ἄργος] Ἤτοι τὴν Πελοπόννησον λέγει πρὸς διαστολὴν τῶν ἄλλων, οὐ γὰρ ἓν Ἄργος· ἐκ τούτου δὲ καὶ ἡ Ἑλένη Ἀργεία, ὡς ἄν τις εἴπῃ Πελοποννησία.

Ib. Χρυσόθεμις] Τρία συνέχει τὴν ἀρχὴν, νόμος ὀρθὸς, κρίσις ἡ πρὸς τὸν δῆμον, καὶ ἰσχὺς ἄρχοντι πρέπουσα. ὅθεν καὶ Ἀγαμέμνων προσφυῶς καλεῖ τὰς αὐτοῦ θυγατέρας· καὶ ἔστιν ἡ μὲν Χρυσόθεμις, τοῦ ὀρθοῦ νόμου καὶ καθαροῦ παρώνυμος διὰ τὴν θέμιν· ἡ δὲ Λαοδίκη τῆς κρίσεως τοῦ δικαζομένου λαοῦ· ἡ δὲ Ἰφιάνασσα τῆς βασιλικῆς ἰσχύος, ἤτοι τοῦ ἶφι ἀνάσσειν. ὅρα δὲ ὅτι Ἠλέκτρα ἐνταῦθα οὐ κεῖται, ἀλλὰ φασί τινες τὴν Λαοδίκην ταύτην εἶναι, Ἠλέκτραν ἐπικληθεῖσαν, ἢ κατὰ τρόπον διωνυμίας, ἢ διὰ τὸ κατ' ὄψιν ἠλεκτρῶδες καὶ χρυσοειδὲς, ἢ κατὰ λόγον τινὰ σκώμματος, διὰ τὸ πολὺν χρόνον ἄλεκτρον μεῖναι χόλῳ Κλυταιμνήστρας, ὃ δὴ ἐμφαίνεται καὶ παρ' Εὐριπίδῃ.

142. ἔοι] Ἔω ἔειν, ἡ μετοχὴ ὁ ἐὼν, καὶ τὸ εὐκτικὸν ἔοιμι ἔοις ἔοι. — ἑνικόν ἐστι τοῦ ἔωσι ὃ ἀνωτέρω κεῖται.

146. ἀνάεδνον] Ἔδνα δὲ κυρίως τὰ ἐκ τοῦ ἀνδρὸς διδόμενα τῇ γυναικί· φερνὴ δὲ ἡ τῆς γυναικὸς προὶξ, ἣν Ὅμηρος καὶ μείλια ἢ ἐπιμείλια λέγει, διὰ τὸ τὸν ἄνδρα μειλίσσειν, ἤτοι κατὰ μέλι γλυκαίνειν, ὥσπερ καὶ ἔδνα εἴρηται παρὰ τὸ τὴν νύμφην ἥδειν· ἥδανα τινὰ ὄντα, καὶ ἐν συγκοπῇ καὶ συστολῇ ἔδνα· τὸ δὲ ἐπιμείλια κ. τ. λ. Ὁ δὲ στίχος ὁ Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα, λογοειδὴς καλεῖται, οὐκ ἔχων δίαρμα ποιητικόν.

156. λιπαρὰς] Τὰς λιπαροποιοὺς καὶ εὐδαιμονεῖν ποιούσας διὰ τὴν θέμιν καὶ τὸ δίκαιον.

Ib. *τελέουσι θέμιστας*] Τὰ προσήκοντα τοῖς βασιλεῦσι δικαίως καὶ νομίμως ἀποπληρώσουσι.

158. *ἀμείλιχος*] Ἀμείλικτος, ἐκβολῇ τοῦ κ̄ καὶ τροπῇ τοῦ τ̄ εἰς χ̄.

Ib. *δμηθήτω*] Ἤτοι ἐπιεικευσάσθω μοι ὁ Ἀχιλλεύς, ᾄδου γὰρ τὸ ἀμείλικτον, εἶτα ἐπάγει καί μοι ὑποστήτω, τουτέστιν ὑπ' ἐμὲ στήτω, ὑπειξάτω, ἐκ δὲ τοῦ ὑποστήτω οἱ μεθ' Ὅμηρον λαβόντες, ὑποστῆναι τὸ ὑπομεῖναι φασὶ, καὶ θυμὸν ἀνυπόστατον τὸν ἀφόρητον.

161. *προγενέστερος*] Πολυχρονιώτερος, τίμιον δὲ πάντως καὶ ἡ μεγάλη βασιλεία καὶ ἡ πρεσβυγένεια.

164. *ὀνοστὰ*] Τὸ δὲ ὀνοστὰ εὑρίσκεται καὶ δίχα τοῦ σ̄, ὁμοίως τῷ γνωστὸς καὶ γνωτός· ἐκ δὲ τοῦ ὀνοτῶ γίνεται καὶ ὀνοτάζειν τὸ μέμφομαι.

Ib. *διδοῖς*] Πρωτότυπον τοῦ δίδωμι.

165. *κλητοὺς*] Ἐξ ὀνόματος ἐπιλέκτους ἐκκρίτους πρέσβεις δηλονότι.

167. *ἐπιόψομαι*] Ἐπικρινῶ, ἐπιλέξω, ἀκριβέστατα ἐπιτηρήσας τῷ νῷ.

Τὸ τὴν δεξιὰν ἐμβαλεῖν ᾧ φίλος τοῦτο τὸ δεξιοῦσθαι, ὡς σύμβολον δὲ ἀγάπης μεταφέρεται καὶ ἐπ' ἄλλα τινὰ δι' ὧν ἐστί τις δεῖξαι ἑαυτοῦ φίλον ὄντα.

168. *Φοῖνιξ*] Ὁ Φοῖνιξ παιδαγωγὸς ἦν Ἀχιλλέως, ἐξελθὼν δὲ εἰς θέαν τῆς συγκροτήσεως τοῦ πολέμου, ἐκρατήθη παρὰ τῶν Ἀχαιῶν συνεστιαθῆναι μετ' αὐτῶν, ἐν τῷ παρὰ τοῦ Ἀγαμέμνονος γεγονότι δειπνοκλήτρῳ.

Σημείωσαι ὅτι ὁ Νέστωρ μὲν τὸν Φοίνικα ἡγήσασθαι συμβουλεύει, Ὀδυσσεὺς μέντοι αὐτὸς ἡγεῖται προϊὼν τῆς εἰς τὸν Ἀχιλλέα εἰσόδου, ἢ διὰ θερμότητα ψυχῆς, ἢ διὰ τὸ μὴ συγκαταλέγεσθαι αὐτοῖς ὡς κυρίως πρέσβιν τὸν Φοίνικα, ὡς καὶ ἀνωτέρω εἴρηται. Ἰστέον δὲ ὅτι τὸν Φοίνικα μὲν ὡς παιδαγωγὸν πρώτιστα ἐπιλέγεται εἰς πρεσβείαν ὁ Νέστωρ· αἰδέσεται γὰρ Ἀχιλλεὺς τὸν διδάσκαλον ἱκετεύοντα· εἶτα Αἴαντα τὸν μέγαν καὶ Ὀδυσσέα ὡς φιλουμένους διὰ τὸ ὁμοιοπαθὲς, καὶ αὐτοὶ γὰρ συνυβρίσθησαν τῷ Ἀχιλλεῖ εἰ καὶ μὴ ἐμνησικάκησαν. ἢ καὶ ἄλλως· Αἴας μὲν πέμ-

πεται ὡς συγγενὴς τῷ Ἀχιλλεῖ, Ὀδυσσεὺς δὲ, ὡς ῥήτωρ· αὐτὸς δὲ ὁ Νέστωρ οὐκ ἐθέλει πρεσβεῦσαι, τάχα μὲν ὑπερπαθῶν τοῦ βασιλέως ὡς φιλοβασιλεὺς, τυχὸν δὲ καὶ τὸν Ἀχιλλέα αἰδούμενος· μάλιστα δὲ ταμιεύεται τὸν Νέστορα ὁ ποιητής· κήρυκες δὲ ἐπιλέγονται εἰς τὰς λιτὰς ὁ Ὀδίος καὶ ὁ Εὐρυβάτης, ἵνα δόξῃ δι' αὐτῶν καὶ ὁ βασιλεὺς αὐτὸς παρεῖναι τῇ πρεσβείᾳ, ὥσπερ καὶ τὴν Βρισηΐδα κηρύκων ἀφελομένων, αὐτὸς ἐκείνην ἀφελέσθαι λέγεται.

173. Τοῦ "ἑαδότα" θέμα τὸ ἥδω, οὗ μέσος ἄρρητος παρακείμενος ἧδα, μετοχὴ δὲ αὐτοῦ ἡδὼς, καὶ διαλύσει ἑαδώς· ὡς ἥλω ἑάλω καὶ τὰ λοιπά.

174. αὐτίκα κήρυκες] Τοῦτο ἐφερμηνευτικὸν τοῦ, "φέρτε χερ-" σὶν ὕδωρ."

175. ἐπεστέψαντο] Ἐπιστεφεῖς, τουτέστιν ἐπιχειλεῖς τοῦ ποτοῦ τοὺς κρατῆρας ἐποίησαν, ἤτοι μέχρι τῆς στεφάνης ἐπλήρωσαν τοῦ ποτοῦ.

Ib. ποτοῖο] Πότος τὸ συμπόσιον, ποτὸς τὸ πινόμενον.

179. δενδίλλων] Περιβλέπων Ἰωνικὴ ἡ λέξις, δηλοῦσα τὸ περιβλέπεσθαι καὶ δινεῖν τοὺς ἴλλους ὧδε καὶ ἐκεῖ, ἐξ ὧν ἰλλοὶ οἱ στραβοί.

184. μεγάλας φρένας] Ἀφ' οὗ τὸ, μεγαλόφρονα τὸν Ἀχιλλέα εἰπεῖν.

188. ἐνάρων] Ἀπὸ τοῦ ἐναίρω, τοῦτο δὲ ἐτυμολογικὸς τρόπος ἐστὶν, ἀπὸ γὰρ τοῦ αἴρω τὰ ἔναρα γίνονται.

189. ὅγε θυμὸν ἔτερπεν] Ἐκ τοῦ φρένα τερπόμενον παραπέφρασται.

Ib. ἄειδ' ἄρα κλέα ἀνδρῶν] Οὐ μὴν γυναικῶν κατὰ τοὺς ἐν θηλυδρώδεσι κωμάζοντας μέλεσι· καὶ σημείωσαι ὅτι ἀείδων ὁ Ἀχιλλεὺς κλέα ἀνδρῶν, ἀοιδίμους ἐκείνους φερωνύμως ἐποίει. τίς δὲ τῶν παλαιῶν φησὶν ὅτι μουσικὸς ὢν ὁ Ἀχιλλεὺς κιθάραν πρώτην ἐκ τῶν λαφύρων ἔλαβε, καὶ ταύτῃ τὴν μῆνιν κατεύναζεν, οὕτω φασὶ καὶ Κλεινίας ὁ Πυθαγόρειος, ὅτε εἰς ὀργὴν προήχθη, λύραν ἁρμοσάμενος ἐκιθάριζε, καὶ οὕτως παραμυθεῖσθαι ἔλεγεν.

191. Αἰακίδην] Τὸν Ἀχιλλέα παππωνυμικῶς.

193. Τὸ "στὰν" ἤγουν ἔστησαν, ἐκ τοῦ στὰς στάντος γέγονε,

κατὰ τὸ φθὰν ἀντὶ τοῦ ἔφθασαν, ἐκ τοῦ φθὰς φθάντος, καὶ τὸ φὰν ἀντὶ τοῦ ἔφησαν ἐκ τοῦ φὰς φάντος· παρεισήρρησαν, ἀντὶ τοῦ παρεισεφθάρησαν.

Ib. Θάπτω θάψω, ὁ δεύτερος ἀόριστος ἔθαπτον, καὶ ἐναλλαγῇ τῶν δύο ἀφώνων εἰς τὰ αὐτῶν ἀντίστοιχα ἔταφον, ἐπί τε νεκρικῆς ταφῆς, καὶ ἐπὶ ἐκπλήξεως δὲ μεταφορικῶς, ὅθεν καὶ τάφος οὐ μνῆμα μόνον, ἀλλὰ καὶ ἡ ἔκπληξις. καὶ ἡ μετοχὴ "ταφών." ὥσπερ δὲ τὸ ἔθαπον, ἀφ' οὗ τὸ τεθηπέναι, ἀφώνων ἐναλλαγὴν ἔπαθεν εἰς τὰ ἀντιστοιχοῦντα, οὕτω καὶ ἄλλα εὑρίσκονται παρὰ τοῖς Ἴωσι· τὸ γοῦν ἐντεῦθεν ἐνθεῦτεν φασὶ, καὶ τὸν χιτῶνα κιθῶνα, καὶ τὸν βάτραχον βάθρακον, καὶ τὰ ἀκάνθια ἀχάντια, οὕτω καὶ χύτρα κύθρα λέγεται.

194. λιπὼν ἕδος ἔνθα θάασσεν] Ἐφερμηνευτικὸν τοῦ ἀνόρουσεν, ἐκάθητο, ἐξ οὗ θάκος ὁ θρόνος λέγεται, ὡς ἀπὸ τοῦ θῶ, ὁ θῶκος, θοάζει μὲν γὰρ φασὶ τὸ μαίνεται καὶ σκιρτᾷ, θαάσσει δὲ τὸ κάθηται, καὶ θακεῖ κάθηται, καὶ θάκος δίφρος, καὶ καθέδρα τίς.

196. δεικνύμενος] Γίνεται ἀπὸ τοῦ δείκω Ἰωνικοῦ, ἐξ οὗ δέκνω δεκνύω δέκνυμι καὶ πλεονασμῷ δείκνυμι, ἐξ οὗ μεταφορικῶς δείκνυσθαι λέγεται, καὶ τῷ δακτύλῳ, ἢ ἄλλως πῶς γνώριμόν τι ποιεῖν.

200. τάπησι] Τοῖς προσκεφαλαίοις τοῖς ὑποκειμένοις, οὐχὶ τοῖς ὑπερκειμένοις ὥς τινες ἔφασαν· τοῦτο δηλοῖ καὶ τῆς λέξεως ἡ ἐτυμολογία ἀπὸ τοῦ πατεῖσθαι κατὰ μετάθεσιν, ἐξ οὗ ῥήματος παρήχθη καὶ ὁ ταπεινὸς, ἐοίκασι καὶ μαλλωτοὶ οἱ τάπητες εἶναι. Παυσανίας δὲ λέγει ὅτι ἀμφιτάπητες οἱ ἀμφίμαλλοι, οἱ δὲ ἑτερόμαλλοι τάπητες.

203. ζωρότερον] Ἀντὶ τοῦ σπουδαιότερον καὶ ζωηρότερον, ἢ ἀντὶ τοῦ ἀκρατότατον· γίνεται δὲ καὶ αὐτὸ ἀπὸ τοῦ ζεῖν· ὁ γὰρ Ἀχιλλεὺς ἔοικεν ὑδατέστερον πίνειν, μᾶλλον δὲ ἐπὶ ἀκράτου νοεῖται τὸ ζωρόν· γίνεται δὲ τὸ μὲν "κέραιε" ἀπὸ τοῦ κερῶ κεραίω, ὡς ἀγῶ ἀγαίω τὸ θαυμάζω καὶ μέμφομαι, ἢ καὶ ἄλλως, κέραιρε ἀπὸ τοῦ κερῶ κεραίρω, ὡς σπῶ σπαίρω καὶ ἀσπαίρω, ὥστε μείζων μὲν ἵσταται ἄρτι κρατὴρ, διὰ τὸ πλείστους εἶναι, ζωροτέρως δὲ διὰ τὸ κεκμηκότας εἶναι τοὺς παραβαλόντας φίλους· τὸ δὲ

ἔντυνον ταυτὸν τῷ ὅπλισον, ἐπεὶ καὶ ἔντεα δαιτὸς, τὰ εἰς αὐτὴν σκεύη· γίνεται δὲ ἀπὸ τοῦ ἐντύω ὡς θύω θύνω.

206. κρεῖον] Ὁ Ἀχιλλεὺς κρεοδόχον ἀγγεῖον ἤτοι λέβητα, ἐν ᾧ τὰ κρέατα ἕψονται. Εὐφορίων δὲ, κρεῖον αὐτὸ τὸ κρέας νοεῖ, διὰ τὸ τὸν ποιητὴν μηδαμοῦ μεμνῆσθαι κρεῶν ἑφθῶν ἐν ἀγγείῳ ἀλλὰ μόνων ὀπτῶν. Παυσανίας δὲ κανοῦν νοεῖ τὸ κρεῖον· ὥσπερ δὲ ἀπὸ τοῦ κρέας τὸ κρεῖον, οὕτως καὶ ἀπ' αὐτοῦ καὶ ἡ κρεάγρα καὶ ὁ κρεανόμος· ὁ δὲ Ἡρόδοτος [g] τὴν ἐκ τῶν ὠμῶν κρεάτων πεπληρωμένην τράπεζαν.

208. σιάλοιο] Εὐτραφοῦς, λιπαροῦ, ἀπὸ τοῦ σιτεῖσθαι ἅλις.

209. Αὐτομέδων τάμνε] Ὅρα ὅτι καὶ ἐνταῦθα ὡς καὶ ἀλλαχοῦ αὐτουργοῦσιν οἱ ἥρωες.

Ib. τῷ δ'] Ἡ σὺν τῷδε τῷ Πατρόκλῳ, ἢ τάδε, ἤγουν τὰ κρέα.

212. ἐκάη] Τὰ ξύλα τὰ ἐπιτιθέντα τῷ πυρί.

Ib. ἐμαράνθη] Ὅρα τὸ ἐμαράνθη ῥηθὲν ὑπὸ σβέσεως φλογὸς, καὶ σημείωσαι ὅτι τὸ μαίρειν ἐξ οὗ τὸ μαραίνειν καὶ τὸ ἐμαράνθη ὑφεῖσθαι δοκεῖ πρὸς τὸ φλέγειν καὶ τὴν φλόγα· εἴγε φλογὸς μαρανθείσης ἀπομένει ἡ ἀνθρακιά· λέγεται δὲ τὸ μαραίνεσθαι καὶ ἐπὶ ἀνθέων καὶ ἀνθρώπων· ἐφερμηνευτικὰ δὲ ἀλλήλων τὸ "πῦρ "ἐκάη καὶ φλὸξ ἐμαράνθη."

Ib. Ἀνθρακιὴν ἀνθρακιὰ ὁ περιέχων τόπος τοὺς ἄνθρακας, ὡς ῥοδωνιὰ ὁ περιέχων τόπος τὰ ῥόδα.

213. στορέσας] Ὡς ἐπί τινος στρώματος.

214. ἁλὸς θείοιο] Μυθικῶς μὲν ὃν ὁ Ἀχιλλεὺς κειμήλιον εἶχε, δῶρον ὄντα Νηρέως ἐκ τοῦ πατρικοῦ γάμου, ὡσὰν ἐὰν ἐξ αὐτοῦ καταπάττῃ βρῶμα ἡδύτατον αὐτὸ ποιεῖν· καὶ τὸν ἐν μεγίσταις ὄντα λύπαις πείθῃ φαγεῖν· καὶ τὸν ἅλα τοῦτον γοῦν τοῦ Νηρέως θείαν τινὰ ἔχειν δύναμιν ὁ μῦθος φησὶν, ἢ διὰ τὸ συναγωγὸν εἶναι εἰς φιλίαν καὶ εὐνοίας σύμβολον τοῖς ξένοις, ἐν ταῖς τραπέζαις παρατίθεται.

Ib. κρατευτὰς δὲ φασὶ τινὲς τῶν παλαιῶν τὰς τῶν ὀβελίσκων λαβάς· οἱ δὲ ἀκριβέστεροι λίθους νοοῦσιν, ἐφ' ὧν τὰ ἄκρα τῶν ὀβελίσκων ἐτίθεντο ἐν τῷ ὀπτᾶσθαι τὰ κρεά· Παυσανίας δὲ φησὶν ὀβελοὶ ἢ λίθοι ἢ σιδήρια ἐφ' ὧν οἱ ὀβελίσκοι ἐπιτίθενται.

[g] Leg. Ἡρόδωρος.

215. Ὁ δὲ "ἐλεὸς" γίνεται ἀπὸ τοῦ ἕλος ἑλεός· εἴρηται δὲ καὶ οὐδετέρως καὶ πλεονασμῷ τοῦ ι, εἰλεός. ἐλεία δὲ τράπεζα ἡ ἐπιμήκης ἡ ἐξ εἰλείων ῥάβδων πεπλεγμένη.

220. θυηλὰς] Ἤτοι ἀπόμοιραν τῶν ὀπτηθέντων κρεῶν.

229. ἀλλ' οὐ δαιτὸς] Ἀλλ' οὐ τῆς ἐπεράστου καὶ καλῆς εὐωχίας τὰ ἔργα ἐν φροντίδι εἰσὶν ἡμῖν.

230. σαωσέμεν] Ἢ καὶ ἄλλως σαωσέμεν τὰς νῆας, ἀπολέσθαι δὲ ἡμᾶς.

231. εἰ μὴ σύγε δύσεαι ἀλκὴν] Τὴν εἰς τὸν πόλεμον ὁρμὴν ἣν ἄρτι ἐκδεδύσθαι δοκεῖς, ᾧ παρόμοιον καὶ τῷ "ἐπιειμένος ἀλκήν." ἐν οἷς ὅρα καὶ τὸ ἁπλοῦν τῆς διηγήσεως καὶ ἀληθές. οὐ γὰρ ἐθέλει ψεύδεσθαι τῷ φίλῳ διά τε αὐτὸ τὸ δέον, καὶ ὅτι οὐδὲ ἔχει λαθεῖν, προφανὴς γὰρ ὁ κίνδυνος.

234. Οὐδέ τι φασὶ] Τουτέστιν οὔ φασιν ἡμᾶς ὑπομεῖναι καὶ ἀντιστῆναι, ἀλλὰ φεύγοντας ἐμπεσεῖν ταῖς ναυσίν. ἢ καὶ ἄλλως, οὔ φασι σχήσεσθαι μάχης, ἤγουν ἐφέξειν ἑαυτοὺς, ἀλλὰ διώκοντας ἐμπεσεῖσθαι ταῖς ναυσί.

236. Ζεὺς δὲ] Διὰ τὸ ἐξ ἀέρος γίνεσθαι. ἀλληγορικῶς γὰρ ὧδε Ζεὺς ὁ ἀήρ.

238. Μαίνεται] Ὥστε θεομανίαν ὁ Ἕκτωρ νοσεῖ, οὗ λόγος που καὶ τὸ, εἴην ἀθάνατος καὶ ἀγήραος, καὶ τιμώμην ὡς Ἀθηνᾶ καὶ Ἀπόλλων. ἡ γὰρ τοιαύτη μανία ψεύδεται, οὐ μὴν ἡ ἐν πολέμῳ μανία ἁπλῶς.

241. στεῦται] Οἷον ἐν τοῖς στήθεσι διανοεῖται, ἐκεῖ γὰρ τὸ λογιστικόν. ὡς τὸ, "στῆθος δὲ πλήξας, κραδί' ἠνίπαπε μύθῳ." ὡς ἀθλῶ ἀθλεύω, οὕτω καὶ στῶ στεύω στεύομαι στέῃ στεύεται καὶ στεῦται.

Ib. ἄκρα κόρυμβα] Ἢ ὡς ἂν μὴ ἅψηται τὸ πῦρ τῶν ἐν αὐτοῖς ἀγαλμάτων, ἢ μάλιστα ἵνα κατὰ παλαιὸν ἔθος ἀναθήσει αὐτὰ ναοῖς ἐγχωρίοις ὡς τρόπαια. εἰσὶ δὲ τὰ ἀκροστόλια καὶ οἷον κορυφαὶ νεῶν· ἔστι δὲ κατὰ μεταπλασμὸν γένους τὸ κόρυμβον. κόρυμβος δὲ ἀρσενικῶς καὶ κόρυμβον οὐδετέρως, καὶ πᾶν ἄκρον καὶ κορυφή· οἷον ὁ τοῦ ὄρους κόρυμβος, ἢ τί τοιοῦτον ἕτερον.

243. ὑπὸ καπνοῦ] Ἐκ δὲ τοῦ καπνοῦ, καπνοσφράντης ὁ

φειδωλὸς, καὶ ῥῆμα καπνίζειν, τὸ ἐπὶ εὐωχίᾳ πῦρ ἀνάπτειν, ὅθεν καὶ κρέα καπνιστὰ παρ' Ἀθηναίῳ.

Τοῦτο ποιεῖ· ἢ ἵνα προσάξῃ ταῦτα τῷ τοῦ Ἀπόλλωνος ναῷ πρὸς ἔνδειξιν τοῦ οἰκείου ἀριστεύματος.

246. Ἄργεος ἱπποβότοιο] Φανερῶς ὁ Ὀδυσσεὺς ἐκ τούτου τὰς τῶν ὅλων χώρας δηλοῖ, ὅσοι κατὰ Τροίας ἐστρατεύσαντο. εἴληφε δὲ ἐκ μέρους τοῦ κρείττονος τὰς πάσας.

248. εἰρύεσθαι] Τὸ ἐρύεσθαι δὲ ποιεῖ ἐξ ἀφαιρέσεως, τὸ κοινῶς λεγόμενον ῥύεσθαι.

250. Ἄκος] Ἡ θεραπεία παρὰ τοῖς ἰατροῖς. παρὰ δὲ τοῖς Ἀττικοῖς ἀκέω ἀκῶ τὸ ῥάπτω καὶ ἀκέστωρ ὁ ῥάπτης.

255. σὺ δὲ μεγαλήτορα] Τουτέστι τὴν μεγάλην ὀργὴν ἔπεχε.

256. ἴσχειν] Λείπεται ἔξωθεν τὸ θέλησον κατὰ ἰδίωμα Ἀττικόν. ἡ ἔγκλισις ἐστὶν ἀντ' ἐγκλίσεως ἀντὶ τοῦ ἴσχε, τὸ ἀπαρέμφατον ἀντὶ ἐνεργητικοῦ.

257. ἔριδος κακομηχάνου] Πρὸς διαστολὴν τῆς εὐμηχάνου, ἤτοι τῆς ἀγαθῆς. τέλος δὲ ἀγαθωσύνης τὸ ὄφρα σε τίωσιν εἶναι. ὑποδηλοῖ δὲ διὰ τούτου τοῦ ῥητοῦ τὴν ἐξ ἁπάντων τιμήν.

259. λήθεαι] Πάνυ εὐσχημόνως τὸ ἀνηκουστεῖν λήθην ὀνομάσας.

260. χόλον θυμαλγέα] Οὐ μόνον ἀλγύνων τοὺς καθ' ὧν ὁ θυμὸς, ἀλλὰ καὶ σὺν αὐτοῖς τὸν θυμούμενον.

262. εἰ δὲ] Εἰ δὲ, ἤγουν εἰ δὲ θέλεις, ἐλλειπτικῶς, σὺ μέν μευ ἄκουσον, ἐγὼ δὲ ἐξείπω.

263. Δῶρ'] Τοῦτο τρίτον κεφάλαιον καταλέγον τῷ Ἀχιλλεῖ χάριν κολακείας τὰ τοῦ Ἀγαμέμνονος δῶρα.

283. οὖθαρ] Ὁ μαστὸς ἐπὶ τῶν ἀλόγων ζώων.

285. τηλύγετος] Οὐ μόνον ὁ γεννηθεὶς ἀπὸ ἀώρου πατρὸς, δηλονότι ἐν γήρᾳ ὄντος λέγεται, ἀλλὰ καὶ ὁ ἐν πολλαῖς θυγατράσι γεννηθεὶς μόνος υἱὸς, ὥσπερ καὶ τοὐναντίον ἡ ἐν πολλοῖς υἱοῖς γεννηθεῖσα θυγάτηρ. τινὲς δὲ τῶν ὕστερον δριμύτερόν πως τῇ λέξει ἐχρήσαντο, τηλύγετον εἰπόντες τινὰ στρατιώτην τῆς οἰκείας παρατάξεως μόνον ἐναπομείναντα, διὰ τὴν μόνωσιν.

284. ἔοις] Ἀντὶ τοῦ ἔσῃ, ἀπὸ τοῦ ἔοιμι.

P. 253, 42. Ἕλληνας. Τὸ σχόλιον εἰς τὸ δὴ λεχθέν. Τὸ σχῆμα ἀνθυποφορά. διαφέρει δὲ ἀνθυποφορὰ καὶ ἀντίθεσις καὶ ἀντιπίπτον. ἀντιπίπτον μὲν γάρ ἐστιν ὅτε οἶδεν ὡς ὅτι μέλλοι αὐτῷ τί ἀντιπεσεῖν ὡς ἄτοπόν τι λέγοντι, καὶ ἐπανορθώσηται αὐτῷ ἀπροσποιήτως, ὥσπερ καὶ λεληθότως. ἀνθυποφορὰ δὲ, ὅταν μέρος μὲν ὥσπερ καταδέχεται τοῦ λεγομένου ὁ ἀκροατὴς, ἀμφιβάλλει δὲ περὶ τὸ λοιπόν. ἀντίθεσις δὲ ὅταν ἀπό τινος κεφαλαίου ὁρμᾶται ἢ ἀπὸ δικαίου ἢ συμφέροντος ἤ τινος τῶν τοιούτων.

305. οὔ τινα φησὶν ὁμοῖον] Οὐ γὰρ ἁπλῶς πάντων τῶν Ἀχαιῶν φησὶν ὑπερέχειν ὁ Ἕκτωρ, ἀλλὰ μόνων τῶν εἰς Τροίαν πλευσάντων, ἤγουν καὶ τοῦ Ἀχιλλέως καὶ τῶν λοιπῶν. ἔστι δὲ τούτου ἐφερμηνευτικὸν τὸ, "οὓς ἐνθάδε νῆες ἔνεικαν," ἤτοι ἤνεγκαν καὶ ἤγαγον. Ἐνταῦθα προαναφωνεῖται ὁ τοῦ Ἕκτορος θάνατος πότε ἔσται.

301. πάντας Ἀχαιοὺς] Ἀντὶ τῆς ὀργῆς τοῦ ἀδικήσαντος τὴν ἱκετείαν τῶν Ἑλλήνων.

309. ἀπηλεγέως] Δίχα τοῦ ἀλέγειν τινὸς, ἤτοι ἀποτόμως καὶ ἀνυποστόλως εἰπεῖν· τοῦτο δὲ μετ' ὀλίγα στερρεῶς ἀπειπεῖν λέγει, ἤτοι ἀπαγορευτικῶς, διαρρήδην.

312. Ἀΐδαο] Τὸν ᾅδην φασὶ διὰ τῆς εἰσόδου δηλῶν τὰ ἐντὸς, καθὰ καὶ μετ' ὀλίγα φασὶν, "ὅσα οὐδὸς Ἀπόλλωνος ἐντὸς ἐέργει," ἐκεῖ δὲ πορρωτέρω εἶπε. διὰ μὲν τοῦ οὐδοῦ, τὰς πύλας δηλώσας, ἐξ αὐτῶν δὲ τὸ κάτω τοῦ ναοῦ.

315. οὔτ' ἐμὲ γ' Ἀτρείδην] Τρισσῶς συντάσσεται, ὡς οὔτε ὁ Ἀγαμέμνων, οὔτε οἱ ἄλλοι πείσουσί με. ἢ καὶ ἑτέρως διὰ τὰς συχνὰς αἰτιατικὰς, οἷον οὔτε ἐγὼ, οὔτε οἱ ἄλλοι πείσομεν τὸν βασιλέα. Καὶ ἄλλως—Ὡς οὔτε ἐμὲ οὔτε ἄλλους Ἀχαιοὺς ἰσχύσει πείσειν ὁ Ἀγαμέμνων.

316. ἐπεὶ οὐκ ἄρα τις χάρις] Τουτέστι διότι οὐκ ἔγνων μοι χάριτας οἱ Ἀχαιοὶ προπολεμοῦν αὐτῶν. ἐφερμηνευτικὸν δὲ τοῦ νωλεμὲς τὸ αἰεὶ, ἔστι δὲ Ἀττικὸν τὸ σχῆμα ὅμοιον τῷ λίαν πάνυ, καὶ τοῖς τοιούτοις. τὸ δὲ "νωλεμὲς" ἀπὸ τοῦ νω στερητικοῦ καὶ τοῦ λείπω τὸ καταλιμπάνω.

318. ἴση μοῖρα μένοντι] Καὶ τοῦτο ἀχαριστίαν τῶν Ἀχαιῶν κατηγορεῖ. ἔστι δὲ καὶ ἐξαλλαγὴ τοῦ σχήματος.

320. ἐοργὼς] Ῥέζω, ῥέρεχα, ῥέρογα καὶ ἔοργα. ῥήσσω ῥήξω ῥέρηχα, ὑπερβιβασμῷ τοῦ ρ̄ ἔρρηχα, ὁ μέσος ἔρρηγα, καὶ τροπῇ τοῦ η̄ εἰς ω̄ ἔωργα. ἀπὸ τοῦ ἔργω ἔοργα, ὡς ἔλπω ἔολπα.

322. παραβαλλόμενος] Παραβάλλειν, τὸ παρατιθέναι καὶ παραρρίπτειν, ἐξ οὗ τὸ ἰδιωτικὸν παράβλημα. παραβαλλόμενος δὲ ἤτοι παραρίπτων ἑαυτὸν ἐν τῷ πολέμῳ.

Ib. πτολεμίζειν] Ἀπαρέμφατον ἀντὶ ὀνόματος ἐν τῷ πολέμῳ.

323. νεοσσοῖσι] Οὐχ ἁπλῶς νεοσσοῖσι παρεικάζει τοὺς Ἀχαιοὺς, ἀλλὰ καὶ ἀπτέροις, ὑπεξαίρων αὐτούς. ἀπτὴν δὲ παρὰ τὸ πτῶ πτήσω πτὴν καὶ ἀπτὴν, ὥσπερ καὶ τὸ ἔχω ἀεχὴν καὶ ἐν συναιρέσει ἀχὴν ὁ πτωχὸς ὁ μηδὲν ἔχων. νεοσσὸς δὲ ὁ νέον καὶ ὁ νεωστὶ σευόμενος καὶ κινούμενος. ἢ ὁ νέον ὀσσόμενος ἤγουν φῶς βλέπων.

325. ἴαυον] Ποτὲ μὲν ἐπὶ ὕπνου ἀνακλίσεως τίθεται, οἷον "τῇ "περιαύων" ἤγουν παρακοιμώμενος. ἐπὶ πολὺ δὲ ἐπὶ διατριβῆς, ὅ ἐστιν ἀργίας, λέγεται, ὅθεν καὶ ἐνιαυτὸς ὁ μακρὸς χρόνος καὶ πολλὴν ἔχων διατριβήν· ὧδε γοῦν τὸ ἴαυον ἀντὶ τοῦ διέτριβον καὶ διῆγον. πῶς γάρ ἐστι τὸν ἄϋπνον νύκτας ἰαύειν, ἤγουν κοιμᾶσθαι.

326. διέπρησσον] Πρήσσειν δὲ κυρίως ἐπὶ περάματος θαλάσσης, διαπρήσσειν καταχρηστικῶς καὶ ἐπὶ γῆς, οἷον "διέπρησσον πε-"δίοιο." ἐνταῦθα δὲ τὸ ἁπλῶς διανύειν καὶ οἷον διεξοδεύειν.

329. κατὰ Τροίην] Οὐκ αὐτὴν τὴν πόλιν, ἀλλ' ὡς ἐκ μέρους τὴν πεπορθημένην ὅλην ἤπειρον. ἐπεὶ γὰρ τειχήρεις ἦσαν οἱ Ἰλιεῖς, ἔξω Ἀχιλλεὺς ἐποίει τὸν πόλεμον.

331. δόσκον] Ποιηταῖς δὲ μόνοις ἀρέσκει ἡ τοιαύτη λέξις. ἰστέον δὲ ὡς οὐκ ἀνάλογον τὸ δόσκον, ἐκ τοῦ δῶ, δώσω, παρελήγετο γὰρ ἂν τῷ ω̄ μεγάλῳ, κατὰ τὸ βιώσκω, τιτρώσκω, πτώσκω καὶ τὰ ὅμοια.

332. ὅ δ' ὄπισθε μένων] Ἀργῶς καὶ νωθρῶς διακείμενος. ἐντρεπτικῶς δὲ εἴρηται.

333. δεξάμενος] Ὁ δὲ λαμβάνων ὅλα, ὀλίγα διεμοίραζε.

Ib. δασάσκετο] Δάζω, δάσω, δάσκω.

Ib. ἔχεσκεν] Ὡς τοῦ Ἀχιλλέως μὲν προμαχοῦντος, τοῦ δὲ βασιλέως ὄπισθεν μένοντος. Σημείωσαι ὅτι τὰ μὲν ἀριστεῦσι

καὶ βασιλεῦσι διδόμενα, δῶρα ἦν· τὰ δὲ εἰς τὸ κοινὸν, δασμὸς, διὸ καὶ "δάσκετο" εἰπὼν, ἐπάγει· ἄλλα δὲ τοῖς προέχουσιν ἐδίδου δῶρα.

Σημείωσαι ὅτι οὔτε ἐξ ἀνάγκης οἱ ἀριστεῖς βασιλεύουσιν, οὔτε βασιλέων τὸ ἀριστεύειν ἐστι.

334. ἀριστήεσσι] Ἀριστεὺς ὁ ἐν τῷ πολέμῳ νικῶν.

336. θυμαρέα] Τῇ ψυχῇ ἀρέσκουσαν. φιλιώσεως γὰρ σημαντικὴ ἡ λέξις, ὅθεν καὶ τὸ ἀρέσαι ὃ καὶ ἀρέσασθαι λέγεται.

338. ἀνήγαγεν] Λέξις ἐστὶ ναυτικὴ, καὶ δηλοῖ τὸ ἀναπλέειν πεποίηκεν.

343. ἐκ θυμοῦ] Ἀντὶ τοῦ ἐκ ψυχῆς μέσης, ὃ καὶ ἐκθύμως λέγεται. τὸ μέν τοι ἀπὸ θυμοῦ ἐναντίον τούτῳ ἐστίν. ὡς τὸ "ἀπὸ "θυμοῦ ἐμοὶ ἔσσεαι," ἐξ οὗ καὶ τὸ ἀποθύμιον τὸ καταθύμιον. ὅμοιον δὲ τῷ ἐκ θυμοῦ κατ' ἐπίτασιν προθέσεως, καὶ τὸ ἐκνομίως, ἀντὶ τοῦ λίαν καὶ ἔξω πάσης νομίσεως.

344. ἀπάτησε] Καιρία ἡ λέξις αὕτη διὸ καὶ προϊὼν ἐπιμένει αὐτῇ.

346. ἀλλ' Ὀδυσσεῦ σὺν σοὶ] Καθάπτεται καὶ τῶν φίλων οὐκ αἰδούμενος, Ὀδυσσέως καὶ Αἴαντος δηλαδή.

348. μάλα πολλὰ] Μυκτηρίζει τοῦ τείχους καὶ τὴν τάφρου ἐπίνοιαν, καὶ οἷον ἀντιδάκνει τὸν Νέστορα τὸν πρὸ ὀλίγου εἰπόντα "τούς δ' ἔα φθινύθειν," ὡς ἐκείνου βουλῇ γεγονότα τὰ τοιαῦτα. ἢ ὡς εἰρωνικὸς ὁ λόγος κ. τ. λ.

353. οὐκ ἐθέλεσκε] Τὸ "Ἕκτωρ οὐκ ἐθέλεσκεν" εὐφήμως εἴρηται. κατὰ εἰρωνείαν δὲ, ἀντὶ τοῦ οὐκ ἠδύνατο, ἵνα ἐκφοβῇ καὶ βαρύνῃ τοὺς πρέσβεις.

355. ἔνθά ποτ'] Διπλῶς νοεῖται, ἢ ἐκεῖσε ποτὲ μόνον ἐμὲ περιέμεινεν, ἢ ἐκεῖσε ποτὲ ἅπαξ ἔμεινε μόνον.

356. πολεμίζειν Ἕκτορι] Τὸ πᾶν ἐν τῇ Τροίᾳ τὸν Ἕκτορα εἶναι δηλοῖ.

360. μάλ' Ἑλλήσποντον] Ἐνταῦθα ἡ ἠριγένεια. τὸ δὲ μάλα κατὰ παρολκὴν κεῖται.

Ib. Ἑλλήσποντον, τὴν περὶ τὸν ναύσταθμον θάλασσαν, μεθ' ἣν καὶ ὁ Αἰγαῖος. τοῦτον δὲ τὸν Ἑλλήσποντον ἀλλαχοῦ πλατὺν λέγει πρὸς διαστολὴν τοῦ στενοῦ.

P. 256, 35. Ed. Διὰ τούτου ἐδήλωσεν, καὶ ὡς τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ, ναυτικωτάτους εἶναι.

364. ἐνθάδε ἔρρων] Ἤτοι ἐπικενῶς κοπιῶν, ὡς τοιούτου ὄντος τοῦ κενῶς κοπιᾷν. λέγει δὲ τοῦτο καὶ διὰ τὸν βασιλέα, "ἕκηλος "ἐρρέτω." ὅτι δὲ ἐπὶ τοῦ χωλεύειν τίθεται, ἡ τοῦ Ἡφαίστου ὁπλοποιΐα δηλώσει.

367. ἃς ἔλαχον] Ὡς εἷς δηλαδὴ τῶν τοῦ πλήθους. τοιοῦτον γὰρ τὸ λαχεῖν.

370. ἐπισκύζωνται] Ὀργίζονται, ἐξ οὗ τὸ ἐπισκύνιον.

373. ὦπα ἰδέσθαι] Σημείωσαι ὡς ἐντεῦθεν τοῖς παλαιοῖς ἐλήφθη τὸ διακυνοφθαλμίζεσθαι, ὅπερ δηλοῖ τὸ ὑποβλέπεσθαι καὶ ὑφορᾶσθαι ἀλλήλους.

376. Τὸ δὲ "ἐπέεσσιν ἐξαπατᾶν," εἴρηται πρὸς τὸ "μὴ "κλέπτε νόῳ." ἢ ὅτι ἐξαπάφοιτό τις καὶ ἔργοις.

Ib. ἀλλὰ ἕκηλος] Λείπει τὸ ὧν ἠπάτησεν.

377. ἐρρέτω] Μεθ' ἡσυχίας ἀπ' ἐμοῦ χωριζέσθω. Τὸ "ἕκηλος "ἐρρέτω" πρὸς ὑπόνοιαν καὶ προσδοκίαν ἐρρέθη.

Ib. φρένας εἵλετο] Ἀντὶ τῶν φρενῶν ἐστέρησεν.

378. ἐχθρὰ δέ μοι τοῦ δῶρα] Διὸ καὶ ἀναπέμπιμα ἐγένοντο.

Ib. ἐν καρὸς] Κὰρ ἄνθρωπος τίς μωρός.

381. Ὀρχομενὸν] Ἰστέον ὅτι πολλοί εἰσιν Ὀρχομενοί, ὧν καὶ ὁ ἐν Βοιωτίᾳ Μινύειος καλούμενος ἀπὸ Μινυοῦ ποταμοῦ περιρρέοντος, ὡς καὶ ὁ Ἀρκαδικὸς, πολύμηλος. ὁ δὲ γαμβρὸς ὅτι δηλοῖ ποτὲ καὶ τὸν πενθερὸν, δῆλον.

Ib. ποτινίσσεται] Διφορεῖται τῷ λόγῳ τὲ τῶν διὰ τοῦ ισσω ῥημάτων, καὶ ὡς ἀπὸ τοῦ νέω νείω τὸ πορεύομαι.

Ib. Θήβας] Φασὶ τὰς Θήβας πάλαι ποτὲ βασίλειον εἶναι τῶν Αἰγυπτίων, καὶ Διὸς πόλιν λέγεσθαι, μητρόπολιν δὲ Αἰγύπτου ἔχουσαν καὶ ἱερὰ πολλὰ καὶ εἴσοδον ἐκ πολλῶν φόρων.

382. Αἰγυπτίας] Συστέλλει ἀναγκαίως τὴν προπαραλήγουσαν διὰ τὸ ἡρωϊκὸν μέτρον τοῦ δακτύλου.

Ib. κεῖται] Ἀντὶ τοῦ εἰσί.

383. διηκόσιοι] Τὸ πλῆθος καὶ τὴν εὐδαιμονίαν τοῦ λαοῦ δηλοῖ.

385. οὐδ' εἴ μοι τοσα δοίη] Τουτέστι τὰ ὑπερπίπτοντα πάντας

ἀριθμοὺς, ἢ ὡς οἱ παλαιοὶ φασὶν, οὐδὲ εἴ μοι δοίη ὑπὲρ τὰ τῆς οἰκουμένης τἀγαθά.

387. πρίν γ' ἀπὸ πᾶσαν] Πρὶν ἁρμοζόντως αὐτὸν ἀμύνασθαι. Πρὶν δοῦναί μοι δίκην ἀντιλωβηθῆναι ὧν με ἐλύπησεν.

389. κάλλος ἐρίζοι] Ὁμοιοῦται κατὰ τὴν εὐμορφίαν.

393. σόωσι] Ἔστιν ἐνταῦθα ῥῆμα τὸ σόω διὰ τοῦ ο̄ μικροῦ, ἐξ οὗ καὶ τὸ σόος ἔοικε γίνεσθαι καὶ λαοσόος, καὶ μετ' ὀλίγα "νῆας τε σόῃ καὶ λαὸν Ἀχαιῶν."

394. γαμέσσεται] Γαμῆσαι διὰ τοῦ η̄ τὸ εἰς γάμον ἐλθεῖν, ἤτοι γυναῖκα λαβεῖν. γαμέσαι δὲ διὰ τοῦ ε̄, τὸ γυναῖκα δοῦναι. τοῦτο δὲ ἐγγαμίζειν οἱ ὕστερον λέγουσιν, ὡς ἄν τις εἴπῃ ἐκπροικίζειν.

395. Ἑλλάδα τε Φθίην] Ἑλλὰς δὲ καὶ Φθία πόλεις Θετταλικαὶ, "Ἀχαιΐδες" καὶ αὐταὶ, διότι καὶ οἱ ἐκεῖσε Μυρμιδόνες Ἀχαιοὶ ἐκαλοῦντο, κατὰ τὸ, "Μυρμιδόνες δὲ καλεῦντο καὶ "Ἕλληνες καὶ Ἀχαιοί."

396. ἀριστήων] Ὀνειδίζει τὴν ἀνδρείαν τῷ Ἀγαμέμνονι, φύλακες γὰρ πόλεων οἱ ἀριστεῖς.

398. ἀγήνωρ] Νῦν ὁ ἄγαν ἀνδρεῖος, ποτὲ δὲ ὁ αὐθάδης καὶ ὑπερήφανος.

399. εἰκυῖαν] Ἰστέον δὲ καὶ ὅτι ὡς φρίσσω, φρίξω, πέφριχα, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν πέφρικα ἐνεργητικός ἐστιν ἀόριστος, οὕτω καὶ εἴκω τὸ πρέπω, εἴξω εἶχα, καὶ τροπῇ ὁμοίως εἶκα, ὅθεν τὸ Ὁμηρικὸν εἰκυῖα. εἰ γὰρ ἦν μέσος παρακείμενος, διὰ τῆς οι̅ διφθόγγου εἶχεν ἂν τὴν ἄρχουσαν, οὕτω καὶ τὸ εἰκὸς ἔχει.

400. κτήμασι] Λείπει τὸ, ἐθελήσω, ἵν' ᾖ ἐθελήσω τέρπεσθαι.

401. ἀντάξιον] Ἀντὶ πληθυντικοῦ λεχθὲν, Ἀττικῶς ἐσχημάτισται ὡς καὶ ἄλλα.

402. Τὸ δὲ "ἐκτῆσθαι" Ἀττικόν ἐστι καὶ Ἰωνικόν. ἀποβληθέντος τοῦ συμφώνου τῆς αὐξήσεως. τοιοῦτον καὶ τὸ ἐβούλευκεν, ἐξεπίακεν, καὶ ἕτερα μυρία. τοιαῦτα καὶ τὸ, εἴληφα καὶ εἴληχα, καὶ τὸ εἵμαρται ἐπεντεθειμένον τὸ δίχρονον ἔχοντα.

404. ἀφήτωρ δὲ Ἀπόλλων ἢ ὁ τοξότης ἐκ τοῦ ἀφίημι

ἀφήσω, ἐξ οὗ καὶ ἥμων ὁ ἀκοντιστὴς, ἢ ἐκ τοῦ ᾱ ὃ δηλοῖ τὸ ὁμοῦ, καὶ τοῦ φῶ τὸ λέγω, οἱονεὶ ὁμοφήτωρ, ὁ πᾶσι διδοὺς τὰς ὀμφάς.

Ib. ἀφήτορος] Οἱ μὲν ἀσαφήτορος, οἱ δὲ τοξότου. ἕκαστον γὰρ ἀγωνιστὴν δύσθυμον ποιεῖ, τὸ ἐπταισμένον ὑποδηλῶν τοῦ πολέμου. ἡδεῖα δὲ ἡ περίφρασις καὶ πλήρης ἐναργείας.

405. Πυθοῖ] Ἀπὸ τοῦ πύθω τὸ σήπτω, διὰ τὸ ἐκεῖσε σαπῆναι τὸν δράκοντα, ἢ ἀπὸ τοῦ πεύθω τὸ ἐρωτῶ.

406. ληϊστοὶ] Ληϊστὸς ὁ αἰχμάλωτος, ληϊστὴς δὲ καὶ ληϊστὴρ, ὁ αἰχμαλωτιστής.

Ib. Τὸ δὲ "ληϊστοὶ" ἀπὸ τοῦ ληΐζω γίνεται, ἢ μᾶλλον ἀπὸ τοῦ, λεία κατὰ διάλυσιν λεϊστὸν, διὸ κατωτέρω ψυχὴ λεϊστὴ φησὶ διὰ τοῦ ε̄, ὅπερ ἐκταθὲν εἰς η̄ ποιεῖ τὸ ληϊστοί. τὸ δὲ κτητοὶ, διάφορον ἐστὶ πρὸς τὸ ληϊστοί. ληΐζεται μὲν γάρ τις πολέμῳ, κτᾶται δὲ καὶ ἀνταλλαττόμενος ἢ χάριν λαμβάνων, ἢ ἄλλως πῶς, ἢ ἕρμαιον εὑρίσκων. πάρισα δὲ τὸ ληϊστοὶ καὶ κτητοὶ, ὥσπερ καὶ τὸ ψυχὴ λεϊστὴ καὶ ἑλετή. ἔστι δὲ λεϊστὴ μὲν, ἡ ἀκουσίως ἑλκομένη. ἑλετὴ δὲ ἡ ἑκουσίως ἐπανερχομένη καὶ ὡς οἷον εἰπεῖν αἱρετὴ διὰ τὸ κατὰ προαίρεσιν.

407. ξανθὰ] Πυῤῥὰ ἀπὸ μέρους τοὺς ἵππους. ἔοικε χαίρειν Ἀχιλλεὺς τῇ τοιαύτῃ τῶν ἵππων χροιᾷ.

409. ἐπεὶ ἄρ κεν ἀμείψεται] Τουτέστιν ἐπειδὰν τὸ ψυχικὸν πνεῦμα ἐπιλίπῃ τὴν κεφαλήν.

411. διχθαδίας κῆρας] Ὑπὸ δύο μοιρῶν ἔσεται τὸ τέλος μου.

Ib. θανάτοιο τέλοσδε] Περιφραστικῶς ὁ θάνατος.

415. ἐπὶ δηρὸν δὲ, ἐλλειπτικῶς εἴρηται ἀντὶ τοῦ ἐπὶ πολὺν χρόνον, ὅτε δὲ ἡ πρόθεσις ἄπεστι, τότε καὶ ἐπιρρηματικόν ἐστι τὸ δηρόν.

Ib. αἰὼν] Αἰὼν ἡ ζωὴ πολλαχοῦ παρὰ τῷ ποιητῇ.

417. τοῖς ἄλλοισιν ἐγὼ] Τεχνικῶς τοῦτο, ἵνα εἰ μὲν οὐ πείσει ἀποπλεῖν πολλὰ παρακαλοῖτο ὑπὸ τῶν Ἑλλήνων, ὡς εἰς αὐτὸν κειμένης τῆς νίκης. εἰ δὲ πείσει, καὶ οὕτως ἀκινδύνως περιποιῆσαι ἑαυτῷ δόξαν μεγίστην, ἣν ἔμελλε σχεῖν ἐν πολέμῳ πολλὰ μογίσας, ὡς ἐπ' αὐτῷ κειμένης τῆς βοηθείας, καὶ ἀποπλέοντι συμπλεόντων τῶν Ἑλλήνων.

Ib. παραμυθησαίμην] Σημείωσαι δὲ ὅτι μυθέεσθαι μὲν καὶ μυθεῖσθαι καὶ παραμυθεῖσθαι Ὁμηρικά· μυθεύεσθαι δὲ τὸ ψευδῶς λέγειν τοῖς μεθ᾽ Ὅμηρον.

418. δήεται] Ὅθεν καὶ δηὼ ἡ Δημήτηρ καλεῖται.

420. χεῖρα ἑὴν] Οὐκ ἐπὶ νίκης ἀλλὰ βοηθείας. ἀντὶ τοῦ ὑπεράνω αὐτῆς ἔσχεν, ἐσκέπασεν, ἐφύλαξεν.

422. ἀπόφασθε] Φῶ φάσω πέφακα, ὑπερσυντελικὸς ἐπεφάμην πέφασο, καὶ τὸ προστακτικὸν φάσο ἀναύξητον φάσκω φάσθε.

Ib. ἀπόφασθε] Ἀποφατικῶς εἴπατε ὡς οὐ πείθεται Ἀχιλλεύς.

425. ἑτοίμη] Πρόχειρος ἢ ἀληθής. ἡ βουλὴ εὔληπτος, φανερά.

426. ἀπομηνίσαντος] Ἡ ἀπὸ πλεονάζει.

427. κατακοιμηθήτω] Παρέλκει ἡ κατα.

430. πάντες] Ὅρα τὸ πάντες ἐπὶ τριῶν λεχθέν.

432. ὀψὲ] Τὸ ὀψὲ ὡς πάντων ἀπορησάντων ἀντειπεῖν.

433. ἀναπρήσας] Ἀναπεράσας, ἀναπέμψας, ἀναλαβὼν ἀθρόως. ἀναπεράσας ἐκ τοῦ ἐγκεφάλου ἢ ἀναφυσήσας, ἐκ τοῦ πρήθω, ὅθεν καὶ ἄνεμος ἱστίον ἔπρησε. τὸ δὲ δίεν ἀντὶ τοῦ ἐφοβεῖτο, οὗ ἐνεστὼς τὸ δίω, ἐξ οὗ κατὰ ἀναδιπλασιασμὸν τὸ δεδιέναι. ὅτι δὲ τὸ δίω [ει] (sic) οὐ μόνον διὰ διχρόνου γράφεται, ἀλλὰ καὶ διὰ διφθόγγου φαίνεται ἐκ τοῦ δέος· ὡς γὰρ νείφω νέφος, οὕτω δείω δέος. ἔτι δὲ καὶ ἀπὸ τοῦ δείδω τοῦ γενομένου πλεονασμῷ τοῦ δ, ἐκ τοῦ δείω.

436. πῦρ δὲ ἀΐδηλον] Τὸ μὴ ἶζον καὶ οἷον καθήμενον ἀλλὰ προϊὸν καὶ νεμόμενον τὰ παρατυχόντα, ἵν᾽ ᾖ ἀΐζηλον, καὶ συνήθει τροπῇ τοῦ ζ εἰς δ ἀΐδηλον.

443. Ἰστέον δὲ ὅτι ῥήτορα οὐκ οἶδεν εἰπεῖν Ὅμηρος, οὔπω γὰρ ἐπεχωρίαζε τότε ἡ λέξις. "ῥητῆρα" δὲ λέγει, ὡς καὶ φράτωρ φράτηρ ἐλέγετο παρὰ τοῖς παλαιοῖς. "μύθων τε ῥητῆρα," ἤγουν διδάσκαλον λόγων τε καὶ ἔργων τῷ Ἀχιλλεῖ.

445. θεὸς αὐτὸς] Διὰ τῆς ἀντωνυμίας τὸν ὄντως ὄντα σημαίνων Θεόν.

446. γῆρας ἀποξύσας] Τὸ τραχὺ δηλαδὴ ἀποξύσας τοῦ δέρματος ὡς ἂν εὐθετισθῇ πρὸς λειότητα.

449. περιχώσατο] Περιφραστικῶς ὠργίσθη.

451. μητρὶ μὲν] Ὀνόματι Ἱπποδάμια.

Ib. λισσέσκετο] Ἰστέον δὲ καὶ ὅτι οὐχ ὡς παρὰ φοινίσσω φοινίττω, ἑλίσσω ἑλίττω, τροπῇ τῶν δύο σσ εἰς τ, οὕτω καὶ λίσσω λίττω, ἀλλὰ τὸ μὲν λίσσω διπλασιάζει τὸ σ, ἐν δὲ τῷ λίτω μονοῦται τὸ τ.

452. παλλακίδι] Τῇ Κλυτίᾳ.

454. στυγερὰς] Φρικτὰς, κρυερὰς, θανατηράς.

456. ἐξ ἐμέθεν γεγαῶτα] Εἰς ἐντέλειαν πρὸς ἀντιδιαστολὴν τῶν υἱοθετῶν.

457. Ζεύς τε καταχθόνιος] Ζεὺς καταχθόνιος ἐνταῦθα ὁ ᾅδης, ὡς ἐάν τις εἴπῃ ἀὴρ ὑπόγειος. ἄλλως δὲ μυθικῶς Ζεὺς ὑποχθόνιος, ὁ τοῦ μύθου Πλούτων, Περσεφόνη δὲ ἄκοιτις αὐτοῦ. ὅτι δὲ καὶ τὸ Ζεὺς κοινόν ἐστιν ὄνομα Διὸς καὶ Ποσειδῶνος καὶ Ἅιδου τῶν ἀδελφῶν, οὐκ ἀμάρτυρον.

Ib. Περσεφόνεια] Φθερσεφόνη τις οὖσα, ἡ φθείρουσα καὶ φονεύουσα.

460. ἢ μὲν πολλὰ] Ὅτι πᾶσιν ἠγαπημένος ἦν διά τε τὸ κάλλος καὶ φρόνημα. ὁ δὲ πατὴρ ὀργιζόμενος ἦν, διὰ τὸν τῆς παλλακίδος ἔρωτα.

Ib. ἔται] Οἱ συνήθεις, οἱ συγγενεῖς ἐκ μέρους.

Ib. ἀνεψιοὶ] Κυρίως δὲ ἀνεψιὸς καὶ αὐτανέψιος ὁ ἐξάδελφος.

Ib. ἀμφὶς ἔοντες] Κύκλῳ περὶ ἐμέ.

462. ἴφια μῆλα] Τὰ ἰφθιμοποιὰ, εἴτουν ἰσχυροποιὰ θρέμματα.

Ib. ἕλικας βοῦς] Διὰ τὸ ἑλικοειδῆ ἔχειν κέρατα.

463. θαλέθοντες] Ἤγουν πίονες.

Ib. ἀλοιφῇ] Ἀπὸ δὲ τῆς ἀλοιφῆς καὶ τὸ ξηραλοιφεῖν καὶ ἡ ξηραλοιφία, ὃ δηλοῖ τὸ ἄνευ λουτροῦ ἀλείφεσθαι, γίνεται. ἐπεὶ καὶ ξηρὸς ἱδρὼς ὁ μὴ ὑπὸ λουτροῦ ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος.

465. κεράμων] Λαγύνων ἢ πίθων. κέραμος τὸ Μεγαρικόν.

466. ἴαυον] Διέτριβον, φυλάσσοντές με δηλαδή.

468. αἰθούσῃ] Αἴθουσα δὲ, στοὰ περίστυλος ἡλίῳ αἰθομένη, ἤγουν λαμπομένη· ἧς τὸ μὲν ἐνδοτέρω, πρόδομος· τὸ δὲ ἐνδοτάτω, θάλαμος, πρόδομος, αἴθουσα.

469. θαλάμοιο θυράων] μετήγαγε τὴν τάξιν. θάλαμος μὲν

γὰρ ὁ ἔσω οἶκος, τὸ δὲ πρὸ αὐτοῦ πρόδομος. αἴθουσα δὲ τὸ περίστυλον, τουτέστι τὸ πρὸς ἥλιον τετραμμένον.

476. ὁ δέ με πρόφρων ὑπέδεκτο] Ὁ Πηλεὺς γὰρ ὑποδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν δίδωσιν αὐτῷ τὴν Δολοπίαν χώραν, καὶ Ἀχιλλέα τὸν υἱὸν μικρὸν ὄντα εἰς ἀνατροφὴν παραδίδωσιν.

478. κτεάτεσσι] Πλεονασμὸς τῆς τε συλλαβῆς ἐν τῷ "κτεάτεσσι."

479. πολὺν δέ μοι ὤπασε λαὸν] Ἀντὶ τοῦ ἐβασίλευσέ με.

480. ἐσχατιὴν] Ἐσχατιὰ δὲ παρὰ μὲν τῷ ποιητῇ τὸ ἁπλῶς ἔσχατον κατὰ τόπον μέρος, παρὰ δὲ τοῖς ὕστερον, ἐρημίαν τινὰ ἡ λέξις δηλοῖ, καὶ οὐ χρηστολογεῖται.

481. Δόλοπες δὲ ἔθνος Θετταλικὸν ἐν ἐσχατιᾷ τῆς Φθίας ἀπό τινος ἐθνάρχου Δόλοπος. Δολίονες μέν τοι οἱ περὶ Κύζικον ἀπὸ Αἰσήπου ἕως Ῥυδανκοῦ καὶ Δασκυλίτιδος λίμνης. Μυγδόνας δὲ, τοὺς ἐφεξῆς μέχρι Μυρλεανῆς χώρας. τὸ δὲ ἄσαιμι, ὅ ἐστι κορέσαιμι, δοκεῖ ἀπὸ ῥήματος εἶναι, ἀφ' οὗ καὶ ἄδος ὁ κόρος καὶ ἀδηκότες οἱ κεκορεσμένοι. νηπιέη δὲ νῦν ἡ παιδικὴ ἡλικία, ἢ ἀνατροφὴ, κατὰ ἔλλειψιν, καὶ ἔστι κτητικὸν ἀπὸ τοῦ νήπιος νηπίειος νηπιείη, καὶ Ἰωνικῶς νηπιέη. νηπιάα μέντοι ἡ ἀφροσύνη ὡς τὸ, "νηπιάας ὀχέεις."

Ib. τοσοῦτον ἔθηκα] Τηλικοῦτον ἐποίησα κατὰ θέσιν οὐ κατὰ φύσιν.

485. προταμὼν] Πρὸ τοῦ φαγεῖν με, ἤτοι ἀποκόψας τὸ τῆς τροφῆς προκατεργασάμενος.

487. οἴνου ἀποβλύζων] Μέρος τοῦ οἴνου ἀποπτύων, ἀπεμῶν, ποιὰ φωνή.

Ib. ἐν νηπιέῃ] Νηπιότητι τῇ πολλῆς φροντίδος ἀξίᾳ, ἢ τῇ κόπον προξενούσῃ τοῖς τοὺς νηπίους ἀνατρέφουσι.

Ib. ἀλεγεινῇ] Λυπηρᾷ, παρεχούσῃ ὀδύνην τοῖς τῶν βρεφῶν ἐπιμελουμένοις.

495. Θυέεσσι δὲ ἀντὶ τοῦ θυμιάμασιν, ἀφ' ὧν καὶ "ἔλαιον "θυόεν" ἐν τοῖς ἑξῆς. εἴη δ' ἂν ἴσως ταυτὸν θυέεσιν εἰπεῖν καὶ θυηλαῖς.

497. καὶ ἁμάρτη] Ἡ αὐτὴ ἐκ παραλλήλου ἔννοια, ἐπεὶ καὶ ὑπερβασία καὶ ἁμαρτία τῆς αὐτῆς ἐννοίας εἰσί

498. Λιταί εἰσι Διὸς] Διὰ τὸ, "Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε."

Ib. Διὸς κοῦραι] Νοὸς μηχανουμένου θεραπείαν ταύτην τοῖς κακουμένοις.

499. παραβλῶπες] Τὸ σχῆμα συμβολικῶς τεθεώρηται.

500. ἄτης ἀλέγουσι] Ἤγουν φροντίδα ποιοῦνται τῆς ἐς ὕστερον βλάβης.

501. ἀρτίπους] Τὸ σύντομον δηλοῖ καὶ ταχὺ ὡς σωματοπεποιημένης τῆς Ἄτης.

503. ἐξακέονται] Εἴπου ἔπαθόν τι διὰ συντριβὴν οἱ βλαφθέντες.

505. εὐξαμένοιο] Ὁ γὰρ δοὺς λαμβάνει, καὶ ὁ ἐλεῶν ἐλεεῖται.

510. ἐπιγνάμπτει] Ἐπικλίνει, ἐπιεικεύεσθαι ποιεῖ καὶ μὴ ἀτενῶς ἔχειν τοῦ ἤθους.

511. ὀνομάζοι] Κατ' ὄνομα ἀπαριθμεῖται ὑπισχνούμενος.

512. ζαφελῶς] Λίαν ἐξημμένως ἀπὸ τοῦ φλέγω.

515. τὰ δ' ὄπισθ' ὑπέστη] Ὅσα ὑπέσχετό σοι εἰς τὸ μετὰ ταῦτα δώσειν.

522. δωρητοί τ' ἐπέλοντο] Δώροις πειθόμενοι ὑπήγοντο καὶ λόγοις ἐμειλίσσοντο παραμυθούμενοι.

Ib. παράρρητοι] Παράρρητοι γάρ, ὡς καὶ ἀλλαχοῦ εἴρηται, οἱ παρηγορηταί.

525. Κουρῆτες] Ἰστέον ὅτι Κουρῆτες ἐλέγοντο οἱ τὴν Πλευρῶνα οἰκοῦντες, ἔστι δὲ πόλις Αἰτωλικὴ, ἡ Πλευρών. τούτων δὲ ἡ εὐθεῖα Κουρὴς Κουρῆτος. Κούρητες μέντοι οἱ νέοι, Κουρῆτες δὲ ἐλέγοντο οἱ Πλευρώνιοι, ἢ διὰ τὸ Κούριον ὄρος ὑπερκείμενον Πλευρῶνος, ἢ παρὰ τὴν κουράν. ἐπεὶ γὰρ οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τῆς ἔμπροσθεν, κατέσπων αὐτοὺς ἔμπροσθεν, τοῦ λοιποῦ ἐκείροντο κομῶντες τὰ ὄπισθεν, διὸ καὶ Κουρῆτες ἐλέγοντο. ἐν Χαλκίδι δὲ συνώκησαν, ἤγουν Εὐβοεῖς ἦσαν. ἐκεῖσε γὰρ ἡ τοιαύτη Χαλκίς. κατασχόντες δέ γε ὕστερον τὰ πέραν Ἀχελώου ἐν Αἰτωλίᾳ περὶ Πλευρῶνα καὶ μείναντες ἄκουροι, ἐκλήθησαν Ἀκαρνᾶνες. οἱ δὲ φασὶ Κουρῆτας καὶ Κορύβαντας καὶ Καβείρους καὶ Ἰδαίους Δακτύλους καὶ Τελχῖνας μικρὰν ἔχειν διαστολὴν πρὸς ἀλλήλους, ἐνθουσιαστικοὺς ὄντας καὶ εὐψυχικοὺς, καὶ ἐνοπλόῳ κινήσει μετὰ ψόφου κυμβάλων καὶ τυμπάνων καὶ ὅπλων καὶ αὐλῶν ἐκπλήττειν. τοὺς δὲ περὶ Αἰτωλίαν Κουρῆτας

οὕτω κληθῆναι, καὶ ὡς θηλυστολοῦντας, καθάπερ αἱ κόραι. τὸ δὲ τῶν τοιούτων Κουρήτων ἐν ὅπλοις ὀρχηστικὸν, ἀφορμὴν δέδωκε τῷ ποιητῇ Κούρητας εἰπεῖν τοὺς νέους στρατιώτας ἐν τῷ "Κούρητες "ἀριστῆες Παναχαιῶν," καὶ "δῶρα φέρον Κούρητες Ἀχαιῶν." Πύρριχος δὲ τῆς τοιαύτης ἀσκήσεως εὑρετὴς, ἤγουν τῆς ὀρχήσεως, ἥτις ἀπὸ τοῦ συντάξαντος αὐτὴν Πυρρίχου πυρρίχη κατωνομάσθη. ὅτι δὲ οἱ Κρητικοὶ Κουρῆτες, καὶ ὡς Διὸς κουροτρόφοι καὶ ὡς κόροι ἔσχον τὴν κλῆσιν, δῆλον.

Ib. μενεχάρμαι] Καρτερικοὶ, ταῖς μάχαις ἐπιμένοντες.

527. ἐραννῆς] Συγκέκοπται ἐκ τοῦ ἐρατεινῆς.

530. θαλύσια] Θαλύσια δὲ αἱ ἀπαρχαὶ, ἤγουν αἱ μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν διδόμεναι θεῷ ὑπὲρ τοῦ καὶ εἰς ἔπειτα θάλλειν τὰς ἀρούρας. ἔστι δὲ θάλλω, θαλύω, θαλύσω, ὅθεν τὰ θαλύσια, ἐξ ὧν ὁ θαλύσιος ἄρτος, ἤγουν ὁ ἐκ τῆς τῶν καρπῶν συγκομιδῆς πρῶτος γινόμενος. ὥσπερ δὲ ἐκ τοῦ δρόμος, δρομιχαίτης ἵππος τροπῇ τοῦ ο εἰς ι, οὕτω καὶ ἀργὸς "ἀργιόδους" ὁ τοὺς ὀδόντας λευκός.

Ib. γουνῷ] Τῷ γονιμωτάτῳ καὶ καρπίμῳ χωρίῳ τῆς γῆς.

536. ἔθων] Ἢ θέων ἢ ἔδων, ἢ ἔθων, ἐξ ἔθους τοῦτο ποιῶν, ἐπερχόμενος.

537. προθέλυμνα] Τὰ πρόρριζα καὶ ἐξ αὐτῆς θέσεως ἀνασπώμενα, καὶ ὡς εἰπεῖν ἐκ θεμέθλων. δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὸ συνεχὲς καὶ ἄλλο ἐπ' ἄλλῳ τιθέμενον, ἢ ἁπλῶς τὸ πυκνόν.

538. μήλων] Σημείωσαι ὅτι μῆλα τοὺς καρποὺς τῶν ἀκροδρύων πάντων ἐκ μέρους.

547. κακῶς ἦν] Ἔχων λείπει.

553. Εὐηνίνης] Τῆς Εὐήνου θυγατρὸς, ἔστι δὲ τύπου πατρωνυμικοῦ, ὡς Ἀδρηστίνη ἡ τοῦ Ἀδράστου, καὶ Ὠκεανίνη ἡ τοῦ ὠκεανοῦ:

558. Ἀλκυόνην] Ὅτι δὲ καὶ συζυγία τίς ἦν ἀνδρὸς καὶ γυναικὸς, ὁ Κῆϋξ δὲ ἦν ὁ ἀνὴρ, διὰ δὲ τὴν ὑπερηφανίαν αὐτῶν ἀπωρνεώθησαν εἰς ἀλκυόνας ὑπὸ Διὸς, οὗ καὶ τὸ ὄνομα ὁ Κῆϋξ ἱεροσύλησεν, ὡς ἡ γυνὴ τῆς Ἥρας, δῆλόν ἐστι.

Ib. Ἁλκυόνην] Πρὸς ἀντιδιαστολὴν τοῦ θαλασσίου ὀρνέου, Ἀλκυόνην εἶπεν· ἐκεῖνο γὰρ ἁλκυὼν ἁλκυόνος κλίνεται.

Ib. ἐπώνυμον] Τὴν αὐτὴν ἔλεγον Κλεοπάτραν καὶ Ἀλκυόνην διὰ τὸ τὴν μητέρα Μάρπησσαν δίκην ἀλκυόνος κλαῦσαι, ὅτε ἀφηρεῖτο ταύτην ὁ Ἀπόλλων.

561. κατέλεκτο] Παρακατέκειτο, παρεκοιμᾶτο.

Ib. πέσσων] Ἰστέον ὡς τοῦ πέσσω προὔπεστι τὸ πέπτω, ὡς καὶ τοῦ ὄσσω τὸ ὄπτω· καὶ ἐκ μὲν τοῦ κοινοῦ πέπτω, ἔστι τὸ "χόλον καταπέψῃ." ἐκ δὲ τοῦ Αἰολικοῦ πέσσω, ἔστι τὸ ἐνταῦθα πέσσειν.

562. κεχολωμένος] Τεθυμωμένος, διὰ τὰς τῆς μητρὸς κατάρας ὠργισμένος.

563. κασιγνήτοιο] Λείπει τοῦ, ἤγουν ἕνεκα τοῦ ἀδελφικοῦ φόνου, ἤγουν τῶν Θεστιαδῶν. τοῦ κασιγνητικοῦ κτητικῶς εἴρηται.

564. πολυφόρβην] Τὴν πολλοὺς τρέφουσαν, ὅθεν καὶ ἱπποφόρβια καλοῦνται τὰ τοὺς ἵππους τρέφοντα χωρία.

Ib. ἀλοία] Ὡς ἀγνοῶ ἀγνοιῶ, οὕτως ἀλοῶ ἀλοιῶ καὶ ἀλοίω τὸ τύπτω. ἔτυπτεν ὡς οἷον θυροκροτοῦσα τοὺς ὑποχθονίους εἰς ἐκδίκησιν.

566. πρόχνυ] Πρόγονυ, κατὰ συγκοπὴν καὶ τροπῇ, πρόχνυ. ἔστι δὲ ἐπίρρημα ποιότητος.

567. ἠεροφοῖτις] Ἡ ἀφανὴς καὶ ἡ ἐκ τοῦ σκότους φοιτῶσα, ἢ ἡ διὰ τοῦ σκότους ἐρχομένη ἀόρατος.

571. ἀρίστους] Τοὺς κρείττους ἱερεῖς τῶν θεῶν.

573. πιότατον] Τὸ δὲ πιότατον ἐκ τοῦ πιονώτατον συγκέκοπται.

574. ἑλέσθαι] Ἐξελέσθαι ἤγουν ἐπιλέξασθαι.

575. πεντηκοντόγυιον] Ἡ ἑκατὸν ποδῶν, παρ' ἑτέροις δὲ ξ̅ πηχῶν.

Ib. Πεντήκοντα γυιῶν ὅ ἐστι πλέθρων. γύη γὰρ μέτρον γῆς. οἱ δὲ πεντήκοντα ζυγῶν. Ἐν ᾧ δύνανται βόες ἑκατὸν ἀροτριᾶν.

576. ψιλὴν] Τὴν ἄδενδρον χώραν καὶ ἐπιτηδείαν εἰς τὸ σπείρεσθαι.

578. σανίδας] Τὰς θύρας φησὶν ἀπὸ τοῦ καλῶς συνηρμόσθαι.

579. σείων] Θυροκρουστῶν καὶ πρὸς βίαν αὐτὰς κόπτων. ὡς ἐκ τοῦ παρακολουθοῦντος δὲ τὸ σείων φησίν.

Ib. γουνούμενος] Τῶν γονάτων ἁπτόμενος, γουνέω γουνῶ καὶ γουνάζω.

582. κεδνότατοι] Κύδιστοι, συνετώτατοι φρονιμώτατοι.

586. ἐΰζωνος] Τὸ δὲ εὔζωνος παρὰ μὲν Ὁμήρῳ γυναικός ἐστιν ἐπίθετον, καθὰ καὶ τὸ, βαθύπεπλος καὶ βαθύζωνος καὶ τανύπεπλος. οἱ μέν τοι μεθ' Ὅμηρον καὶ ὁδίτῃ ἀπερίττῳ καὶ οὕτως εὐσταλεῖ τὴν τοιαύτην λέξιν οἰκειοῦσιν, εὔζωνον ὁδοιπόρον λέγοντες, τὸν ἀβαρῆ, ὃν καὶ μονόζωνον ἐκάλουν.

588. Τὸ δὲ "ἁλώῃ" ἐκ τοῦ ἁλοὺς ἁλόντος ἁλοίη γίνεται κατὰ ἔκτασιν συνήθη, ὁμοίως τῷ δοὺς δόντος δοίην δώην. πλείων δὲ παρὰ τοῖς ὕστερον ἡ χρῆσις τῶν ἀπαθῶν.

589. ἀμαθύνει] Λεπτύνει, κατὰ μικρὸν δαπανῶν, ὅ ἐστιν εἰς ἄμαθον καὶ κόνιν ποιεῖ.

592. παμφανόωντα] Πανταχόθεν λάμποντα.

594. εἴξας ᾧ θυμῷ] Ἤγουν αὐτοθελῶς πολεμήσας.

603. ἄττα] Τὸ ἄττα προσφώνημα ἐστὶν ὡς ἔκ τινος τροφίμου πρὸς τροφέα. πρωτόθετον, ἄκλιτον, ἀμετάληπτον, ὃ καὶ τέττα λέγεται. νέννος μέν τοι ὁ θεῖος.

604. τιμῆς] Τιμήεις, ὅθεν καὶ κέκραται, ὡς αἰγλήεις αἰγλῆς.

605. ἀϋτμὴ] Ζωὴ ἀπὸ τοῦ ἑπομένου τὸ ἡγούμενον, κυρίως ἡ πνοή.

Ib. Ἀϋτμὴ δὲ ἤτε πνοὴ καὶ τὸ ψυχικὸν δὲ πνεῦμα ἤγουν ἡ ψυχὴ ἀπὸ τοῦ ἄω ὅθεν καὶ τὸ ἦτορ. ἔοικε δὲ τὸ ἄω, ἐξ οὗ καὶ ἄημι τὸ πνέω, ὅθεν τὸ, "ἄη νότος," καὶ "ἄνεμοι ὑγρὸν ἀέντες," ἐπενθέσει τοῦ ῡ Αἰολικῶς, γενέσθαι αὔω, καὶ διαλύσει ἀΰω, ἀφ' οὗ ἀϋτμὴ ἡ ῥηθεῖσα, προσλήψει τοῦ μ̄ πρὸς διαστολὴν τῆς ἀϋτῆς τῆς κατὰ φωνήν. ἡ δὲ ἀϋτμὴ, καὶ ἀρσενικῶς ἀϋτμὴν λέγεται ὡς πυθμὴν, οἷον "κατὰ κεφαλῆς ἀϋτμένα χεῦεν."

610. Τὴν δὲ ἀφορμὴν διαβάλλει. δεῖγμα ἐστὶν, ὅπως χρὴ διακεῖσθαι τοὺς φίλους συναιρομένους ἀλλήλοις τὰ τῶν φίλων.

611. κήδειν] Σημείωσαι ὅτι κήδω τὸ φροντίζω γενικῇ συντάσσεται, ὡς τὸ, "κήδεαι Δαναῶν." τὸ δὲ κήδω τὸ βλάπτω, αἰτιατικῇ, ὡς τὸ, "τὸν κήδειν καλὸν, ὅς κέ με κήδει."

613. λέξεο] Ὡς ἀπὸ ἐνεστῶτος τοῦ λέξω γίνεται, ἀναδραμόντος εἰς κεφαλὴν αὐτοῦ καὶ κλιθέντος, ὡς λέγεο, ἤγουν κοιμῶ.

625. ἄγριον] Τὴν ἀπὸ σκληρᾶς καὶ ἀταπεινώτου ψυχῆς γινομένην.

626. σχέτλιος] Σχέτλια ἔργα ἐλεεινὰ ποιήσας, ἢ σχετλιασμοῦ ἄξια.

Ib. φιλότητος] Φιλότης ἡ συνάθροισις τῶν φίλων καὶ ἡ φιλία, ὡς καὶ νεότης ἡ νέα ἡλικία, καὶ τὸ πλῆθος τῶν νέων.

629. ποινὴν] Τὸ ἀπὸ τοῦ φόνου διδόμενον.

631. ἐρητύεται] Ἐρητύειν δὲ κυρίως τὸ διὰ λόγου κωλύειν. ἀπὸ τοῦ ἔρω ἐρύω τὸ ἐρωτῶ, ἤδη δὲ καὶ λέγω. τῶν ὁμωνύμων δὲ καὶ τὸ εἴρειν, ὃ δηλοῖ τό, τε ἐρωτᾷν καὶ τὸ λέγειν. τὸ δὲ τὴν μίαν οἷαν εἰπεῖν, ὑποδηλοῖ ὅτι ἀπὸ τοῦ ἴος καὶ ἴα, ὁ οἷος καὶ ἡ οἷα παράγεται, ὅθεν δηλοῦσι μόνωσιν.

635. ἵλαον] Ἱλάρυνον τὸν θυμὸν σὺν ταύταις.

636. μέλαθρον δὲ κυρίως τὸ μέσον τῆς στέγης ξύλον τὸ καλούμενον ὑπέρτονον. ἐκ δὲ τοῦ ἴσημι πληθυντικὸν ἴσαμεν, καὶ συγκοπῇ ἴσμεν, ἐξ οὗ τὸ ἴδμεν. οὕτω δὲ καὶ ἐκ τοῦ εἰμὶ τὸ πληθυντικὸν ἐμὲν καὶ "εἰμέν." Δωριεῖς δὲ ἐν τῷ ἐμὲν πλεονάζουσι τὸ σ̄, εἰπόντες ἐσμέν.

637. μέμαμεν] Προθυμούμεθα, θέλομεν.

Τὸ δὲ "μέμαμεν" ἐκ τοῦ μῶ μάσω μέμακα μεμάκαμεν συγκέκοπται.

Ib. ἔξοχον] Ἐξόχως, ἢ ἔξοχον λείπει τῶν ἀνθρώπων ἐκείνων.

638. κήδιστοι] Ἰστέον ὡς καὶ τὸ, κεδνὸς καὶ κήδιστος ἐκ τοῦ κήδω γίνεται. οὐδὲν δὲ τούτων ἐπὶ νεκρῷ λέγεται, ἢ μόνον τὸ κηδεὸς καὶ ὁ ἐπικήδειος ἀπὸ τοῦ κηδεύω γινόμενα, ὁ κηδεύω ἀπὸ τοῦ κηδέω γίνεται, ὃ κραθὲν καὶ γενόμενον κηδῶ κηδέσω, τὸν κηδεστὴν παράγει. εἰσὶ δὲ κηδεσταὶ, οἱ συνοικειούμενοι ἀλλήλοις κατ' ἐπιγαμίαν, οἵτε διδόντες καὶ οἱ λαμβάνοντες. τὸ δὲ "ἐείσαο" Ἀττικῶς ἔχει ἐν τῇ ἀρχούσῃ τὸ ε̄ ὡς ἀπὸ τοῦ εἴδω εἴσω τὸ γινώσκω.

Ib. ἔμεναι καὶ φίλτατοι] Διὰ τὸ χρῆναι ἀνακάμπτειν τὴν ἀληθῆ φιλίαν.

640. διογενὲς] Ἴδιον τῶν θυμουμένων πρὸς τοὺς μεμφομένους ἀποτείνεσθαι.

641. πάντα τί μοι] Παρολκὴ τοῦ τί.

643. ἀσύφηλος] Ἀσύφηλος δὲ ὁ ἀδόκιμος καὶ εἰς μηδὲν σοφὸς, ἐκ γὰρ τοῦ σοφὸς ἄσοφος κατὰ παραγωγὴν, ἀσόφηλος καὶ Αἰολικῶς ἀσύφηλος. ἢ παρὰ τὸ ἆσαι ἤτοι βλάψαι καὶ τὸ φιλῆσαι καὶ δηλοῖ τὸν καὶ βλαβέντα καὶ ἀπατηθέντα. ὅρα δὲ τὸ φηλῆσαι ὃ παρὰ τοῖς ὕστερον ἐν τρίτῃ συζυγίᾳ τῶν περισπωμένων ἐλέγετο, ὡς δηλοῖ καὶ τὸ "φηλώσας πρόμον." διὸ καὶ τὸ, "πέποιθ' ὅγε φιλήτῃσιν," οὐ διὰ τοῦ η ἔχει τὴν ἄρχουσαν ὡς ἀπὸ τοῦ φηλῶ, ἀλλὰ διὰ τοῦ ῑ, καὶ δηλοῖ οὐκ ἀπατεῶνα ἀλλὰ κλέπτην ἀπὸ τοῦ ὑφελεῖν, ὡς ἑτέρωθι κρειττόνως γέγραπται.

Ib. ἀσύμφηλον] Ἀντὶ τοῦ ἀσυμφήλως· δηλοῖ δὲ τὸ μετὰ λογισμοῦ βλάπτειν.

648. καὶ νῆας ἱκέσθαι] Ἀπὸ κοινοῦ τὸ πρὶν, ἵν' ᾖ οὐ πρότερον πολεμήσω πρὶν ἐλθεῖν τὸν Ἕκτορα πρὸς τὰς τῶν Μυρμιδόνων σκηνὰς, καὶ πρὶν κατασμύξαι πυρὶ νῆας.

653. Ἰστέον δὲ ὅτι τὸ "ἴσαν," δηλοῖ μέν ποτε καὶ γνῶσιν ὡς ἐν τῷ, "τάδ' οὐκ ἴσαν ὡς ἐτέτυκτο." ἐνταῦθα δὲ τὸ ἐπορεύθησαν σημαίνει. καὶ εἰ μὲν κλίνεται ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι τοῦ διφθογγογραφουμένου, ὑπάγεται κανόνι τῷ βουλομένῳ, τὰ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλεσθαι. εἰ δὲ ἀπὸ τοῦ ἰωτιζομένου ἴμι, διφορεῖται γὰρ τὸ ἴμι κατὰ τοὺς τεχνικοὺς, αὐτόθεν ἔχει τὸ ῑ ἐκ τοῦ ἐνεστῶτος, ἀφ' οὗ καὶ τὸ ἴτην ἀντὶ τοῦ ἐπορεύθησαν, καὶ εἴτι ἄλλο τοιοῦτον.

654. Ἐνταῦθα ἀνὰ δὶς ἔφη ἐν ταῖς συντάξεσι, τὸ "ἐκέλευσε" καὶ τὸ "στορέσαι." ὅρα δὲ τὸ ἀναδίς.

657. κώεα δὲ δέρματα, εὐθετηθέντα εἰς τὸ κεῖσθαι, οὗ ἡ εὐθεῖα οὐ μόνον κῶας, ἀλλὰ καὶ κῶος, ὅθεν τὸ κώεα, ὡς τείχεα, βέλεα. οὕτω καὶ ὕδας καὶ ὕδος, καὶ γῆρας καὶ γῆρος. ὅθεν οὐ μόνον τὸ γηροτροφεῖν, ἀλλὰ καὶ ὁ παρὰ Σοφοκλεῖ γηροβοσκός. (Aj. 570.)

Ib. ῥῆγος] Τὸ βεβαμμένον ἱμάτιον λέγεται διὰ τὰς τοῦ μαλλοῦ ῥήξεις.

Ib. λεπτὸν ἄωτον] Περιφραστικῶς λινοῦν περιβόλαιον ἢ σκέπασμα τί σινδονοειδές. ἀπάνθισμα κάλλιστον Αἰγυπτιακόν.

664. Ἐνυῆος πτολίεθρον] Ὑπὸ Ἐνυέως βασιλευθεῖσαν, ἦν δὲ οὗτος υἱὸς Διονύσου.

667. δειδέχατ'] Τὸ δὲ δειδέχατο ἐκ τοῦ ἐδέδεκτο τρίτου ἑνικοῦ Ἰωνικῶς γέγονεν, ἔχει δὲ καὶ ἐπένθεσιν τοῦ ῑ, δεδέχατο γὰρ ὤφειλεν εἶναι.

671. μεγαλήτορα θυμὸν] Μεγαλοκάρδιον θυμὸν, ἦτορ γὰρ τὴν καρδίαν ἁπανταχοῦ νόει, ἐν τῷ, μεγαλήτορα θυμὸν, ἵνα μὴ ἐπὶ ψυχῆς νοούμενον τὸ ἦτορ εἰς ἀδολεσχίαν ῥίψῃ τὸν λόγον. τοιοῦτον γὰρ τὸ εἰπεῖν μεγαλόψυχον ψυχήν.

675. δῶρα] Δῶρον ἐπὶ χρημάτων καὶ ἐπὶ κτημάτων δι' ὧν πλοῦτος αὔξεται. δωρεαὶ αἱ μεγαλύνουσαι, αἱ λαμπρύνουσαι τὸν ἄνθρωπον, καὶ τὰ ταύτης ἑπόμενα.

678. ἠπείλησεν] Ἐκαυχήσατο, ἢ ἀπειλήν τινα καθ' ἡμῶν.

679. ἐϋσέλμους] Τὰς εἰς τὰ ἑκάτερα μέρη δυναμένας ἑλίσσεσθαι.

683. τεθαρσήκασι] Θάρρος ὁρμὴ μετ' ἐλπίδος ἀγαθῆς. θράσος ὁρμὴ μετ' ἐλπίδος ψευδοῦς. θάρρος ἀγαθὴ ἐλπίς.

685. πεπνυμένοι] Ὃς δύναται διὰ τῆς οἰκείας φρονήσεως ποιῆσαι καὶ βοηθῆσαι.

689. ὣς ἔφατ'] Συντέμνει διὰ τὸ ἀηδὲς τῆς ὑποθέσεως, ἄλλως τε ἵνα μὴ δοκῇ ἀτιμάζων τοὺς λοιπούς.

691. τετιηότες] Λελυπημένοι ὡς ἀπὸ τιμωρίας.

701. ταρπόμενοι] Τερφθέντες ἢ κορεσθέντες μετὰ τέρψεως πληρώσαντες τὴν προσφιλεστάτην ψυχήν.

K.

Ἐν ταύτῃ τῇ ῥαψῳδίᾳ δηλοῖ, ὡς τῷ σπουδαίῳ οὐδὲ ἡ νὺξ ἄπρακτος. καὶ ὡς "οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα." οὕτως ὅπερ εἶπε γνωματικῶς, τοῦτο δείκνυσι πραγματικῶς.

Ἰστέον ὅτι τὴν μεθ' ἡμέραν δυσπραγίαν τῶν Ἀχαιῶν ἀναπληροῖ ὁ ποιητὴς ἐν τῷ γράμματι τούτῳ διὰ δόλου νυκτερινοῦ. Ἡ κοινὴ ἐπιγραφὴ τῆς κάππα ἔστιν αὕτη νυκτεργασία καὶ δολωφονία καθ' ἣν ὁ Δόλων πεφόνευται. τινὲς δὲ καὶ Δολώνειαν ταύτην καλοῦσιν ὡς Πατροκλείαν. προπαροξύνεται δὲ ἡ λέξις, ὡς Ὀδύσσεια καὶ Ὀρέστεια, ὀφείλουσα ὡς κτητικὴ παροξύνεσθαι. σημείωσαι ὅτι τὸ κάππα στοιχεῖον κόππαν κατὰ γλῶσσαν ἐλέγετο.

ὡς δηλοῖ ὁ κοππατίας ἵππος, ὁ ἔχων τὸ κ̄ στοιχεῖον ἐντετυπωμένον. ὡς τὸ σαμφόρας ὁ ἔχων τὸ σᾱν̄ κατὰ Δωριεῖς, ἤγουν τὸ σῖγμα.

2. μαλακῷ] Τὸ μαλακὸν οἱ ῥήτορες ἐπὶ βλακείας τιθέασιν· ἐντεῦθεν λαβὼν Θεόκριτος λέγει τάπητας ὕπνου μαλακωτέρους. (Id. xv. 125.)

4. Τὸ "φρεσὶν ὁρμαίνειν" πρὸς ἀντιδιαστολὴν ἐλέχθη τοῦ ὅλως ὁρμαίνειν· ὅπερ ὅταν παύσηται, ἵστασθαι λέγεται, ὡς δηλοῖ τὸ ἔστησα παρ' ἐμαυτῷ βουλήν. καὶ τὸ ὤμοσα καὶ ἔστησα.

5. ὡς δ' ὅταν] Ἐνταῦθα μὲν ἐπαινεῖται τῆς ἐν τοῖς λόγοις μεγαλοπρεπείας ὁ ποιητὴς, οἷα εἰκάσας τὸν μέγαν βασιλέα Διῒ ἀπαστράπτοντι, ἐν δὲ Ὀδυσσείᾳ θαυμάζεται ἄλλως ὅτι πτωχὸν τὸν Ὀδυσσέα κατασμικρύνει τῇ εἰκόνι, ἀνδρὶ ἀπεικάσας ὀπτῶντι γαστέρα· καί πως κατὰ τὸν εἰπόντα, πρὸς τὰς τύχας τὰς φρένας κέκτηται. "ὡς δ' ὅταν ἀστράπτῃ," οὐ τοσοῦτον πρὸς τοὺς βασιλικοὺς στεναγμοὺς εἴληπται ἡ παραβολὴ τῶν ἀστραπῶν, βροντῇ γὰρ ἔδει παραβαλεῖν, ἀλλὰ μάλιστα πρὸς μόνον τὸ τοῦ στενάζειν πυκνὸν, ὡς ἔχει καὶ ἡ ἀπόδοσις τῆς παραβολῆς. εἰ μή τις εἴποι ταῖς ἀστραπαῖς συνεπινοεῖσθαι κατὰ γοργότητος καὶ τὰς βροντάς· τινὲς δέ φασι τὴν παραβολὴν εἰλῆφθαι πρὸς τὸ διάπυρον καὶ μετὰ σκέμματος ὀξὺ τοῦ ἥρωος.

8. στόμα] Διὰ τὸ τοῦ πολέμου φοβερόν. ἐντεῦθεν καὶ ξιφῶν στόματα λέγεται.

15. προθελύμνους] Παρακαλῶν δὲ τὸν Δία καὶ ἀφορῶν εἰς ἐκεῖνον ἀνέσπα τὰς τρίχας.

Ib. χαίτας] Κόμη ἐπὶ πασῶν τῶν τριχῶν, χαίτη δὲ ἐπὶ μιᾶς τριχός.

22. λιπαροῖσι] Τοῖς ποσὶ τῶν ἡρώων τὸ λιπαρὸν ἀπένειμεν, ᾧ πάντως ἐναντίον τὸ αὐχμηρὸν ὡς ἴσον τῷ ἀλιπές. ὁ δὲ τοιοῦτος ποὺς καὶ νήλιπος, οὗ ἐντελὲς ὁ νηλίπους. διατί δὲ, γναμψόπους γνάμψοπος, Οἰδίπους Οἴδίπος, οὐ μὴν δὲ καὶ νηλίπους νηλίπος, ἀλλὰ νήλιπος; ἢ πάντως οὐ παρὰ τὸ πούς συντίθεται, ἀλλὰ παρὰ τὸ λίπος.

23. δαφοινὸν] Καθ' ὑπερβολὴν βεβαμμένον κοκκίνῳ βάμματι ἠμφιάσατο.

Ib. δέρμα λέοντος] Ἐπίθετος χιτὼν, ὡς ὁ Παυσανίας. Διὰ τὸ ὑπεροχικὸν τῆς ἐκείνου μεγαλειότητος.

24. αἴθωνος] Ἢ θερμοῦ ἢ πυρροῦ. τινὲς δὲ οὕτω καλεῖσθαι αὐτὸν εἶπον διὰ τὸ εἰς τοσοῦτον στερρὰ ὀστᾶ ἔχειν ὡς τῇ προσκρούσει σπινθῆρας ἀφιέναι ἐκ τῆς λεοντῆς. καὶ τὸ ξυρεῖν λεόντα παροιμία, ἐπὶ ἀδυνάτων, καὶ τοῦ ὄνου πόκας, ἐκεῖνο μὲν διὰ τὸ φοβερὸν, τοῦτο δὲ διὰ τὸ ἀδύνατον.

Ib. ποδηνεκὲς] Διῆκον μέχρι τῶν ποδῶν.

25. αὐτῷ] Τῷ Μενελάῳ ἀπὸ τοῦ ἑπομένου τὸ ἡγούμενον.

27. ὑγρὴν] Ἰωνικὸν τοῦτο κατά τινα ἐξαίρετον ἐπίθετον εἴληπται. ἐλλειπτικῶς, ὑφ' ὑγρῆς πολλῆς πλεύσαντες, ὥσπερ καὶ τὸ ξηρά.

28. ὁρμαίνοντες] Ἀνάπτοντες, ἤγουν ὁρμῶντες τότε εἰς πόλεμον, νῦν γὰρ οὐ τοῦτο ἀλλὰ πολεμεῖν λέγονται.

29. παρδαλέῃ] Ἀπὸ ἀρμενοῦ τοῦ παρδάλειος. γίνεται δὲ παρδαλῆ διὰ τοῦ ᾱ κατὰ τὴν ἀρχὴν, τὸ δὲ ζῶον διὰ τοῦ ō πόρδαλις παρὰ τὸ προάλλεσθαι· μεταθέσει τοῦ ῥ καὶ πλεονασμῷ τοῦ δ. ἐπὶ πανούργων δὲ ἡ παρδαλῆ κεῖται ἡ παροιμία.

Τὸ μὲν ζῶον πάρδαλις, ἡ δὲ δορὰ παρδαλείη.

30. στεφάνην] Τὸ στεφάνη εἶδος περικεφαλαίας, καθὰ καὶ ἡ κυνέη καὶ ἡ καταῖτυξ.

31. χειρὶ παχείῃ] Ὅθεν λαβόντες οἱ γνωματευταὶ μεγάλα τοῖς ἀνδρείοις ἀκρωτήρια εἶναι.

50. αὔτως] Οὕτως ἀπὸ τῆς ἰδίας φυσικῆς αὐτοῦ δυνάμεως, οὐχὶ παρά τινος ἢ θεοῦ ἢ θεᾶς βουλόμενος ὡς υἱὸς τούτων. καὶ ὅτι εἷς διὰ πολλοῦ καιροῦ ποιήσει τόσα, ἢ καὶ πολλοὶ δι' ὀλίγου. τὸ δὲ εἷς ἐπὶ μιᾶς ἡμέρας πρᾶξαι τοσαῦτα, ἐκπλήττει πάντας.

56. τέλος] Τὸ τέλος ἑξαχῶς, τὸ στρατιωτικὸν σύνταγμα, τὸ τῶν πραγμάτων πέρας, καὶ τῆς πόλεως τὴν πρόσοδον, καὶ τὸ ἀξίωμα, καὶ τὸ δαπάνημα, ὡς τὸ παρ' Εὐριπίδῃ,

μάτην εἰκοστὸν τόδ' ἐκβαίνει τέλος.

καὶ τὴν τελειοποιὸν ἑορτὴν, ὅθεν καὶ τελοῦμεν.

65. μένειν] Τὸ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὅπου δὲ δείκνυσιν ἀριδήλως ὅτι τὰ τοιαῦτα κατὰ ἔλλειψιν λέγονται. εἰπόντος γὰρ τοῦ Μενελάου "πῶς γάρ μοι μύθῳ ἐπιτέλεται," φησὶ γὰρ ὁ Ἀγαμέμνων μένειν, προσλαμβανομένου τὸ κελεύω σοι.

Ib. ἀβροτάξομεν] Ἀμάρτω, ὡς παλαιῷ λεξικῷ. τὸ ἀβροτάζειν ἢ τὸ βροτοῦ ἀποτυγχάνειν ἐν ὁδῷ, ἢ τὸ ἐν ἁβροῖς τουτέστιν νυκτὶ πλανᾶσθαι.

67. ἐγρήγορθαι] Ἀππίων δὲ καὶ Ἡρόδωρος φασὶν ὡς τὸ ἐγρήγορθαι οὐκ ἐχρῆν προπαροξύνεσθαι, εἴτε συνεκόπη ὡς εἴρηται, εἴτε ἀπὸ τοῦ ἔργω γίνεται. μία δέ φασιν ἀφορμὴ αὕτη τοῦ δύνασθαι τονοῦσθαι οὕτω. τὰ εἰς θαι, ορ συλλαβῇ παραληγόμενα, Αἰολικά εἰσι, τέτορθαι, ἔφθορθαι, μέμορθαι. ἐπεὶ οὖν καὶ τοῦ ἐγρήγορθαι ἡ παράληξις Αἰολικωτέρα ἐστὶ, πίπτει καὶ τόνος ὅμοιος τούτοις. Τὸ ἐγρήγορθαι τὰ πλεῖστα τῶν ἀντιγράφων προπαροξύνουσιν, ὡς Αἰολικὸν, ἄλλως γὰρ παροξύνεσθαι ὀφείλει ὡς παθητικὸς παρακείμενος. ὁ παρακείμενος γὰρ ἐγρήγορκα, ὁ παθητικὸς ἐγρήγορμαι, ἐγρήγορται, τὸ ἀπαρέμφατον ἐγρηγόρθαι. Ἕτεροι δὲ ἐκ τοῦ γρηγορῆσθαι παρακειμένου αὐτὸ συγκεκόφθαι φασί.

Ib. ἄνωχθι] Τὸ ἄνωχθι ἐκ τοῦ ἀνωγῶ περισπωμένου γενέσθαι φασὶν, οὗ παρατατικὸς ἠνώγεον. ἀνωγῶ γὰρ ἀνώγημι, ὅθεν ἀνώγηθι, καὶ ἐν συγκοπῇ ἄνωχθι, τραπέντος τοῦ γ συνήθως εἰς χ, ὡς ἐν τῷ βρέγμα βρεχμός· ὅτι δὲ μεταπλᾶσθαι δοκεῖ ἐκ τοῦ ἄνωγε, καὶ τοῦτο δῆλον.

68. πατρόθεν ἐκ γενεῆς] Δυσωπητικὰ ταῦτα, ὑπόμνησις προγονικῆς ἀρετῆς, καὶ πατέρων πράξεις ἐπαινούμεναι.

71. Ζεὺς ἐπιγεινομένοισιν] Τὰ καθ' εἱμαρμένην γενεθλιακὰ ἐνταῦθα περιλαλεῖ.

77. ζωστὴρ] Ἰστέον ὅτι οὐ ταυτὸν ζῶμα καὶ ζωστὴρ, ζῶμα μὲν γάρ ἐστι τὸ περιαπτόμενον τῆς μήτρας, ζωστὴρ δὲ τὸ προσαπτόμενον κατὰ τὰ ἄκρα τοῦ θώρακος ἀπὸ τῆς ὀσφύος πρὸς τὰ κάτω.

79. γήραϊ λυγρῷ] Ὀλιγόϋπνοι οἱ γέροντες διά τε τὸν καιρὸν τοῦ γήρατος καὶ δι' αὐτὸ τὸ γῆρας.

80. ἐπ' ἀγκῶνος] Ὅρα οἷος ἐστὶ τὴν γραφικὴν ὁ ποιητὴς, εἴποις γὰρ ἂν ὁρᾷν ἄνδρα καμάτῳ τὰ γυῖα λελυμένον.

81. ἐξερεείνετο] Διὰ λόγου ἠρεύνα μαθεῖν τὴν ἀλήθειαν.

83. ὀρφναίην] Ὀρφνὴ ἡ νὺξ ἡ σκοτεινὴ, καὶ ὀρφναία ταυτὸν, ὡς σελήνη, σεληναία. λαμβάνεται δὲ καὶ ἡ ὀρφνὴ ἐπὶ τῆς νυκτὸς, ὡς βροτὸς ἄνθρωπος, καὶ βροτὸς ἐπὶ τοῦ ἀνθρώπου.

84. οὐρήων] Οὐρῆας νῦν οἱ παλαιοὶ τοὺς φύλακας λέγουσιν, ὡς ἡνίοχος ἡνιοχεὺς, υἱὸς υἱεὺς, πατροφόνος πατροφονεὺς, οὕτως ἐνταῦθα οὖρος οὐρεύς. οὐρῆας γὰρ ὧδε νοῆσαι τοὺς ἡμιόνους οὐ θέλουσιν. ὅρα δὲ τὴν Ὁμηρικὴν μέθοδον, ἐρωτᾷ μὲν γὰρ ὁ γέρων τὸ εἰκὸς γίνεσθαι, οὐκ ἀστοχεῖ δέ.

91. πλάζομαι] Τὸ πλάζομαι βαρέως εἴληπται. ἄλλως γὰρ οὐ πλανᾶται ὁ βασιλεὺς εἰδὼς ὅποι ἔρχεται.

92. ἀλλὰ μέλει πόλεμος] Οἱονεὶ, ἀπορῶ ὅπως χρήσομαι τοῖς παροῦσι πράγμασι.

94. ἀλαλύκτημαι] Τὸ ἀλαλύκτημαι ἔστι παρακείμενος Ἀττικὸς, ἀπὸ τοῦ ἀλύσω ἀλυκτῶ ἠλύκτηκα ἠλύκτημαι ἀλαλύκτημαι.

Τεθορύβημαι, ἠπόρημαι ἀδημονῶν.

96. ἀλλ' εἴτι δραίνεις] Τὸ ἔργον ὡς πάρεργον ὑποκρίνεται. "δραίνεις," δράσειν δύνασαι· ὑπονοεῖς δράσαι.

Ib. Τὸ δραίνεις ἀντὶ τοῦ πράττεις, ἐκ τοῦ δρῶ δραίνω, ὡς ῥῶ ῥαίνω. ἐνταῦθα δὲ ἀντὶ τοῦ δύνασαι δρᾷν. ἐκ δὲ τούτου τὸ ἀδρανὴς ὁ μὴ δραίνειν δυνάμενος. οἱ δὲ παλαιοὶ δραίνειν λέγουσι τὸ ἀγρυπνεῖν, ἤγουν ἀργὸν ὕπνου εἶναι. δρῶ δὲ τὸ βλέπω. διὸ εἰπὼν ὁ ποιητὴς "εἴ τι δραίνεις," ἐπάγει "οὐδέ σέ γε ὕπνος "ἱκάνει."

98. ἀδηκότες] Κορεσθέντες, ἄδος γὰρ ὁ κόρος κατὰ τοὺς παλαιοὺς, ὁ γὰρ κόρος βάρος ἐπάγει.

Ib. ἠδὲ καὶ ὕπνῳ] Ἤγουν ἀγρυπνία, πλὴν οὐχ ἁπλῶς τοῦτο. ἀνόητον γὰρ, ἀλλὰ τὸν μὴ παρόντα ὕπνον εἰς ἀγρυπνίαν ληπτέον. διάκειται γάρ τις ἀηδῶς ὕπνῳ οὐ τῷ παρόντι ἀλλὰ τῷ ἀπόντι. οὕτω καὶ ναῦς ποτὲ λέγεται διὰ κυβερνήτην ἤλλυσθαι ἀπόντα δηλαδή.

101. μενοινήσωσιν] Οἱ Τρῶες ἀγρυπνοῦσι μὴ καὶ νύκτωρ φύγωσιν οἱ Ἀχαιοὶ, Ἕλληνες δὲ μήπως μενοινήσωσιν οἱ Τρῶες μάχεσθαι. οὕτω δεινὸν ἡ ἄγνοια τοῦ μέλλοντος.

104. μητιέτα] Πρὸς τὰ νοήματα, ἔλεξεν ἐνταῦθα τὸν Δία μητιέτην.

105. νυν ἐέλπεται] Τὸ νῦν δίχα τόνου τιθέασιν οἱ παλαιοὶ, καὶ οὐδὲ χρονικὸν ἐπίρρημα λαμβάνουσιν, ἀλλ' ἀντὶ παραπληρω-

ματικοῦ συνδέσμου ἀφ' οὗ ἔοικε καὶ τὸ τοίνυν γίνεσθαι. τοῦ τοιούτου χρῆσις παρ' Εὐριπίδῃ, (Hec. 996.)

Σῶσόν νυν αὐτὸν μήδ' ἔρα τοῦ πλησίον.

106. κήδεσι καὶ πλείοσι] Δύναται ἐκ περισσοῦ ἔχειν τὸ καὶ. πολλαχοῦ δὲ τοῦτο γίνεται, τὰ λαμπρὰ καὶ κατ' ὄμμα καὶ κατὰ φύσιν, τοῦ πρώτου καὶ ὄντος περισσοῦ.

Ib. εἶκεν Ἀχιλλεὺς] Οἶδε γὰρ ὅτι διὰ τὸν Ἀχιλλέα ὁ Ζεὺς ἐπιβοηθεῖ τῷ Ἕκτορι.

111. ἀλλ' εἴ τις] Παρακελευσματικόν ἐστι τὸ εἰ. οἷον, "ἀλλ' "ἄγε τὶς τούσδε καλεσάτω." ἢ ἔλλειψιν ἔπαθε προθέσεως, ὡς εἴπερ εἶπεν, ἤθελον εἴτις καὶ τούτους ἐκάλεσεν.

113. ἑκαστάτω] Τοῦτο ἐκ τοῦ ἑκὰς ὃ δηλοῖ τὸ πόρρω, ἑκάτερος ἑκάστατος, ἑκαστάτω ὡς πορρωτάτω, ὁμοίως τῷ ἕκαστος. ἡ μὲν γὰρ μονὰς αὐτὴ ἐφ' ἑαυτῆς μένουσα, καὶ οἷον στρογγυλομένη συνέστραπται. ἡ δὲ δεκὰς τολμήσασα, ἑκὰς αὐτὴ γέγονε τῷ μερισμῷ. διὸ καὶ τόλμα λέγεται παρὰ τοῖς σοφοῖς. ὅθεν καὶ τὸ ἑκάτερος ὡς συγκριτικὸν πρὸς τὴν μονάδα ἐπὶ δυάδος, τὸ δὲ ἕκαστος ὡς ὑπερθετικὸν ἀρξάμενον ἀπὸ τῶν τριῶν πρόεισιν.

114. φίλον περ] Ἡ μὲν Ἑλένη ὡς ξένη λέγει τὸν Πρίαμον δεινὸν καὶ αἰδοῖον, οἱ δὲ νεώτεροι οὐ δεινὸν ἀλλὰ φίλον.

115. νεικέσω] Νεικῶ νεικήσω, ὁ δὲ ποιητὴς νεικέσω, καὶ καλῶ καλέσω, ὁ δὲ ποιητὴς καλήσω, ἐξ οὗ τὸ καλήμεναι.

Ib. νεμεσήσεαι] Ἐν τῷ "εἴθε μοι νεμεσήσεαι," παιδεύει μὴ ἁπλῶς ἀλλ' εὐλαβῶς καὶ μετὰ παρατηρήσεως ἐπιβάλλειν ταῖς μέμψεσι, καὶ μάλιστα ταῖς πρὸς τοὺς μείζονας.

116. πονέεσθαι] Μετὰ πόνου καὶ κόπου πορεύεσθαι.

118. ἀνεκτὸς] Ἀνυπομόνητος, ἔστι δὲ ἀντὶ τοῦ ἀνεκτὴ, ὁμοίως τῷ "κλυτὸς Ἱπποδάμεια."

120. ὦ γέρον] Νέστορος αἰτιασαμένου τὸν Μενέλαον ὁ ἀδελφὸς βασιλεὺς οὔτε καθάπαξ ἐκείνου ὑπεραπολογεῖται, ἵνα μὴ ἀντιβαίνῃ τῷ καὶ φίλῳ καὶ λογιωτάτῳ Νέστορι, οὔτε αὖ ψέγει· φιλάδελφος γάρ ἐστιν ὡς εἰκὸς, ἀλλὰ δεξιῶς τὸν λόγον κιρνᾷ, καὶ τὸ δοκοῦν ἁμάρτημα τοῦ ἀδελφοῦ εἰς ἐγκώμιον ἀντιπεριΐστᾷ.

122. οὔτ' ὄκνῳ εἴκων] Ἤγουν ὁ δοκῶν ἐκείνῳ ὄκνος, εὐλάβεια ἐστὶ δι' ἐμέ. τὸ μὴ θέλειν πονεῖσθαι ἢ ὄκνῳ γίνεται ἢ ἀφροσύνῃ.

Τὸ "ὄκνῳ εἴκων" ἀστείως εἴρηται, ὡς τοῦ ὀκνοῦντος δηλουμένου τρόπον τινά.

125. καλήμεναι] Τὸ θέμα καλαίνω ἢ κάλημι, ὡς ἐκ τοῦ τιθῶ τίθημι τιθήμεναι, οὕτω καὶ ἐκ τοῦ καλῶ κάλημι καλήμεναι.

126. πυλάων ἐν φυλακεσσιν] Πρὸς τὸ πρόθυμον τοῦ ἀδελφοῦ. καὶ ἔστι συμπαθὲς τὸ δύο βασιλεῖς οὕτως αὐτουργεῖν.

127. ἵνα γάρ σφιν] Τὸ ἵνα ἢ σύνδεσμος εὑρίσκεται ἢ ἐπίρρημα· ἀμφότερα διχῶς, εἰ μὲν σύνδεσμος, ἢ αἰτιολογικὸς λαμβάνεται, ἢ ἐνδοιαστικὸς, ὡς τὸ "ἵνα μὴ ῥέξωμεν ὧδε," ἀντὶ τοῦ ἐὰν μὴ ῥέξωμεν οὕτως. εἰ δὲ ἐπίρρημα ἢ ἀναφορικὸν ὅπου, ἢ ὁριστικὸν ἀντὶ τοῦ ἐκεῖ, ὡς ἐνταῦθα.

Ib. ἠγερέεσθαι] Ἤγουν ἐκεῖ αὐτοῖς εἶπον συναχθῆναι· τὸ δὲ ἠγερέεσθαι ἀπὸ τοῦ ἐνεστῶτος τοῦ ἠγερῶ, αὐτὸς δὲ ἀπὸ μέλλοντος παρῆκται τοῦ ἀγερῶ, τραπέντος τοῦ ᾱ εἰς η̄ ὡς τὸ ἀπύω ἠπύω, καὶ εἰρῶ καὶ ὠρῶ, καὶ φυλάσσω καὶ ἠλάσσω.

133. περονήσατο] Ἤγουν περόναις, ὅ ἐστι κομβίοις συνέδησεν.

134. ἐκταδίην δὲ ἤγουν ποδηνεκῆ. ὅρα δὲ ὡς μανδοειδὴς ἡ χλαῖνα, καὶ ὅτι ἀνέκαθεν τὰ φοινικὰ τοῖς βασιλεῦσιν ἐπέτρεπον.

Σημείωσαι τὴν συνήθη ποικιλίαν καὶ ἐνταῦθα τοῦ ποιητοῦ ἔντε ἐγέρσεσι καὶ φορήμασιν ἐκκλίνοντος πανταχοῦ τὸ ὁμοειδές.

Ib. οὔλη] Φησὶν Ἀππίων καὶ Ἡρόδωρος, τὰ εἰς λος δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ̄ ἄλλο σύμφωνον διὰ τὸ μοχλὸς, τῷ ō παραληγόμενα ἢ μόνῳ ἢ μετὰ τοῦ ῑ βαρύνονται, οἷον πόλος στόλος κοῖλος οὖλος, ὅθεν καὶ οὔλη. τὸ δὲ θολὸς ἐπὶ σηπίας πρὸς ἀντιδιαστολὴν τοῦ θόλου τῆς καμάρας.

Ib. λάχνη] Λάχνη τρίχωσις, ἤγουν ἐπῆν δασύτης τριχοειδής. λάχνη δέ ἐστιν οὐκ αὐτόχρημα θρὶξ, ἀλλὰ τρίχωσις. λάχνην δὲ ἔχει καὶ ἀλώπηξ.

135. ἀκαχμένον] Ἀπὸ τοῦ ἀκὴ ἡ ὀξύτης, ἀκάχω ἀκαχῶ, ὁ παρακείμενος ἀκάχηκα, ἀναύξητον ἀκάχημαι, ἀκαχημένον ἀκαχμένον.

136. βῆ δ' ἰέναι] Ὁ Νέστωρ ἐπάνω ἔλεγε σοὶ δ' ὅτι ἄνω μὲν εἶπεν ὁ Νέστωρ "σοὶ δ' ἕψομαι" εὐπείθειαν τὴν πρὸς τὸν βασιλέα ἐμφαίνων, καὶ ὅσον ἦν ἐπ' αὐτῷ τελῶν. νῦν δὲ παραχωρεῖ ὁ Ἀγαμέμνων ἐκείνῳ τῆς ὁδηγήσεως ὡς γηραιῷ· εἰ καὶ παρεσιώπησεν ὁ ποιητὴς αἰδοῖ τῇ πρὸς τὸν βασιλέα.

138. ἀνέγειρε] Νέστωρ αὐτὸν ἐγείρει. οὐ γὰρ δεῖ βασιλέως παρόντος, ἔλαττον ὑπηρετεῖν.

139. φθεγξάμενος] Ὁ λόγος ὁ διὰ τοῦ στόματος προϊὼν, κεῖται δὲ ἐπὶ ἁπλῶς ἤχου, ὡς ἐν Ὀδυσσείᾳ ἐπὶ ἀνέμου ἡ ἰώ. ὅθεν δῆλον ἡ ἰωὴ τοῦ ἀνέμου ἄνυται, οἱονεὶ ἰωαγή.

Ib. περὶ φρένας ἤλυθ'] Περίφρασις δὲ τοῦ ἤκουσε, τοῦ περιῆλθε τὰς φρένας ἡ φωνὴ, τουτέστι ταχὺ ἤκουσεν, ἤγουν ὁ προφορικὸς λόγος ὁ τοῦ στόματος ἰὼν, ταχέως ἐκείνῳ ἠνώτισται.

142. ὅτι δὴ χρειὼ] Ἔστι πευστικὸν τὸ ὅτι. δεῖ γὰρ ἀνατεταμένῃ φωνῇ τοῦτο προφέρεσθαι· ἀπὸ σχετλιάζοντος ὅτι στρατῷ βοηθοῦσιν.

149. σάκος θέτο] Τοῦ Ὀδυσσέως σάκος θεμένου ἀμφ' ὤμοισιν ἐν τῇ νυκτεγερσίᾳ, δειλίας φασὶν εἶναι δεῖγμα, καὶ τοῦτο πάνυ ἀστείως οἱ σοφοὶ λέγοντες ὅτι Νέστορος λέγοντος χρῆναι καὶ ἄλλον ἐγεῖραι ὡς[g] βουλευτέον ἢ φεύγειν ἢ μάχεσθαι. Ὀδυσσεὺς ἀποσιωπημένῃ ἀποκρίσει χρῆται πρὸς αὐτὸν, μονονουχὶ λέγων ὡς μενετέον καὶ μαχητέον.

150. Σημείωσαι ὅτι καὶ Διομήδης ἐκτὸς ἦν κλισίης μεθ' ὅπλων, αἴθριος δηλαδὴ κοιμώμενος ἐπὶ ῥινοῦ βοός. περὶ ἐκεῖνον δὲ καὶ οἱ αὐτοῦ ἑταῖροι. τὸ δὲ αὐταῖς κεφαλαῖς ἔχον ἀσπίδας, τοῖς αὐτοῖς δηλαδὴ ὅπλοις εἰς πόλεμον καὶ εἰς ἀνάπαυσιν ἀποχρώμενοι. τῷ Διομήδει μέντοι ὡς ἐξαίρετον ὄντι τὸ ὑπὸ τῇ κεφαλῇ τάπητα ἔχειν, ἵνα κἂν γοῦν ἡ κεφαλὴ ἐν ἁπαλῷ μένοι.

151. Σὺν τεύχεσιν δεῖγμα ἀμφιβολίας. εὔδηλον γὰρ, εἴτε παράκειται αὐτῷ τὰ ὅπλα, εἴτε ἐνδέδυται. Πορφύριος δέ φησιν ὅτι οὐ φορεῖ ταῦτα, δουλείας γὰρ δεῖγμα τὸ τοιοῦτον.

Ib. ἀμφὶ δ' ἑταῖροι] Φοβερὸν ἐνταῦθα σχῆμα, εἰ οὕτως οἱ ἑταῖροι τρόπον τινὰ περιχαρακοῦσι τὸν ἡγεμόνα.

153. σαυρωτῆρος] Σαυρωτὴρ ἐστὶ σίδηρον κοῖλον ἐξ ἄκρου ὀξὺ, ὃ ἐντιθέμενον, τὸ ὀπίσω ἄκρον τοῦ δόρατος ὀρθὸν αὐτὸ κατὰ σταυρὸν ἑστᾶναι ποιεῖ πηγνύμενον, ὅθεν καὶ τὴν κλῆσιν ἔσχεν οἱονεὶ σαυρωτήρ. τοῦτο δὲ ἐξεκόπη χρόνοις πολλοῖς ὕστερον, ἔγχους

[g] ὃς Cod.

νύκτωρ καταπεσόντος καὶ πτυρμὸν πολὺν στρατῷ τινὶ ἐμποιήσαντος.

Τὸν "σαυρωτῆρα" στύρακα φησὶ Θουκυδίδης, ἐκ τοῦ στήσω στήραξ, καὶ στύραξ. ὁ στήλος στύλος. σαυρωτὴρ ὁ μύσταξ.

159. ἀώτεις] Οὐκ ἔγκειται ἐκ τοῦ ὦς ὠτὸς κατά τινας, διὰ τοὺς κοιμωμένους μὴ χρῆσθαι ὠτίοις, ἀλλὰ "ἀωτεῖς," οἱονεὶ ἀπανθίζεις τὸ τοῦ ὕπνου κρεῖττον.

160. ἐπὶ θρωσμῷ] Τόπος ἐστὶν ὑψηλὸς ἐν τῷ πεδίῳ τῆς Ἰλίου καὶ γήλοφος, ὁ οἷον ἀναθρώσκων καὶ μὴ κατὰ πεδιάδος κείμενος, ἐφ' οὗ περ οὐχ ἁπλῶς βαίνει τίς, ὡς ἐπὶ πεδιάδος ἀλλ' ἀναθρώσκων.

"Θρωσμῷ" τῷ ὑψηλῷ, ἐκ τοῦ τέθρωσμαι παθητικοῦ παρακειμένου. ὁ δὲ ἐνεστὼς τοῦ τέθρωσμαι οὐ τὸ θρώσκω, τὰ γὰρ εἰς σκω μέχρι τοῦ παρατατικοῦ κλίνονται, ἀλλὰ τὸ θόρω θρῶ τρίτης συζυγίας, οὗ ὁ μέλλων θρώσω.

161. ἄγχι νεῶν] Πάνυ δεξιῶς ὁ Νέστωρ τὸν μὲν Ἀγαμέμνονα ἐθάρσυνε τεταπεινωμένον ὑπὸ συμφορᾶς, τὸν Διομήδην δὲ ἀμελοῦντα καὶ καθεύδοντα ἐκφοβεῖ, πρεπόντως δὲ τοῦτο.

170. εἰσὶ μέν μοι παῖδες] Ἄνω μὲν εἶπεν ὁ Διομήδης, "οὔ νυ "ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν," ὡσανεὶ δυσωπηθεὶς τὸν κόπον τοῦ γέροντος καὶ ἀναξιοπαθῶν ἐγείρεσθαι παρὰ γέροντος. ὁ δέ γε Νέστωρ ἄλλως ἀπολογεῖται, ὡς εἰ ἔλεγε περὶ τῶν οἰκειακῶν τοῦ Νέστορος. τεχνικῶς δὲ δηλοῦντος τοῦ λόγου ὅτι ἐμὲ ὤφειλε προεξάρχειν τῆς τοιαύτης πράξεως, καὶ ὡς οὐκ ἄλλον ἐμοῦ ἀπόντος. τοσοῦτον δὲ τὸ κατεπεῖγον ὅτι οὐδὲ παισὶν ἐπέτρεψα τὸ τοιοῦτον, οὐδὲ τῷ ἡμετέρῳ λαῷ.

172. Τὸ "βεβίηκεν" εἴρηται ὡς ἀπὸ τοῦ βιέω, βιῶ, βιήσω, οὐχ ὡς ἀπὸ τοῦ βιάζω, ὡς λέγουσι τινές.

173. ἐπὶ ξυροῦ] Παροιμιῶδες ἀντὶ τοῦ νῦν ἐν κινδύνῳ ἵστανται τὰ καθ' ἡμᾶς, καὶ οἷον ἐπ' αὐτῇ τῇ ὀξύτητι καὶ τομῇ τοῦ ξυροῦ· εἴληπται δὲ ἡ παροιμία ἐκ τῶν τραυμάτων, ἃ τομῆς ἤδη δέονται. Τρεῖς ἐνέργειαι τῶν πρακτικῶν δυνάμεων, ἀρχὴ, ἀνάβασις, ἀκμὴ καὶ παρακμή· ὧδε γοῦν εἴρηκεν ὡς ἀνάβασιν ἔχον, τουτέστιν ὡς μὴ κεκινημένον ἀλλὰ μέλλον κινῆσαι.

174. ὄλεθρος] Καὶ ὁ ὄλεθρος δύναται ἀπαρεμφάτως φρασθῆναι, οἷον ὅτι ἀνάγκη ὀλοθρευθῆναι· καὶ τὸ βιῶναι ἴσον δύναται τῷ ὀνόματι, ὡς ἵνα εἴπῃ, σήμερον ὄλεθρος ἢ βίος τοῖς Ἀχαιοῖς.

175. εἰ μ' ἐλεαίρεις] Οἶδεν ὁ ποιητὴς καὶ τὴν φύσιν τοῦ παρὰ φιλοσόφοις λήμματος ἐνδόξου· ἐνταῦθα γὰρ τοῦ Διομήδους δόξαντος οἰκτείρειν τὸν γέροντα, λαβὼν τὸν ἐκείνου λόγον ὁ γέρων ὡς ἀληθῆ, ὁρμᾶται ἐκ τοῦ ἐκείνῳ δοκοῦντος, καὶ στέλλει τοῦτον εἰς ὑπηρεσίας, εἴ με ἐλεαίρεις λέγων.

176. ἐλεαίρεις] Τὸ μὲν ἐλεαίρεις δεῖ νοῆσαι πρὸς τὸ "σχέτλιος ἐσσὶ γεραιὲ," τὸ δὲ "σὺ γὰρ νεώτερος" πρὸς τὸ προλεχθὲν, καὶ τοῦτο τῷ Διομήδει,

οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν.

177. ἑέσσατο] Ἕω τὸ ἐνδύομαι ὁ μέλλον ἕσω, ὁ ἀόριστος ἕσα, ὁ μέσος ἑσάμην ἕσου ἕσατο, καὶ πλεονασμῷ τοῦ ε ἑέσσατο, καὶ ἐκβολῇ τοῦ τ ἑέσσαο· ἢ κατὰ διάλυσιν Ἰωνικὴν τοῦ δευτέρου προσώπου ἑέσου, ἑέσσαο· οἱ γὰρ Ἴωνες τῶν ῥημάτων τὴν δίφθογγον διὰ τοῦ αο τρέπουσι.

184. Τὸ "καρτερόφρονος," εὐγενεῖς ὑπογράφει κύνας, οἷς ἔργον περιφρονεῖν μὲν τὰ φαῦλα θηρία, ἐπιστρέφεσθαι δὲ τῶν κρατερῶν· ὁποῖοι καὶ οἱ παρ' Ἰνδοῖς, οὓς ὁ σοφὸς Θεμίστιος λέγει "κύνα Ἰνδὸν λέοντι μὲν ἐπεξιέναι καὶ παρδάλει, λύκους δὲ ὑπερορᾶν καὶ ἀλώπεκας."

190. τούς δ' ὁ γέρων] Τεχνικῶς εἶπε τοῦτο ὁ Νέστωρ ὡς πρὸς ἔπαινον τῶν φυλάκων. εἰ γὰρ ἔλεγε τούτους ὅτι κακῶς ἐφυλάσσετε, πάντως ἐκεῖνοι μομφὴν καὶ μέμψιν ἐκείνῳ εἶπον. ἄλλως εἶπε δὲ τοῦτο, ἵνα μήπως καὶ διὰ τῆς ἑτέρας ὑπνήσωσι, τουτέστι τοῦ ἑτέρου μεσονυκτίου.

192. φίλα τέκνα] Οὐ πέπονας, οὐ φίλους ἑτέρους, ἀλλὰ φίλα τέκνα λέγει ὡς τὸν Θρασυμήδην αὐτὸν οἰκειούμενον τεχνικῶς τούτους.

194. τάφροιο διέσσυτο] Σημείωσαι ὅτι ὑπὲρ τὴν γεροντικὴν προθυμίαν ὁ Νέστωρ ἑαυτὸν ἐρεθίζων, πρῶτος τάφροιο διέσσυτο, ἵνα καὶ τῇ τόλμῃ δηλαδὴ καὶ τοὺς φύλακας καὶ τοὺς ἅμα ἑπομένους θαρρύνῃ· οὐ γὰρ ἦν ἀνδρῶδες τοὺς ἄλλους εἰς κίνδυνον

στέλλοντας[h] ἐντὸς αὐτὸν τάφρου συστέλλεσθαι, καὶ μὴ προϊέναι τολμᾶν.

200. Τὸ " ἀπετράπετο" ἔχει διαφορὰν πρὸς τὸ τρέπεσθαι· τὸ γὰρ τρέπεσθαι ἀκούσιον.

205. μεγαθύμους] Τοὺς Τρῶας οὐχ ἁπλῶς ὠνόμασεν, ἀλλὰ στρατηγικῶς τὸν λόγον ἀσφαλιζόμενος, ἵνα ἐκφοβήσῃ τοὺς ὑπὲρ τὸ δέον ἀνδριζομένους.

206. Τὸ " ἐσχατόωντα, παραμυθία ἐστὶ τῆς κινδυνώδους ἐπιχειρήσεως ὡς μὴ χρεὼν δῆθεν ὂν τὸν κατάσκοπον τοῦ βάθους γενέσθαι.

Λακεδαιμόνιοι ἐπετείχισαν τὴν Δεκέλειαν. Οὐκ αὐτὸς ἀπαιτεῖ ὅπερ ὁ Δόλων ποιεῖ, οὐ λαβὼν ὑπόσχεσιν, ἀλλ' ἀπαιτήσας αὐτός.

Ἐνταῦθα ἐκκύπτει τοῖς σοφισταῖς κατὰ ῥητὸν οἶμαι καὶ διάνοιαν ζήτημα· ζητήσεως γὰρ ἄξιον, εἴτε τοὺς βασιλεῖς μόνους οἰητέον " ἀρίστους," εἴτε σὺν αὐτοῖς καὶ τοὺς ἡγεμόνας καὶ μέδοντας.

212. ὑπουράνιον] Ὑπερβολικῶς εἶπεν ὁ καλὸς ῥήτωρ Νέστωρ, οὐκ ἀληθῶς λέγων, ἀλλὰ πιθανῶς αὔξων τὸ μικρόν.

216. οὐδὲν ὁμοῖον] Σημείωσαι δὲ καὶ σχῆμα ἐν τούτοις κατὰ τὸ σιωπώμενον, καὶ σιγᾷ τοῦ λοιποῦ τὴν τῆς ὑποσχέσεως δόσιν ὁ ποιητής, εἰς τέλος ἂν πάντως ἐλθοῦσαν.

Ib. θῆλυν] Ἡ διὰ τὴν θηλυγονίαν ἐπιμονὴ τοῦ γένους ἐπὶ μήκιστον ἐκτείνει τὸ κλέος τῆς πράξεως.

224. σύν τε δύ' ἐρχομένω] Σολοικοφανὲς τὸ τοιοῦτον, καὶ εἶχεν ὁ ποιητὴς ἀπροσκοπῶς εἰπεῖν σύν τε δύ' ἐρχομένων, εἵλετο δὲ καὶ νῦν τῷ ἐναγωνίῳ τῆς ἐννοίας ὡς οἷα σχεδιάζων συναλλάξαι τὸν λόγον καινότερον· ἐπεὶ γὰρ οἱ σύνδυο ἐρχόμενοι οὐχ ἕν τι δρῶσιν ἐξ ἀνάγκης καὶ τὸ αὐτὸ, ἤρξατο ἀπὸ εὐθείας σχεδιαστικῶς ὡς οἷα μέλλων ἓν ἔργον εἰπεῖν ἀμφοτέρων· γνοὺς δὲ ὡς οὐ δύναται, ἀφίησιν ἀναγκαίως καὶ νῦν τὸ ὀρθὸν τῆς συντάξεως καὶ πλαγιάζει καινοπρεπέστερον. Πλὴν ἀλλ' ὁ μὲν Σκύθης ὁ τὸν τοῦ ἵππου χρεμετισμὸν ἀρίστης μουσικῆς ὑπερθέμενος, δίδωσι τῆς βαρβάρου γνώμης δίκας τοῖς παλαιοῖς· ὁ δὲ ὄντως βαρβαρίζειν ἑλόμενος

[h] Sic.

τῷ πηοιτῇ, εἴη ἂν ῥήτωρ ἄριστος. Ἔπεσε τοῦτο καὶ εἰς παροιμίαν καὶ ἀρκοῦνται οἱ παλαιοὶ τὸ σύν τε δύο λέγειν μόνον, ὡς τοῦ ἀκροατοῦ συνεπινοοῦντος καὶ τὸ ἑπόμενον, ὁποῖον τί καὶ ὁ Παραβάτης ποιεῖ ἔν τινι ἐπιστολῇ "τὸν ἐσθλὸν ἄνδρα" λέγων καὶ πλέον οὐδέν· τὸ δὲ πλῆρες τοῦτο· τὸν ἐσθλὸν ἄνδρα χρὴ κλύειν τὸν ἐντελῆ.

226. βράσσων] Τὸ βράσσων ἅπαξ εἴρηται τῷ ποιητῇ, δηλοῦν κατὰ τοὺς γλωσσογράφους τὸν βραδὺν ἢ τὸν βραχὺν, ἀπὸ τοῦ βραδὺς, βραδίων, βράσσων, ἢ ἀπὸ τοῦ βραχὺς, βραχίων, βράσσων, ὡς ἐλαχὺς, ἐλαχίων, ἐλάσσων, παχὺς παχίων, πάσσων. κατὰ δὲ ἑτέρους βράσσων ὁ βρασσόμενος καὶ οὐχ ἑστηκὼς ἐφ' ἑνὸς διὰ τὴν ἀγωνίαν· καὶ μετήνεκται ἡ λέξις ἀπὸ τῶν βρασσομένων ὑδάτων.

238. σὺ δὲ χείρον'] Τὸ σὺ διττῶς ἐρρέθη κατὰ ἔμφασιν σχεδιασμοῦ· ὅμοιον καὶ παρὰ Σοφοκλεῖ,

ὥστ' εἴ τις δύο
ἢ καὶ πλείους τις ἡμέρας[1] λογίζεται. Trach. 945.

242. εἰ μὲν δὴ ἕταρον] Ἐμφαίνει ἐνταῦθα κατὰ τοὺς παλαιοὺς τὸ τοῦ Διομήδους ἦθος φιλότιμον καὶ σὺν ἀσφαλείᾳ φιλοκίνδυνον.

244. οὗ πέρι μὲν πρόφρων] Ὁ Διομήδης ἔμπρακτον φρόνησιν ἐπιλέγεται, ὅθεν οὐδὲ ὁ Νέστωρ ἀκούων δυσχερανεῖ· ἡ γὰρ τοῦ Νέστορος ἄκρατος αὐτόχρημα σύνεσις ἦν ἀνδρείας ψιλή.

245. φιλεῖ δὲ] Οὐχ ὡς ἀνδρεῖον ἀλλ' ὡς φρόνιμον, ἐν ταῖς τοιαύταις γὰρ χρείαις καὶ ἀνδρείου χρεία καὶ φρονίμου, ὡς καὶ Ὀδυσσεὺς εἰς τὴν πρεσβείαν.

Ib. πόνοισι] Πόνος ἡ λύπη καὶ ἡ μετὰ κόπου ἐνέργεια.

246. τούτου γ' ἑσπομένοιο] Τοῦ ἐξ ἀσυνδέτου ἀποστατικῷ σχήματι ἐνδιάθετον ἐμφαίνει τῷ Διομήδει τὸν λόγον κατά τι θαῦμα ἐκπληκτικόν.

247. ἐπεὶ πέρι οἶδε νοῆσαι] Ἀντὶ τοῦ περισσῶς οἶδε διανοήσασθαι καὶ βουλεύσασθαι τὸ συμφέρον.

251. νὺξ ἄνεται] Τελειοῦται, ἐξ οὗ καὶ τὸ ἀνύω ἄνυμι.

[1] ἢ μέρος Cod.

Ib. ἠῶς] Τὸ πρωϊνὸν κατάστημα.

253. τῶν δύο] Ἀττικὸν ἢ κοινὸν, Ἰωνικὸν γὰρ δυῶν.

254. ἐνὶ δεινοῖσιν] Δέος ἐμποιοῦσι, φοβεροῖς.

255. Τυδείδῃ μὲν] Ἵνα μὴ χρονοτριβοῖεν ἐν ταῖς σκηναῖς.

256. ἄμφηκες] Ἑκατέρωθεν ἠκονημένον.

258. ἄλοφον] Μήτε προμετωπίδα μήτε λόφον ἔχουσα.

259. ῥύεται δὲ κάρη, πρὸς ἀκρίβειαν ἐννοίας, ἵνα μή τις ὑπολάβοι ὡς οὐ χρήσιμος ἡ ταυρείη.

Ib. Τὴν αὐγὴν τοῦ ἡλίου· ἦν δὲ ἄφαλος καὶ ἄλοφος διὰ τὸ λανθάνειν, καταίτυξ δὲ παρὰ τὸ κάτω τετύχθαι, οὐ γὰρ ἔχει λόφον.

260. βιὸν ἠδὲ φαρέτρην] Φάσγανον μὲν ἑκάτερος τῶν κατασκόπων λαμβάνει, τόξον δὲ Ὀδυσσεὺς ὡς προμηθέστερος ἢ ὡς δειλός· ὁ Διομήδης δὲ ἴσως ἀπαξιοῖ τὸ ἑκηβόλον ὅπλον ὡς σταδιαῖος.

264. ἀργιόδοντος] Λευκοὺς ὀδόντας ἔχοντος.

265. ἀρήρει] Μέσος παρακείμενος ἦρα καὶ ἄρηρα, ὁ ὑπερσυντελικὸς ἀναυξήτως ἀρήρει.

267. ἐξέλετ'] Ὡς ἐξαίρετον ἔλαβε.

Ib. ἀντιτορήσας] Διορύξας, διατρυπήσας διόλου.

269. ξεινήϊον εἶναι] Περισσὸν ἐνταῦθα τὸ εἶναι· ἔστι δὲ ἴδιον τῶν Ἀττικῶν.

276. δι' ὀρφναίην] Ἰστέον ὅτι κατὰ τὴν ἐν χρησμοῖς λοξότητα ἀμφιβολίαν ἔχει καὶ ὁ παρὼν ὄρνις· ἄδηλον γὰρ εἴη διὰ τὸ ἤκουσαν καὶ οὐκ εἶδον, ἀκουσθήσονται μὲν γνωσθέντες τοῖς πολεμίοις, οὐχ ὁρασθήσονται δὲ, ἀλλὰ φεύξονται ἀφανεῖς μηδὲν μέγα δράσαντες· εἴτε ὅτι ὄψει μὲν πολεμίων οὐχ ὑποπεσοῦνται, ἔκπυστα δὲ δράσουσιν εἰς αὐτοὺς, απερ ὡς συνετὸς ὁ Ὀδυσσεὺς ἀναλογισάμενος, χαῖρε μὲν διὰ τὸ ὕστερον ὡς συνετός· ηὔχετο δὲ μέγα ἔργον ἐκτελέσαι διὰ τὸ πρῶτον, ὡς τῆς τύχης ἔμπειρος καὶ τῶν κατὰ τύχην πραγμάτων.

280. Τὸ " κινύμενος] Ἀπὸ τοῦ κινῶ κιννύω κίνυμι.

Ib. φίλαι Ἀθήνη] Φίλημι φιλήσω ἐφίλησα ἔφιλα, φίλαι προστακτικὸν τοῦ ἔφιλα, ὁ μέσος ἐφιλάμην ἐφίλατο.

283. δεύτερος αὖτ' ἠρᾶτο] Ἀφελέστερον ὁ Διομήδης ὑπὲρ αὐτοῦ μόνου εὔχεται.

285. *σπεῖό μοι*] Φιλιοῦ ἢ συνακολούθει μοι.

286. *πρὸς Ἀχαιῶν ἄγγελος*] Ὑπὲρ τῶν Ἑλλήνων πρεσβυτὴς ἀπῆλθεν.

290. *πρόφρασσα*] Πρόφρων, προθυμοποιοῦσα· ἢ ἐποίησας αὐτὸν τὸ μέλλον προφράζεσθαι καὶ προνοεῖσθαι.

292. *σοὶ δ' ἂν ἐγὼ ῥέξω*] Σημείωσαι ὅτι ἐν τετάρτῃ ῥαψῳδίᾳ ταύτην τὴν ἱστορίαν εἶπεν, ἐκεῖσε μὲν πλατέως, ἐνταῦθα στενὰ διὰ τὸν καιρόν· ἐκεῖ μὲν γὰρ ἐν κ̄ στίχοις, ἐνταῦθα δὲ ἐν τέσσαρσιν· ἐννοητέον δὲ κατὰ τὸ σιωπώμενον ὡς ἐσβέσθησαν τὰ πυρὰ τοῖς Τρωσὶ διὰ τὸ ἤδη ἐγγύθι τὸν ὄρθρον εἶναι.

298. *ἀμφόνον, ἀννέκυας*] Συνεξορμᾷ καὶ μιμεῖται τὸ ἐκείνων εὔθαρσὲς καὶ εὐκίνητον διὰ τὸ "ἀμφόνον, ἀννέκυας·" ἐν δὲ τῷ Δόλωνι ἅπαξ μέλλει εἰπεῖν τὴν ἀνα.

302. *πυκινὴν*] Δεικνὺς ὅτι αἱ ἄλλαι οὐ πυκιναί· τοῦτο δὲ ἐξακουστέον πάντως ἐπὶ τῆς Ἑλληνικῆς, εἰ καὶ διὰ συντομίαν σεσίγηται.

303. *τόδε ἔργον*] Ὁ μὲν Νέστωρ μέγα ἔργον ἐμφαίνει τὸ ἔργον, ἵνα ἔχῃ πολλοὺς τοὺς ἀναδεξαμένους· ὁ δὲ Ἕκτωρ ἁπλοϊκῶς ἐρωτᾷ.

304. *δώρῳ ἐπὶ μεγάλῳ*] Ὁ μὲν Νέστωρ καὶ τὸ ἔργον μέγα ἔλεγε καὶ τὸ δῶρον μέγα καὶ ὑπερβολικῶς· ὁ δὲ Ἕκτωρ τὸ μὲν ἔργον, "τόδε ἔργον·" τὸ δὲ δῶρον μέγα· ὅθεν ὁ Νέστωρ μὲν τοὺς ἀκούοντας ὤτρυνεν ὡς μὴ ἄρκιον λαβόντας μισθὸν, κατὰ τὸ "μισθὸς "κ' ἀνὴρ ἄρκιος ἔσται·" οὗτος δὲ τὸν ἀγενῆ Δόλωνα εὕρηκε μὴ λογισάμενον ὅτι οὐ δίδωσι τὸ πλέον κατὰ μισθὸν ὁ Ἕκτωρ τὸ δῶρον ἀλλὰ κατὰ φιλοτιμίαν.

306. *οἵκεν ἀριστεύωσι*] Τοῦ μὲν Νέστορος τὸ δῶρον ἀσφαλὲς, τοῦ δὲ Ἕκτορος μάταιον.

Ib. *ὠκυπόρον*] Τῶν ταχειῶν ἐχουσῶν πορείαν ὠκείαν· ἀπὸ τοῦ πόρος καὶ τοῦ ὠκύς.

307. *ὅστις κεν τλαίη*] Ὁ μὲν Νέστωρ μετὰ τὸ μέγα κλέος τὸ ὑπουράνιον, οὕτω τίθησι καὶ τὸ δῶρον τὸ παρὰ τῶν Ἑλλήνων, ὁ δὲ Ἕκτωρ μετὰ τὸν μάταιον μισθὸν ὡς μέγα τι ἐπιφέρει "οἷτ' αὐτῷ "κῦδος ἄροιτο."

308. *πυθέσθαι*] Ὁ μὲν Νέστωρ "εἴ τινά που δηΐων ἕλοι" ὡς

ἐκ παραδόξου· ὁ δὲ Ἕκτωρ "εὖτε πυθέσθαι," οἷον περὶ πάντων ἀκοῦσαι.

314. Δόλων] Οὗτος κῆρυξ κατὰ παλαιὰν συνήθειαν.

315. πολύχαλκος] Σημείωσαι εἰ δύο ὄντες οἱ τῶν Ἀχαιῶν ἀνύσουσί τι μέγα· εἷς δὲ ὢν ὁ τῶν Τρώων πεσεῖται· ἀλλὰ τοῦτο τῇ Ἑλληνικῇ συνέσει ἐπιγραπτέον.

316. ὅς δή τοι εἶδος] Ἐπ' ἐλπίδι τοῦ φεύγειν τοὺς διώκοντας, ἵνα ληφθεὶς εὐπορῇ προφάσεως· ὡς δὲ γυναικοτραφεὶς, δειλὸς ἦν καὶ ῥιψοκίνδυνος.

319. ἔμ' ὀτρύνει] Καὶ οὗτος ἄριστος ἦν ὁ Δόλων μετὰ τῶν ἄλλων Τρώων, εἴπερ μετὰ τῶν ἀρίστων κέκληται καὶ ἐπιγινώσκει τοῦτον καὶ Διομήδης· εὔελπις ἐστὶν ὁ Δόλων ὡς εἰ ληφθείη, διὰ τῶν πραγμάτων λυτρωθήσεται.

320. ἔκ τε πυθέσθαι] Τὴν ἀκριβῆ περὶ πάντων ἀκοῦσαι· ὁ δὲ "εἴ τινά που δηΐων ἕλοι," ὡς ἐκ παραδόξου.

321. ἀλλ' ἄγε μοι τὸ σκῆπτρον] Ἐνταῦθα σημειοῦνται οἱ παλαιοὶ ὅτι ὠμότερος ὁ ὑπισχνούμενος τοῦ αἰτοῦντος.

322. ἵππους τε καὶ ἅρματα] Ὁ μὲν Ἕκτωρ ἀορίστως ἅρμα λέγει καὶ ἵππους, ὁ δὲ Δόλων συλλογιστικῶς ἐπὶ τὸν Ἀχιλλέα ἑώρα κράτιστον καὶ τοὺς ἐκείνου ἵππους καλοὺς ὑπονοήσας, ἐπεὶ ἤκουσεν, "οἵ κεν ἀριστεύσουσι," ζητεῖ τοὺς Ἀχιλλέως ἵππους, πάνυ ἀλαζονικῶς ἑαυτὸν ὑπολαμβάνων ἴσον τῷ Ἀχιλλεῖ.

324. σοὶ δ' ἐγὼ οὐχ ἅλιος] Γράφουσιν οἱ περὶ Ἡρόδωρον ὅτι εὕρομεν ἂν πολλοῖς εἰς τὸ χ̄ ἀπόστροφον, τοῦτο δὲ λέγομεν ὡς ἂν φανῇ ἐν τῷ "οὐχ ἅλις" καὶ "οὐχ οὕτως" καὶ τοῖς ὁμοίοις ἀμφιβόλως εἶχον οἱ παλαιοὶ κατὰ τὰς προσῳδίας.

326. νῆ' Ἀγαμεμνονίην] Τὸ αὔθαδες τοῦ Ἕκτορος ὑπερβαλὼν ὁ Δόλων, οὐχ ἁπλῶς εἰς τὰς νῆας μεγαλαυχεῖ, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν βασίλειον σκηνήν.

330. μὴ μὲν τοῖς ἵπποισι] Ὁ μὲν πρῶτος στίχος ἀγάλλει ἀκροατὴν φιλέλληνα ὡς ἀληθιζομένου τοῦ Ἕκτορος, ὁ δὲ δεύτερος στίχος ἠχρείωσε τὴν ἔμφασιν· ὅτι δὲ πολλὰ καὶ οὕτω σχηματίζονται πρὸς λεληθυῖαν ἔμφασιν, δηλοῖ καὶ ὁ Ἑρμογένης ἐν τῷ τοῦ μοιχοῦ λαβόμενος, "ἐβόων, ὦ πάτερ, σὺ δὲ ἦς οὐδαμοῦ."

Ib. ἐπίορκον ἀπώμοσε] Προαναφώνησις τὸ τοιοῦτον μὴ ἀνα-

σχομένου τοῦ ποιητοῦ ἐγκατασπάρθαι ταῖς ἁπάντων διανοίαις πρὶν ἀποβῇ τὸ ἐγκρατῆ γενέσθαι τὸν Δόλωνα τῶν ἵππων· γράφουσι δέ τινες "ἐπώμοσεν," ἀστείως ποιοῦντες· ἡ μὲν γὰρ ἀπώμοσις ἀληθής· τουτέστι τὸ οὐδεὶς ἐποχήσεται ἄλλος· κατὰ δὲ τὸ ἐπώμοσεν, ἤγουν τὸ "ἀλλὰ φημὶ διαμπερὲς," εὑρίσκεται ἐπίορκος ὁ Ἕκτωρ.

333. ῥινὸν πολιοῖο] Ῥινοῦ πολιοῦ λύκου ἐνδύει τὸν Δόλωνα ἐπίτηδες ὡς ἄφρονα, ἵνα δι' αὐτοῦ ὑπολεύκου ὄντος κατάφωρος ὁ ἀνόητος γίνηται.

335. κτιδέη] Ἴκτις καὶ ἰκτὶς γράφεται· τὸν δὲ Ὅμηρον ἀφελεῖν λέγουσι τὸ ῑ.

336. βῆ δ' ἰέναι] Σημείωσαι ὅτι σχῆμα προαναφωνήσεως τὸ, "οὐδ' ἄρ' ἔμελλεν ἐλθὼν ὁ Δόλων ἐκ νηῶν ἂψ Ἕκτορι μῦθον ἀποί- "σειν·" τῷ φιλέλληνι γὰρ ἀκροατῇ προλαλεῖ τὸ συμβησόμενον· οὕτω καὶ τὸν Ἕκτορα ἐπίορκον ὀμόσαι εἶπεν, ἐφ' οἷς περὶ τῶν Ἀχιλλέως ὅρκων ὤμοσεν.

339. φράσατο προσιόντα] Ὡς γνωστικὸν ῥῆμα μετοχῇ συντάσσεται.

342. ἐπίσκοπος] Ἐπισκοπευτὴς ἀκριβὴς, ἡ γὰρ ἐπὶ πρόθεσις ἐπίτασιν καὶ ἀκρίβειαν δηλοῖ.

343. νεκύων κατατεθνειώτων] θατέρα λέξις περισσὴ κεῖται· ὁ δ' Ἀθήναιος ἱστορεῖ περί τινος σκώπτοντος τινὰ τόπον καὶ λέγοντος "ἔνθα καὶ οἱ νεκροὶ περιπατῶσι," δηλαδὴ διὰ τὸ νοσῶδες.

346. εἰ δ' ἄμμε παραφθαίη] Ἤγουν εἰ καὶ παραφθαίη ποδεσιν, ἤτοι προδράμῃ, ἀεὶ πρὸς νῆας ἀπὸ στρατοῦ συνελαύνηται, μήπως πρὸς τὸ ἄστυ ὁρμήσας ἀλύξῃ.

Ib. παραφθαίησι] Παρατρέχει, πλαγιάζει.

Ib. ἐπαΐσσων] Ἡ ἐπὶ πολλάκις τὸ ἀκριβὲς σημαίνει, ὡς τὸ "ἐπόψομαι ὀφθαλμοῖσι·" δηλοῖ δὲ καὶ ἐπίτασιν ὡς νῦν.

347. προτιειλεῖν] Ἤγουν εἶλει καὶ στρέφε πρὸς νῆας ἔγχει ἐπαΐσσων· ἐνταῦθα δὲ τυχὸν μὲν κολακεύει ὁ Ὀδυσσεὺς τὸν Διομήδην ὡς αὐτὸν ποδωκέστερον, τυχὸν δὲ οὐδὲ θαρρεῖ πάνυ οὐδ' ἐνταῦθα τὸν ὠκὺν δρόμον, ὃ καὶ ἐν Ὀδυσσείᾳ ποιεῖ ἀεθλεύων.

350. κλινθήτην] Ἵνα λάθωσι τὸν Δόλωνα συναναμεμιγμένοι τοῖς νεκροῖς.

351. ἀλλ' ὅτε δή ῥ' ἀπέσαν] Οὐ τοὺς διώκοντας μόνον ἀλλὰ καὶ τὸν διωκόμενον.

Ib. Ἰστέον ὅτι ὁ πρὸς ἡμιόνους μὲν εἰκασμὸς ἐστὶ πρὸς Δόλωνα, ὁ δὲ πρὸς βόας τῶν διωκόντων Ἑλληνικῶν ἡρώων, εὐγενέστερος ὢν πάντως οὕτως ἐκείνου. Τοὺς ἡμιόνους προφερεστέρους εἶναι τῶν βοῶν, γεωργικωτέρους λέγει ὁ ποιητής· φασὶ γὰρ οἱ ἔμπειροι, ὡς ἐν μὲν τῇ πρώτῃ τῆς γῆς ἐργασίᾳ βοῶν δεῖ τελειοτέρων ὄντων καὶ γενναιοτέρων, ὡς ἂν βαθεῖα γένοιτο ἡ τομὴ, ἐν δὲ τῇ νειῷ ἤδη προεσχισμένῃ, ἡμιόνων ὡς ὀξυτέρων.

Ib. νειὸς δέ ἐστιν ἡ ἠροτριασμένη γῆ.

357. δουρηνεκὲς] Ἢ ὅσον δόρατος βολὴ, ἢ ὅσον δόρυ φέρεται· διὸ καὶ ὁ Διομήδης λέγει "ἢ μένε ἢ δουρὶ κιχήσομαι," ἢ ὡς τρώσας, ἢ ὡς οὐτάσας ἐγγὺς κρατῶν τὸ δόρυ.

360. καρχαρόδοντες] Ἢ ὀξεῖς τοὺς ὀδόντας ἔχοντας ἢ κεχαραγμένους.

Ib. εἰδότε θήρης] Ἐπιστήμονες θήρας· εἴρηται δὲ οὕτως ἐπὶ ἀλόγων, κατὰ λόγον γλυκύτητος.

361. κεμάδ'] Κεμάς ἐστὶ κατὰ γλῶσσαν τὸ τῆς ἐλάφου γέννημα, ἴσως ἀπὸ τοῦ μηκᾶσθαι, ἤγουν κλαυθμόν τινα ἐπαφιέναι τὸν ἔλαφον διωκόμενον, καὶ κατάληπτον ἤδη γινόμενον, οἱονεὶ μηκὰς, κατὰ μετάθεσιν καὶ συστολὴν κεμάς· μηκάω, μηκῶ, μηκήσω, μεμήκηκα, ὁ μέσος μέμηκα, κυρίως ἐπὶ αἰγός.

364. διώκετον] Οὐκ ἔχει δυϊκῆς σημασίας φωνὴν ἀλλ' αναθεώρησιν ἔχει πληθυντικήν· τὸ γὰρ διώκετον ἀντὶ τοῦ ἐδίωκον κεῖται· ὁμοίως τῷ τετεύχατον ἀντὶ τοῦ ἔτευχον, καὶ τῷ φυλάσσετον ἀντὶ τοῦ ἐφύλασσον.

368. φθαίη] Τὸ φθαίη ἐνταῦθα μετὰ ἀπαρεμφάτου. Ἰστέον ὅτι τὸ "ἐπευξάμενος βαλέειν" ἐναλλαγὴν ἔχει μερῶν λόγου· ἔστι γὰρ τὸ ὀρθὸν τοιοῦτον, μή τις φθαίη βαλὼν ἐπεύξασθαι ἤγουν καυχήσασθαι, ἢ μήτις φθάσας ἐπεύξηται βαλεῖν· ἢ μή τις φθαίη ἐπεύξασθαι βαλών.

Ib. φθαίη ἐπευξάμενος] Τὸ ῥῆμα ἀντὶ μετοχῆς, ἡ δὲ μετοχὴ ἀντὶ ῥήματος.

369. δουρὶ δ' ἐπαΐσσων] Μαρτυρήσας τῷ Δόλωνι ποδώκειαν

οὐκ ἔλαττον τούτου ποδώκην δείκνυσι τὸν Διομήδην, ἀλλ' ἰσοφαρίζοντα λέγει,

ἀλλ' ὅτε δή ῥ' ἀπέσαν δουρηνεκὲς ἢ καὶ ἔλασσον.

καὶ ἐνταῦθα "ἠὲ μένε ἠὲ δουρὶ κιχήσομαι·" τοῦ ἐξ ἀρχῆς μένοντος διαστήματος, δηλονότι τοῦ ἀναμέσον αὐτῶν τε καὶ αὐτοῦ· Ὀδυσσεὺς δὲ λείπεται ὡς δοκεῖ· εἰ γὰρ καὶ λέγει "τώδ' ἀσθμαί- "νοντε κιχήτην," περί τε Ὀδυσσέως καὶ Διομήδους ἐν ταυτῷ· ἀλλ' οὖν τῇ μικρᾷ ῥοπῇ τοῦ καιροῦ, ὅτε ἔσυρε τὸ βέλος ὁ Διομήδης, ἐβοηθήθη τῇ πορείᾳ ὁ Ὀδυσσεύς.

371. ἀλύξειν] Ἀλεύω, ἀλεύσω, ἐκβολῇ τοῦ ε θεματοποιεῖται ἀλύσω, ἀλύξω.

373. ὑπὲρ ὦμον] Ἀεὶ ὁ ποιητὴς τὴν ὑπὲρ μετὰ αἰτιατικῆς συντάσσει.

374. Τὸ "ἐν γαίῃ ἐπάγη" πάνυ θαυμαστῶς πέπλασται· εἰ γὰρ ἔπεσε περὶ γῆν τὸ δόρυ, ἔλαθεν ἂν τὸν δειλὸν, καὶ οὐκ ἂν ὑποδεδιὼς ἐστάθη· παγὲν δὲ εἰς γῆν κατά τι φυτὸν ἢ σκόλοπα, ἐθεάθη, καὶ ἔστησε τὸν ταχὺν φεύγειν θρασύδειλον.

375. βαμβαίνων] Τρέμων· ὁ τρόπος ὀνοματοποιΐα.

Ib. Τὸ "βαμβαίνειν," ὅ ἐστι συγκρούειν τοὺς ὀδόντας, ἀπὸ τοῦ κατὰ στόμα ψόφου κατὰ τοὺς παλαιοὺς ἐσχημάτισται, καὶ ἔστι φασὶ δυσερμήνευτον, συμβαίνειν δὲ τοῖς ῥιγοῦσιν· ἐν δὲ ῥητορικῷ τινὶ λεξικῷ βαμβαλίζειν τὸ τρέμειν ὑπὸ ψύχους, βαμβαίνειν δὲ κατὰ βῆμα πορεύεσθαι.

376. χλωρὸς ὑπαὶ δείους] Ἡ Ὁμηρικὴ μοῦσα ὁρᾷ καὶ τὴν εἰκὸς ἐκ τοῦδε χλωρότητα· οἱ δὲ ἥρωες οὐχ ὁρῶσι διὰ τὴν νύκτα. Ὅρα πῶς ἡ πολλὴ δειλία τὸν Δόλωνα τοῦ φρονεῖν ἐξέκρουσεν· ὁ γὰρ εἰς οὐδὲν δέον ἀπαιτήσας ὀμόσαι τὸν Ἕκτορα, εὐκόλως ἐνταῦθα καὶ δίχα ὅρκου πείθεται τῷ ἐχθρῷ.

Ib. χλωρὸς] Πρὸς τὸ ἔστη καὶ ἐτάρβησε.

Ib. ἀσθμαίνοντε] Τὸ τάχος τοῦ Δόλωνος δηλοῖ, πνευστιῶντες.

383. θάρσει] Ὅρα τὴν τοῦ λόγου δεξιότητα μέσως εἰρημένου, οὐ γὰρ ὤμοσεν ἢ ἀπεφήνατο, ἀλλὰ προστακτικῶς εἶπε "θάρσει·" ἁπλῶς μέντοι οὐκ ἀναιρεῖ, ἴσως διὰ τὴν ἁπλῶς ἐν ψιλῷ λόγῳ συνθήκην· τάχα δὲ καὶ διότι λόγου ὅλως τῷ Δόλωνι ἐκοινώνησε·

καὶ ὅτι τὰ μὲν εἰς χεῖρα τῷ Διομήδει ἀνατιθῇ, τὰ δὲ ἐς λόγους ἑαυτῷ.

384. κατάλεξον] Ἀντὶ τοῦ ἀρχῆς ἀπ' ἄκρης τὰ πάντα εἶπε διεξόδευσον· τοῦτο γάρ ἐστι τὸ "κατάλεξον."

386. βροτοὶ ἄλλοι] Πρὸς ἀντιδιαστολὴν τὸ "ἄλλοι" εἴρηται, ἢ τῶν νῦν ἐγρηγορότων τριῶν ἀνδρῶν ἢ τῶν φυλασσόντων.

387. ἤ τινα συλήσων] Τὸ σκυλεύω ἀπὸ τοῦ συλῶ γίνεται· νῦν δὲ τὸ συλῶ τὸ ἀποσπῶ τι.

388. ἤ σ' Ἕκτωρ] Οὐ τοσοῦτον ἦν θανάτου αἴτιος ἀφ' ἑαυτοῦ ἐλθὼν πρὸς τὸ συλῆσαί τι, ὅσον ὑφ' Ἕκτορος κατάσκοπος πεμφθείς, πρὸς τὰ τῶν Ἑλλήνων μαθεῖν.

389. ἤ σ' αὐτὸν θυμὸς] Ἤτοι σὺ αὐτὸς ἀφ' ἑαυτοῦ ἐμιμήθης.

391. παρ' ἐκ νόον ἤγαγε] Παρηπάτησε τὸν νοῦν, ἤγουν παρήγαγέ με τοῦ λογισμοῦ βλαπτικαῖς καὶ ἀπατητικαῖς ὑποσχέσεσι.

392. ὅς μοι Πηλείωνος] Ὅρα κἀνταῦθα εὐμεθόδως μνείαν συνήθως τοῦ Ἀχιλλέως ὁ ποιητὴς παρέρριψε, καὶ ταύτην σεμνὴν διὰ τὸ θεῖον γενεαλόγημα, λέγων "τὸν ἀθανάτη τέκε μήτηρ."

394. θοὴν] Θοὴν ὁ ποιητὴς νύκτα λέγει νῦν, ἢ τὴν τῶν ζώων καταθετικὴν εἰς ἀνάπαυλαν, ἀπὸ τοῦ θέω, θῶ, τὸ τίθημι, ἢ τὴν ταχεῖαν, ἀπὸ τοῦ θέω τὸ τρέχω· ἀνεπαίσθητον γὰρ τοῖς ὑπνοῦσιν ἀπερχομένη, δοκεῖ ταχυτέρα τῆς ἡμέρας εἶναι· ἢ μάλιστα φιλοσόφως τὴν κωνοειδῆ, καὶ εἰς θοὸν ὅπερ ἐστὶν εἰς ὀξὺ λήγουσαν· ἐπεὶ γάρ φασιν ὁ φωτίζων ἥλιος μείζων ἐστὶ τῆς φωτιζομένης γῆς, καθόλου γὰρ τὸ φωτίζον μεῖζον τοῦ φωτιζομένου ἐστί· κωνοειδὴς ἡ αὐτῆς σκιά, ἐὰν δὲ ὥσπερ[1] ἀνάπαλιν, καλαθοειδής· ἐὰν δὲ ἄμφω ἴσα, κυλινδροειδής· ἡ γὰρ νὺξ οὐκ ἔστιν ἄλλο ἢ σκιὰ τῆς γῆς· ὁ δέ γε Κράτης καὶ ἐν τῇ τοιαύτῃ φιλοσοφίᾳ τὸ θοὴ ἐπὶ ταχείας τίθησι, λέγων ὡς ἡ νὺξ σκιά τις οὖσα, ἰσοταχῶς κινεῖται τῷ ἡλίῳ διώκουσα οἷον καὶ διωκομένη.

Ib. θοὴν διὰ νύκτα] Κατὰ τρόπον μεταληπτικόν, θοὴ ἡ ταχεῖα, ταχεῖα ἡ ὀξεῖα, θοὴ ἡ ὀξεία.

[1] Sic.

401. ἐπεμαίνετο θυμὸς] Νῦν ἀντὶ τοῦ ἐφίετο κεῖται, καὶ γενικῇ συντάσσεται, οἱ δὲ μεθ' Ὅμηρον μετὰ αἰτιατικῆς συντάσσουσιν αὐτό.

402. οἱ δ' ἀλέγεινον] Ἀλγεῖν παρέξοντες, ἢ πρὸς τὸ κτήσασθαι ἀδύνατοι.

403. ἠδ' ὀχέεσθαι] Ἤγουν ἡνιοχηθῆναι, θράσος δὲ ἵππου καὶ ἀλκίμου ἔπαινος τὸ εἶναι ἀλγεινὸν ἀνδρὶ τῷ τυχόντι δαμασθῆναι καὶ ὀχέεσθαι, ὥσπερ καὶ ὁ Βουκέφαλος Ἀλέξανδρον μόνον ἤθελε φέρειν ἔποχον. Ὀχεῖται ὁ ἄνθρωπος τῷ ἵππῳ, ἤγουν φέρεται τῷ ἵππῳ, ἐξ οὗ καὶ ὄχημα τὸ ἐπιτιθέμενον τῷ ἵππῳ· ἐνταῦθα δὲ ἵπποι ὀχεῖσθαι χαλεποὶ ἀνθρώπῳ ἢ ἄλλῳ τινὶ ἢ τῷ Ἀχιλλεῖ· ἐξήλλακται ὡς εἶναι νοεῖν τοιοῦτον· ὀχεῖται ὁ ἵππος τῷ ἀνθρώπῳ, οἱονεὶ ὄχημα καὶ φορεῖον δι' οὗ ἐπιφέρεσθαι τὸν ἐπιβάτην.

406. κιὼν λίπες] Κίων κιὼν, ὡς ἔων ἐών· κατ' ἐκείνου γὰρ ἦν ὁ σκοπὸς ἐκείνοις ἐπιχειρεῖν.

407. Ποῦ δὲ οἱ ἔντεα] Ἐρωτᾷ περὶ τῶν ἐκείνω ὅπλων, μέγα ἡγούμενος εἰ καὶ τοιοῦτόν τι ἀνύσουσι καὶ ἐλθόντες ἀφέλωνται.

408. φυλακαί τε καὶ εὐναὶ] Ἐν τίνι τρόπῳ χρώμενοι φυλάττουσιν.

409. ἄσσά τε] Ἰστέον ὅτι οὐ πάνυ εὕρηται ὁ ποιητὴς χαίρων τῇ προφορᾷ τοῦ σ̄ κατὰ τοὺς ὕστερον Ἀττικοὺς, οἷον Ὁμήρου σήμερον λέγοντος, τήμερον λέγουσι, καὶ σύρβην τὴν κοινῶς λεγομένην τύρβην· φασὶ Περικλέα πρῶτον ἐκκλῖναι τὸν διὰ τοῦ σ̄ σχηματισμὸν τοῦ στόματος ὡς ἀπρεπῆ καὶ πλατὺν, γυμναζόμενον ἀεὶ πρὸς κάτοπτρον.

Ib. μητιόωσι] Ἀντὶ τοῦ τίνα βουλεύονται· διὸ καὶ ψιλοῦται τὸ ἄσσα κατὰ τοὺς παλαιοὺς, τὸ δὲ ἅσσα καὶ ἅτινα Ἀττικῶς διὰ δύο σ̄σ̄ δασύνεται, ἀπὸ τοῦ ᾱ ἐπιτατικοῦ ἄρθρου καὶ τοῦ σ̄α, ὃ δηλοῖ τινὰ γλώσσῃ Μεγαρέων, καθά φασιν οἱ παλαιοί.

418. ὅσσαι γὰρ Τρώων πυρὸς ἐσχάραι] Ἀντὶ τοῦ ὅσοι οἰκήτορες Τροίας· ἑστία γὰρ καὶ ἱστία καὶ ἐσχάρα ταυτά εἰσιν ὥστε τὸ ἔχειν ἐσχάρας ταυτόν ἐστι τῷ ἔχειν οἰκίας· δύναται καὶ ἄλλως νοηθῆναι, ἵνα λέγῃ ὁ Δόλων, ὅσα μὲν πυρὰ Τρωϊκὰ νύκτωρ ἐφαίνοντο τοῖς Ἀχαιοῖς, ἐκεῖνα καὶ φυλακὰς ἔχουσι, τὰ δὲ τῶν ἐπικούρων ἀφύλακτα εἰσίν.

419. οἵ τ' ἐγρηγόρθασι] Εἰ γὰρ ὁμοῦ πάντες οἱ ἐπίκουροι φυλάσσουσι, δυοῖν ἔσται τὸ ἕτερον· ἢ γὰρ τυχὸν ἀπορραθυμήσουσι κοπιάσαντες, ἔσται τίς οὕτως αὐτοῖς ἐκ τῶν πολεμίων ἐπιβουλή· ἢ διαμείναντες ἄϋπνοι, ἕωθεν ἔσονται ἀσθενεῖς· ἐχρῆν οὖν κεκριμένην ἑαυτοῖς ὑποστῆσαι φύλακα στρατιάν· οἱ δὲ παλαιοὶ φασὶν ὅτι συμπαθεῖς οἱ Τρῶες, καὶ ἐκ τῶν οἴκου τὴν συμπάθειαν ἔχοντες, ὑπερπονοῦσι καὶ τῶν ἀλλοτρίων. ἐντεῦθεν καὶ οἱ νομοθέται γυναικονόμους ἐν ταῖς πόλεσι κατέστησαν, οὐ τοὺς ἀγάμους ἀλλ' ἤδη γάμου πεπειραμένους, καὶ παιδονόμους.

COD. REG. 2556.

Hic Codex form. in 4°. Chart. Sæc. xiv. continet primo quædam de genere Homeri, et Allegoriarum explicationes Homericarum, tum Scholia quæ magnam affinitatem cum iis quæ Didymo vulgo adscribuntur, et quibus titulus est Ἱστορίαι καὶ ἀπορίαι τῆς Ἰλίαδος. Horum autem Scholiorum multi Codices insunt in Variis Bibliothecis, sed in omnibus quos vidi insignis est varietas, ita ut vix forsan duo sint qui omnino consentiant. Omnium ejus familiæ quos inspexi copiosissimus est Paris. Cod. et dignus mihi visus est quem fere integrum, in iis quæ aut solus habet aut varietates exhibet, producerem. In nonnullis cum Parisiensi congruit Harleianus Mus. Brit. 5727. sed non æque copiosus est quamvis integrior, nam Liber Parisiensis non ultra Rhapsodiam N procedit. Omnes hi libri ad emendanda Didymi quæ vocantur Scholia utiles esse videntur.

ὍΜΗΡΟΣ ὁ ποιητὴς υἱὸς ἦν κατὰ μέν τινας Μάρωνος[a] καὶ Ὀρνηθοῦς[b], κατὰ δὲ ἐνίους Μέλητος τοῦ ποταμοῦ καὶ Κριθηΐδος νύμφης· ἄλλοι δὲ αὐτοῦ τὸ γένος εἰς Καλλιόπην τὴν Μοῦσαν ἀναφέρουσι. φασὶ δὲ αὐτὸν Μελισσογενῆ ἢ καὶ Μελισσίνα[c] κατακεκλῆσθαι· τυφλωθέντα δὲ αὐτὸν, ὕστερον Ὅμηρον κληθῆναι. οἱ γὰρ Αἰολεῖς τοὺς τυφλοὺς ὁμήρους καλοῦσι. πατρίδα δὲ αὐτοῦ οἱ μὲν Σμύρναν, οἱ δὲ Χῖον, οἱ δὲ Κολοφῶνα, οἱ δὲ Ἀθήνας λέγουσι. περιϊὼν δὲ τὰς πόλεις ᾖδε τὰ ποιήματα, ὕστερον δὲ Πεισίστρατος αὐτὰ συνήγαγεν, ὡς τὸ ἐπίγραμμα τοῦτο δηλοῖ,

τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξε
δῆμος Ἐρεχθειδῶν, καὶ τρὶς ἐπεσπάσατο,
τὸν μέγαν ἐν βουλαῖς Πεισίστρατον, ὃς τὸν Ὅμηρον
α
ἤθροισε, σποράδην τὸ πρὶν ἀειδόμενον·

[a] In mar. γρ. μαίονος. [b] In mar. γρ. μυρνήθους. [c] γρ. ἢ μελισσιανα.

ἡμέτερος γὰρ ἐκεῖνος ὁ χρύσεος ἦν πολιήτης,
εἴπερ Ἀθηναῖοι Σμύρναν ἐπῳκήσαμεν.

φασὶ δὲ αὐτὸν ἐν Ἴῳ τῇ νήσῳ, διὰ λύπην ἀποκαρτερήσαντα τελευτῆσαι, διὰ τὸ μὴ λῦσαι τὸ ζήτημα τὸ ὑπὸ τῶν ἁλιέων αὐτῷ προτεθέν· ὁ μὲν γὰρ ἐπιστὰς ἤρετο,

ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες ἦρ' ἔχομέν τι;

οἱ δὲ ἀπεκρίναντο,

ὅσσ' ἕλομεν λιπόμεσθα, ὅσσα δ' οὐχ ἕλομεν φερόμεσθα.

ἐπιγέγραπται δὲ ἐν τῷ μνήματι αὐτοῦ·

ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Ἄλλως. Ὅμηρος ὁ ποιητὴς πατρὸς μὲν ἦν Μέλητος, μητρὸς δὲ Κριθηΐδος, τὸ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην Χῖος, κατὰ δὲ Ἀντίμαχον καὶ Νίκανδρον Κολοφώνιος, κατὰ δὲ Βακχυλίδην καὶ Ἀριστοτέλη τὸν φιλόσοφον Ἰήτης, κατὰ δὲ Ἔφορον καὶ τοὺς ἱστορικοὺς Κυμαῖος, κατὰ δὲ Ἀρίσταρχον καὶ Διονύσιον τὸν Θρᾴκα Ἀθηναῖος· τινὲς δὲ Σαλαμίνιον αὐτὸν εἶναι φασὶν, ἄλλοι δὲ Ἀργεῖον, ἄλλοι δὲ Αἰγύπτιον ἀπὸ Θηβῶν. τοῖς δὲ χρόνοις κατὰ μέν τινας πρὸ τῆς τῶν Ἡρακλειδῶν ἐγένετο καθόδου, ὥστε ἕνεκεν τούτου γινώσκεσθαι ὑπ' αὐτοῦ τοὺς ἐπὶ Ἴλιον στρατεύσαντας· τὰ γὰρ ἀπὸ τῶν Τρωϊκῶν ἐπὶ τὴν κάθοδον τῶν Ἡρακλειδῶν ὀγδοήκοντα ἔτη. τοῦτο δὲ ἀπίθανον ὑπάρχει· καὶ γὰρ αὐτὸς ὁ Ὅμηρος ὑστεροῦντα πολλοῖς χρόνοις ἑαυτὸν ἀποδείκνυσι λέγων,

Ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν, οὐδέ τι ἴδμεν.

τινὲς δὲ λέγουσιν αὐτὸν τῆς Ἰωνικῆς ἀποικίας ἀπολείπεσθαι ἔτεσιν ἑκατὸν πεντήκοντα. οὐδὲν δὲ αὐτοῦ θετέον ἔξω τῆς Ἰλιάδος καὶ τῆς Ὀδυσσείας, ἀλλὰ καὶ τοὺς Ὕμνους καὶ τὰ λοιπὰ τῶν εἰς αὐτὸν φερομένων ποιημάτων ἡγητέον ἀλλότρια, καὶ τῆς φύσεως καὶ τῆς δυνάμεως ἕνεκα. τινὲς δὲ αὐτοῦ φασιν εἶναι καὶ τὰ φερόμενα δύο γράμματα, τήν τε Βατραχομυομαχίαν καὶ τὸν Μαργήτην. τὰ δὲ ποιήματα αὐτοῦ τὰ ἀληθῆ, σποράδην πρότερον ᾀδόμενα, Πεισίστρατος Ἀθηναῖος συνέταξεν, ὡς δηλοῖ τὸ φερόμενον ἐπίγραμμα Ἀθήνῃσιν ἐπιγεγραμμένον ἐν εἰκόνι αὐτοῦ τοῦ Πεισιστράτου, ἔχει δὲ ὧδε,

τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεκύλισε
δῆμος Ἐρεχθῆος[d] καὶ τρὶς ἐπηγάγετο[e]
τὸν μέγαν ἐν βουλαῖς Πεισίστρατον, ὃς τὸν Ὅμηρον
ἤθροισε[α], σποράδην τὸ πρὶν ἀειδόμενον·
ἡμέτερος γὰρ ὁ χρύσεος ἐκεῖνος ἦν πολιήτης,
εἴπερ Ἀθηναῖοι Σμύρναν ἐπῳκήσαμεν.

πλανηθέντα δὲ τὸν Ὅμηρον ἐν Ἰθάκῃ πολὺν φασὶ διατρίψαι χρόνον, καὶ πολλὰς χώρας ἀμείψαντα, ὕστερον ἐν Ἴῳ τῇ νήσῳ τελευτῆσαι, ἐκ τοιᾶσδε αἰτίας· καθημένου γάρ ποτε τοῦ Ὁμήρου ἐν αἰγιαλῷ τυφλοῦ αὐτοῦ ὄντος, αἰσθᾶναι φασὶν ἁλιεῖς παρερχομένους, πρὸς οὓς εἶπεν,

ἄνδρες ἐπ' Ἀρκαδίης ἁλιήτορες ἦρ' ἔχομέν τι;

τοὺς δὲ ἀποκριθέντας εἰπεῖν,

ὅσσ' ἕλομεν λιπόμεσθα, ὅσσα δ' οὐχ ἕλομεν φερόμεσθα.

τὸ δὲ λεγόμενον ἐστὶ τοιοῦτον. ἐπειδὴ γὰρ οὐδὲν ἦσαν ἔχοντες τότε ἐξ ἁλείας, ἐφθειρίζοντο, καὶ οὓς μὲν ἔλαβον ἐκ τῶν φθειρῶν φονεῦσαι καὶ μὴ ἔχειν, οὓς δ' οὐκ ἔλαβον ἐν τῇ ἐσθῆτι περιφέρειν. οὐ νοήσας δὲ τὸ λεγόμενον, ὑπὸ θλίψεως ἐτελεύτησεν ἐν Ἴῳ τῇ νήσῳ· ἔθαψαν δὲ αὐτὸν μεγαλοπρεπῶς οἱ Ἰῆται, χαράξαντες ἐπὶ τῷ τάφῳ τὸ ἐπίγραμμά τοῦτο παρ' αὐτοῦ ζῶντος ἐπιγεγραμμένον εἰς αὐτόν·

ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Ὑπόθεσις τῆς ὅλης Ἰλιάδος.

Ἑκάβη ἐγκυμονοῦσα τὸν Ἀλέξανδρον, εἶδε κατ' ὄναρ τεκεῖν δαλλὸν ἁπτόμενον, ὃς κατέκαυσε πᾶσαν τὴν Τροίαν. τοῦτο γοῦν οἱ μάντεις ἀκούσαντες, ἔκρινον τὸ τεχθὲν παιδίον θανατωθῆναι. τεχθέντα δὲ τὸν Ἀλέξανδρον, ὁ πατὴρ Πρίαμος Πάριν ἐκάλεσε, κἂν ὕστερον ἐν τοῖς ἀγροῖς ὢν, διὰ τὴν ἀλέξησιν ἀνδράσι τισὶν ὑπὸ λῃστῶν βιαζομένοις ἐκλήθη Ἀλέξανδρος. ὁ γοῦν Πρίαμος ἀπελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος μαντεῖον παρὰ τοῦ ἐκεῖσε ὄντος τῷ τότε μάντεως Ἀπόλλωνος τὴν κλῆσιν, ὅτι ἐὰν ὁ παῖς διέλθῃ

[d] In marg. ἐρεχθειδῶν. [e] ἐπήγαγε Cod.

τοὺς λ̄ χρόνους, μέλλει δι' αὐτὸν συγκροτηθῆναι πόλεμος, ὃς κατεδαφίσει τὴν Τροίαν.

Τοῦτο μαθὼν ὁ πατὴρ Πρίαμος, ἔστειλεν αὐτὸν ἐν τοῖς ἐκείνου ἀγροῖς· κακεῖσε ὁ Ἀλέξανδρος παιδευόμενος, ἐμάνθανε πάντα τὰ ἀνήκοντα τοῖς τῶν βασιλέων παισί· ῥήτωρ δὲ γενόμενος ἔγραψε μὲν συγγράμματα πολλὰ, ἔγραψε δὲ καὶ περὶ τῆς τοῦ κόσμου γενέσεως, ὅπως τε πρώην τὰ στοιχεῖα ἦσαν συνημμένα· καὶ ὅπως τῇ κοσμοποιΐᾳ ἀλλήλων διεχωρίσθησαν, καὶ ἔστη τὸ καθὲν τούτων εἰς τὸν ἴδιον τόπον. ἔκρινε δὲ κρατοῦσαν τὴν φιλίαν, διὸ καὶ ἐμυθεύσαντο γάμον Πηλέως καὶ Θέτιδος ἐν Πηλείῳ τῆς Θεσσαλίας ὄρει· ἡ δὲ Ἔρις ἄκλητος κατελείφθη, ὡς μὴ ταράττῃ τούτους παροῦσα. μηχανᾶται οὖν τοιοῦτόν τι· λαβοῦσα χρυσοῦν μῆλον, ἐπιγράφει αὐτῷ "τῇ καλῇ τὸ μῆλον," καὶ κομίσασα εἰς μέσον ῥίπτει τὸ συμπόσιον· φιλονεικοῦσι δὲ ὑπὲρ αὐτοῦ ἥτε Ἥρα, ἡ Ἀθηνᾶ, καὶ ἡ Ἀφροδίτη, καὶ δέονται τοῦ Διὸς κρῖναι αὐτάς· ὁ δὲ ἀρνησάμενος, Ἑρμῇ προστάττει πρὸς Ἀλέξανδρον τὸν καὶ Πάριν αὐτὰς ἀγαγεῖν, Πριάμου δὲ παῖδα τῶν Τρώων βασιλέως ἐπὶ τῆς Ἴδης βουκολοῦντα, ἔνθα ἑκάστη δῶρον τῷ νεανίσκῳ προέτεινεν, Ἥρα μὲν βασιλείαν τὴν μεγίστην, Ἀθηνᾶ δὲ τὸ ἐν πολέμοις κράτος, Ἀφροδίτη δὲ τὴν καλλίστην γυναῖκα Ἑλένην, ᾗ καὶ συνθέμενος τὸ καλλιστεῖον νέμει. ὡς γοῦν τρεφόμενος ὁ Ἀλέξανδρος ἐν τοῖς ἀγροῖς διεβίβασε τοὺς τριάκοντα χρόνους, ἔδοξε δὲ τῷ Πριάμῳ εἰσαγαγεῖν αὐτὸν εἰς τὴν πόλιν. ἐν δὲ τῇ δεκάτῃ τοῦ Ἰουνίου μηνὸς, ἔστειλεν αὐτὸν ὁ πατὴρ Πρίαμος εἰς Ἑλλάδα, ἵνα θύσῃ τῷ Ἀπόλλωνι χαριστήρια, καὶ δοὺς αὐτῷ ἑκατὸν στρατιώτας, δῶρά τε καὶ γράμματα πρὸς τοὺς βασιλεύοντας τῆς Ἑλλάδος, φοβούμενος μήπως καὶ αὐτὸς ὡς κατάσκοπος κρατηθεὶς, ὅμοιος τῷ Γαννυμήδει καὶ τὰ ἐκείνου ὅμοια πάθῃ.

Ἀπελθὼν οὖν Ἀλέξανδρος εἰς Σπάρτην ξενίζεται παρὰ Μενελάῳ· ὁ γοῦν Μενέλαος τῷ τότε μέλλων ἀποπλεῦσαι πρὸς Κρήτην ὅπως θύσῃ τῷ αὐτοῦ προπάππῳ Ἀστερίῳ τῷ βασιλεῖ Κρητῶν, κατέλειψε τὸν Ἀλέξανδρον ἐν Σπάρτῃ. ὃς ἰδὼν τὴν Ἑλένην κατερχομένην ἐπὶ τὸν κῆπον ἐπὶ δείλης ἠράσθη αὐτῆς, ἐρασθείσης καὶ ἐκείνης αὐτοῦ· καὶ ἁρπάξας αὐτὴν διὰ Σιδῶνος καὶ Τύρου φυγὼν, ἐν ὅλῳ χρόνῳ ἀπῆλθε πρὸς τὴν Τροίαν. μαθόντες γοῦν τοῦτο πάν-

τες οἱ Ἕλληνες ἔστειλαν πρὸς Τροίαν πρέσβεις, τόν τε Μενέλαον καὶ Ὀδυσσέα καὶ τὸν Θησέως Ἀκάμαντα, οὓς καὶ παρὰ μικρὸν ἀνεῖλον οἱ Τρῶες συμ[e]

ἀπὸ τοῦ Ἀλεξάνδρου χρόνου συνεβουλεύσαντο τοῖς Τρωσὶ τοὺς πρέσβεις ἀνελεῖν, εἰ μὴ ὁ Ἀντήνωρ τοῦ Πριάμου ὁ ἀδελφὸς ξενίσας αὐτοὺς τῆς Τροίας ἀπέπεμψεν. ὡς δ' ὑποστρέψαντες οἱ πρέσβεις ἀνήγγειλαν ἅπερ ἔμελλον παρὰ τῶν Τρώων παθεῖν, συναγαγὼν ὁ Ἀγαμέμνων ἅπαν τὸ τῶν Ἑλλήνων γένος, ἐπεστράτευσε τῇ Τροίᾳ· καὶ τὰ μὲν ἐννέα ἔτη ἐπολιόρκουν τὰ τῆς Ἰλίου περίχωρα, τῷ δὲ δεκάτῳ συνέβη ἡ τοῦ Ἀχιλλέως ὀργή, καὶ οὕτως ἐξήρχοντο οἱ Τρῶες πρὸς τὸν πόλεμον.

Περὶ τῆς γεννήσεως τῶν Θεῶν Ἰωάννου Γραμματικοῦ τοῦ Τζέτζου.

Ἀπὸ τοῦ Ἡφαίστου κἀντεῦθεν ἀπογεννᾶσθαι τὴν Ἀθηνᾶν ἤτοι τὴν φρόνησιν, ἔνοπλος καὶ παλλόμενος καὶ παρθένος γεννᾶται, διά τε τὸ στεῤῥὸν καὶ μεταβατικὸν καὶ τὸ καθαρόν. Παλλὰς δὲ λέγεται ἐκ τοῦ τοὺς Παλλαντιαίους καὶ γιγαντώδεις λόγους καταβάλλειν, ἢ ἐκ τοῦ τὴν καρδίαν τοῦ Διονύσου τοῦ οἴνου ἀνενεγκεῖν τῷ Διΐ, ἤγουν εὑρεῖν θυσιάζεσθαι αὐτοῦ σπαραχθέντος ἀπὸ τῶν Τιτάνων, τὴν σταφυλὴν δηλονότι πατοῦντα, οὕτως ἡ Ἀθηνᾶ Παλλὰς λέγεται.

Περὶ τῆς Λητοῦς καὶ τοῦ ταύτης υἱοῦ.

Ἡ Λητὼ ἡ λήθησις ἥτινι οὐδὲ ὁ Ἑρμῆς ὁ προφορικὸς λόγος[f] μάχεται, ἥτις καὶπαράκοιτις τοῦ Διὸς λέγεται, παρέπεται γὰρ ἡ λήθησις τῷ νοΐ, ἐξ ὧν ὁ Ἀπόλλων ὁ ἔντεχνος λόγος γεννᾶται· ὁ γὰρ ληθαργῶν ἔπειτα γρηγορῶν ἀπογεννᾷ τὸν προφορικὸν λόγον· αὕτη μὲν ἡ ψυχικὴ τῶν Θεῶν ἀλληγορία, ὅθεν καὶ Ὄλυμπος ἡ κεφαλὴ λέγεται διὰ τὸ τοὺς θεοὺς περιέχειν οὗ[ως]τος, ἀλλὰ καὶ ἑπτὰ ἀρτηρίας κύκλωθεν ἔχει, κατὰ μίμησιν τῶν ἑπτὰ ζωνῶν.

Ἀρχὴ τῶν κατὰ μέρους ἀλληγοριῶν τοῦ Α̅ τῆς Ἰλιάδος.

Λητοῦς καὶ Διὸς υἱὸς Νυκτὸς καὶ Οὐρανοῦ ὁ ἥλιος οὗτος τὰ ἐν τῷ στρατῷ συμπτώματα ἀνιμώμενος καὶ τὸν ἀέρα μολύνων, δι' αὐτὸν δὲ θερμότερα προσβάλλων τῷ στρατῷ, λοιμὸν αὐτῷ ἐνε-

[e] Spatium vacuum. [f] λέ[γ] Cod.

ποίησεν· ὁ δὲ Χρύσης ἱερεὺς ἑκηβόλου Ἀπόλλωνος, τοῦ ἡλίου δηλονότι τοῦ μακρόθεν βάλλοντος, μάγος τίς ἦν, ὅστις λαβὼν τὸ χρύσεον σκῆπτρον, ξυλίνην ῥάβδον κυρτὴν μαγικὴν, χρυσέαν δὲ διὰ τὰς δι' ἑαυτῆς ἐνεργουμένας δυνάμεις, καὶ τὸ στέμμα τοῦ Ἀπόλλωνος, δάφνινον δὲ ἐστὶ τοῦτο· ἡ δὲ δάφνη λέγεται εἶναι τοῦ Ἀπόλλωνος στέμμα, ἀειθαλὴς καὶ αὐτὴ ὁρωμένη ἀεὶ περιερχομένῳ τὸν ζωδιακὸν κύκλον, ἦλθε λυτρωσόμενος τὴν Χρυσηΐδα. ἐπεὶ οὖν ἀπεπέμφθη παρὰ τοῦ Ἀγαμέμνονος, ὠργίσθη κατὰ τῶν Ἑλλήνων· ἰδὼν δὲ τὸν ἥλιον θερμότερον προσβάλλοντα ταῖς ἀκτῖσι, καὶ πρὸς τὸ ἐμποιῆσαι λοιμὸν ἐπιτήδειον, ἤρξατο ἐπιπλέον τὸ τοιοῦτον κατάστημα· ἀλλὰ ταῖς παρ' ἑαυτῷ τέχναις χρησάμενος, ἰσχυρότερον τὸν λοιμὸν ἐνεποίησε τῷ στρατῷ· μιάνας δὲ φαρμάκῳ τοὺς παραρρέοντας ποταμοὺς, καὶ ἄλλα τινὰ γοητευσάμενος· καὶ τοῦτο ἐστὶ τὸ εὔξασθαι μὲν τὸν Χρύσην.

Περὶ τῆς στοιχειακῆς τῶν θεῶν ἀλληγορίας.

Στοιχειακῶς δὲ ἀλληγοροῦνται οἱ θεοὶ οὕτω· Κρόνος τὸ ἀρχέγονον σκότος, Ῥέα ἡ ἀκόσμητος γῆ, ἡ πρώην ἡ οἱονοῦν ὕλη, ἡ δὲ νῦν κεκοσμημένη γῆ.

Περὶ τῶν σημείων τῆς γῆς.

Δήμητρα, Θέμις, Πανδώρα, Ἶσις, Τροφὸς, Τηθὶς, Χθὼν, Ἑστία, Ἥρα, ὁ αἰθὴρ ὁ ἐκ τοῦ οὐρανοῦ μέχρι τῆς σελήνης, Ἀθηνᾶ ἀπὸ τῆς σελήνης ὑγροδέστερος καὶ σκοτεινότερος ὁ ἀήρ.

Περὶ τῆς ἀλληγορουμένης κρίσεως τοῦ Ἀλεξάνδρου τῶν τριῶν θεῶν, καὶ τῆς ὑποκρίσεως τῆς Ἀφροδίτης.

Ἀφροδίτη ἡ εὐκρασία καὶ τάξις ἡ τῶν στοιχείων, ἥτινι καὶ ὁ Ἀλέξανδρος τὸ χρυσοῦν μῆλον τὸν σφαιροειδῆ καὶ χρυσοῦν κόσμον ἆθλον τοῦ κάλλους ἐβράβευσεν, οὐ τοσοῦτον δοὺς τῇ Ἥρᾳ ἤγουν τῷ πυροδεστέρῳ αἰθέρι, ἐπεὶ κατεφλέχθη ἄν· ἀλλ' οὐδὲ τῇ Ἀθηνᾷ τῷ κατωτέρῳ καὶ σκοτεινοτέρῳ ἀέρι, ἵνα μὴ τὸ πᾶν σκοτισθείη· Ἑρμῆς, Ἄρης τὰ διατάττοντα σελήνην, οἷον κοσμῆται καὶ πυρώδεις οὐσίαι· Ἥφαιστος τὸ καθαρτικὸν πῦρ τῶν νεφῶν, τὸ ἐν τῷ ἀέρι φαινόμενον, ὅπερ πρὸ τοῦ ὄμβρου δηλωτικόν ἐστιν ὄμβρου, μετὰ δὲ ὄμβρον φαινόμενον, σημαντικὸν εὐδίας, ὃ καὶ δέπας ἀμφικύπελλον λέγεται, διὰ τὸ τῶν ἀμφοτέρων σημαντικόν· καὶ οἰνοχοΐα δὲ Ἡφαίστου ἡ τῶν νεφῶν κάθαρσις καὶ πρὸς τὸ χαριέστε-

ρου μεταμοιβή· υἱὸς δὲ λέγεται Ἥρας διὰ τὸ ἐκ τοῦ αἰθέρος διὰ τῆς πυραυγοῦς οὐσίας γεννηθῆναι.

ΠΕΡῚ ΤΩ͂Ν ΣΗΜΕΊΩΝ ἩΛΊΟΥ ΚΑῚ ΘΑΛΆΣΣΗΣ.

Ἀπόλλων ὁ ἥλιος αὐτὸς καὶ Ζεὺς, Τιτὰν, Ἡρακλῆς καὶ Αἰγαίων, ὁ καὶ ἑκατόγχειρ. [Περὶ Λητοῦς καὶ ταῦ τόμου στοιχειακῶς.] Ποσειδῶν ἡ θαλασσῶν οὐσία, ὁμοίως καὶ Φόρκυν καὶ Νηρεὺς, Ἀμφιτρίτη, Θέτις, καὶ Τρίτων, κατά τινας δὲ Τηθὺς, εἰ καὶ γῆν πάλιν λέγουσι κατὰ τὸ ἑρμηνεύειν τροφὴν ξηρὰν, Λητὼ ἢ τὸ ἀρχέγονον σκότος ἢ τῆς νυκτός.

ΠΕΡῚ ΤΗ͂Σ ΓΕΝΝΉΣΕΩΣ ΤΩ͂Ν ἈΛΛΗΓΟΡΟΥΜΈΝΩΝ ΘΕΩ͂Ν ΣΤΟΙΧΕΙΑΚΩ͂Σ.

Καὶ τῶν ἱστοριῶν τοῦ τεκνοτρώκτου Κρόνου καὶ τοῦ Διὸς ὑπὸ τῆς Ῥέας σώσεως· ἐν ἀρχῇ ἦν Ἔρεβος, ἐν δὲ τῷ Ἐρέβει ἐγένετο τίς διάκρισις Ῥέα. ἐκ γοῦν τοῦ Ἐρέβους καὶ τῆς διακρίσεως τοῦ Κρόνου τε καὶ τῆς Ῥέας ἀνεφύοντο τὰ τέκνα στοιχεῖα τινὰ, πῦρ, αἰθὴρ [ζεὺς], ὕδωρ [ποσειδῶν], ἀὴρ [ἥρα], μικρὸν δὲ ἀναφαινόμενα πάλιν κατεβιβρώσκοντο ὑπὸ τοῦ Ἐρέβους ὡς ἐπικρατεστέρου ὄντος, καὶ τοῦτο ἐστὶ τὸ τὸν Κρόνον παιδοβρωκτεῖν· ὕστερον δὲ ἡ διάκρισις τὸ εἰδοποιὸν πνεῦμα τὸν Δία ἐκφύσασα ἰσχυρότερον, εἴτε τὸν πυρώδη αἰθέρα, καὶ τοῖς Κούρησιν ἐπιδοῦσα τῇ αὐξήσει καὶ Κουρήσει καὶ εἰς Κρήτην ἐκπέμψασα εἰς εὐκρασίαν καὶ ἐπικράτειαν, αὐτὸν μὲν ἐξέωσε, τῷ δὲ Ἐρέβει τῷ Κρόνῳ δέδωκε λίθον καταπιεῖν τὴν γονήν· τοῦ γὰρ αἰθέρος ἐπικρατεστέρου γενομένου, καὶ πάντων δι᾽ αὐτοῦ εἰδοποιηθέντων τῶν στοιχείων, ὕδατος [ποσειδῶνος], ἀέρος [ἥρας], γῆς, διεσκεδάσθη τὸ ἔρεβος ὑπὸ τὴν γῆν, ἣν καὶ ὡς λίθον κατέπιεν.

ἌΛΛΩΣ. Ζεὺς, πνεῦμα τὸ εἰδοποιοῦν ἐν τῇ διακρίσει ἐκφυὲν, ὅπερ ἐποίησε μὲν ἀναφανῆναι, εἰρήσεται περὶ τούτου καὶ ἐφεξῆς.

ΠΕΡῚ ΤΩ͂Ν ΣΗΜΕΊΩΝ ΤΩ͂Ν ἌΛΛΩΝ ΘΕΩ͂Ν.

Ἄρτεμις ἡ σελήνη, ὅθεν καὶ Ἀπόλλων ὁ ἥλιος. καὶ ἡ Ἄρτεμις ἡ σελήνη ἐκ τῆς Λητοῦς τῆς νυκτὸς καὶ τοῦ Διὸς τοῦ οὐρανοῦ γεννᾶται. οὕτω πάντες οἱ θεοὶ ἑνικὰς σημασίας ἔχουσιν. ἀλλὰ καὶ τοῖς ἐν τοῖς οὐρανοῖς ἄστροις, ὡς Κρόνος ἐν τῷ οὐρανῷ τῆς πρώτης ζώνης ἄστρον, Ἀπόλλων ὁ ἥλιος, Ἄρης, Ἀφροδίτη, Ἑρμῆς, καὶ

Ἥρα, Ἄρτεμις σελήνη καὶ ἡ Ἀθηνᾶ, ἡ τῶν θεῶν κατὰ τοῦ Διὸς ἐπιβουλὴ, καὶ ἡ βοήθεια τῆς Θέτιδος, καὶ ἡ ἄνοδος τοῦ Αἰγαιῶνος. ὁ δὲ Ζεὺς σημασίας ἔχει ιγʹ· τὸ ἐν οὐρανῷ ἄστρον, τὸν οὐρανὸν, τὴν κίνησιν τοῦ οὐρανοῦ, ὁποίαν ψυχὴν κόσμου κινητοῦ σθένους τὸν αἰθέρα, τὸν ἀέρα, τὸν ἥλιον, τὰ νέφη, τὰς βροντὰς, τοὺς κεραυνοὺς, τοὺς ὄμβρους, τὴν ἐκ τῶν ἀστέρων εἱμαρμένην καὶ νοῦν, καὶ πρακτικῶς ἄνακτα.

Αἱ δὲ ἑπτὰ ζῶναι αἱ ἐν τῷ οὐρανῷ, ἤτοι τὰ ἑπτὰ ἄστρα τῶν θεῶν, διαιροῦνται εἰς τρία, εἰς βασιλεῖς, εἰς κακοποιοὺς, καὶ ἀγαθοποιούς. καὶ βασιλεῖς μὲν ὁ ἥλιος καὶ ἡ σελήνη, Ἀπόλλων καὶ Ἄρτεμις ἡ αὐτὴ καὶ Ἀθηνᾶ. κακοποιοὶ δὲ, Κρόνος καὶ Ἄρης, καὶ ἀγαθοποιοὶ Ζεὺς καὶ Ἀφροδίτη, ὁ δὲ Ἑρμῆς ὅστις λέγεται καὶ Ἥρα ἀμφότερα δεξιοῦνται, μεθ' ὧν καὶ τύχει κεῖσθαι τοιοῦτος καὶ γίνεται, εἰ μὲν μετὰ τῶν ἀγαθοποιῶν ἐπαύξει [e] πλέον τὸ ἀγαθὸν, εἰδὲ μετὰ τῶν κακοποιῶν ἐπαύξει [f] τὸ κακόν. ὁ γοῦν γεννηθεὶς ἐν μοίρᾳ τῶν ἀγαθοποιῶν ἀστέρων καλῶς κειμένων μετὰ τοῦ Ἑρμοῦ, ὡς ὡραῖος γίνεται καὶ ἐπέραστος, καὶ θεέναις ἤγουν βασιλείογες μίγνυται. πολλάκις καὶ ἐκ θανάτου πολεμικοῦ, οὐχὶ τοῦ φυσικοῦ ῥύεται, ὥσπερ ὁ Ἀλέξανδρος.

Ὁ δὲ γεννηθεὶς ἐν τῇ μοίρᾳ τῶν κακοποιῶν ἄστρων, κειμένου πρὸς αὐτοῖς καὶ τοῦ Ἑρμοῦ, δυσειδὴς καὶ ἀνέραστος. ὁμοίως καὶ ὁ πράττων τί τῶν ἀγαθῶν ἀστέρων εἰς τετραγωνισμὸν ἐλθόντων, οὐδοποσοῦν εὐοδοῦται, ἀλλὰ καὶ κινδυνεύει, ὥσπερ καὶ ὁ Πάνδαρος μετὰ τὴν μονομάχησιν Ἀλεξάνδρου καὶ Μενελάου, πρῶτος τοῦ πολέμου ἀρξάμενος, τῶν κακοποιῶν ἄστρων ἤδη τετραγωνίζειν ἀρχομένων, οὗτός τε ἐφονεύθη, καὶ ἡ Ἴλιος ἐπορθήθη.

Ἡνίκα δὲ μετὰ δεκαοκτὼ ἡμέρας ἐτετραγώνησαν, Ζεὺς πνεῦμα τὸ εἰδοποιὸν ἐν τῇ διακρίσει ἐκφυὲν, ὅπερ ἐποίησε μὲν ἀναφανῆναι τὸ ὕδωρ, τὸν Ποσειδῶνα, τὸν αἰθέρα τὸν πυρώδη τὴν Ἥραν τὸ σκότος ὃ διεσκέδασεν ἐπὶ γῆν. ἔπειτα αὐτὸ τὸ εἰδοποιὸν πνεῦμα καυθὲν ὑπὸ τοῦ Ἡφαίστου, ἤγουν προστριβὲν τῷ πυρὶ τῷ ἐκ τοῦ αἰθέρος φυέντι, ἀπεγέννησε τὸν ἀέρα κατωτέρω καὶ σκοτεινὸν, ἤγουν τὴν Ἀθηνᾶν. οὕτως οὖν διακρίσεως γενομένης, καὶ τῆς γῆς καὶ τῆς θαλάσσης ἐπιφανείσης, ὃ καὶ γάμους φησὶ Πηλέως καὶ

[e] ἐπ' αὔξει Cod. [f] ἐπ' αὔξει Cod.

Θέτιδος καὶ θεῶν παρουσίαν τὴν τότε τῶν στοιχείων ἐπιφάνειαν, οὐκέτι καὶ τὸ ἀτάραχον ἐν αὐτοῖς, ἀλλ' ἢ ὁ αἰθὴρ, ἡ Ἀθηνᾶ ὁ πρόσγειος καὶ σκοτεινὸς ἀὴρ, ὁ Ποσειδῶν τὸ ὕδωρ ἐστασίαζον καθ' ἑαυτὰ, καὶ κατεξίσταντο τοῦ Διὸς, εἴτε τοῦ εἰδοποιοῦ ἐκείνου πνεύματος, εἴτε τοῦ οὐρανοῦ, οὔπω αἰωρωθέντος[g] ἐν εὐταξίᾳ τῇ τῶν λοιπῶν στοιχείων. ἡ δὲ Θέτις ἡ ἐν τοῖς ὕδασιν εὐθεσία καὶ κίνησις, εἴτε ἐνέργεια, ἀνήγαγεν ἄνω τὸν ἥλιον, ἤτοι τὸν Ἀπόλλωνα ὃν Βριάρεων καλοῦσι καὶ ἑκατόγχειρα, διὰ τὸ ποικίλον τῶν ἐνεργειῶν καὶ δυνατὸν, οὗ τινος ἐκ τῆς θαλάσσης ἀνελθόντος, καὶ παρὰ τῷ Διῒ, ἤτοι τῷ οὐρανῷ καθεσθέντος, ὑπέδδεισαν οἱ θεοὶ, ὅτι ἐν εὐταξίᾳ τὰ στοιχεῖα ἔστησαν. πυρώδης γὰρ ὢν ὁ ἥλιος, συγκρινόμενος[h] δὲ τῶν ὑδάτων ἐν τῷ ἀνιέναι ἐκ τῆς θαλάσσης ἄ̈εὔκρατον τὸν πάντα κόσμον περιπολεῖ, ὅθεν καὶ εὐκρασίαν καὶ τάξιν νέμει πᾶσι τοῖς στοιχείοις· καὶ αὔτ' ἐστὶν ἡ ἐπιβουλὴ τῶν θεῶν κατὰ τοῦ Διὸς ἢ τοῦ Αἰγαίωνος ἄνοδος τοῦ ἡλίου διὰ τὸ ἐκ τοῦ Αἰγαίωνος πελάγους ἀνίσχειν.

Περὶ τῶν τῆς Ἥρας δεσμῶν τῶν παρὰ τοῦ Διός.

Ὅτε καὶ στερεωθεὶς ὁ Ζεὺς ὁ οὐρανὸς εἰς τὸ εἰδοποιὸν πνεῦμα τὴν Ἥραν ἐκ τοῦ οὐρανοῦ ἐκρέμασε, δεσμοὺς αὐτῇ περιθεὶς περὶ μὲν τὰς χεῖρας χρυσοῦς, περὶ δὲ τοὺς πόδας ἄκμωνας δύο. τοῦτο δὲ ἐστὶ τοιοῦτον. τὸ εἰδοποιὸν πνεῦμα ὁ Ζεὺς διὰ τῆς τοῦ ἡλίου εὐκρασίας στερεωθὲν, ἔταξε τὸν ἀέρα ἵστασθαι ἀπὸ ἄνω ἕως κάτω. ὅτι διὰ τὸ σκῆπτρον ὄμνυσιν αὐτοῦ τὸν ἔφορον τῆς βασιλείας θεόν.

Περὶ τοῦ Ἥραν εἶναι καὶ αἰθέρα καὶ ἀέρα.

Περὶ μὲν τὰς χεῖρας αὐτῆς, ἤτοι τὰ ἄνω μέρη τὸν αἰθέρα χρυσοειδῆ καὶ λαμπρὸν ὡς δεσμοὺς χρυσείους περιθεὶς, περὶ δὲ τοὺς πόδας τὰ κάτω καὶ τελευταῖα μέρη, τὴν γῆν καὶ τὴν θάλασσαν, ὡς δύο ἄκμωνας.

Περὶ τῆς γεννήσεως τῆς Ἀθηνᾶς.

Ἐκ τῆς κεφαλῆς τοῦ Διὸς ὅπερ τὸ περικάρδιον αἷμα ἀνερχόμενον εἰς τὴν κεφαλὴν διὰ τῶν καρωτίδων ἀρτηριῶν, καὶ θερμαῖνον τὸ λογιστικὸν, ποιεῖ ἀπογεννᾷν τὰ νοήματα, ἄλλως γὰρ οὐ δύναται ψυχρὸν ὄν. ἐπεὶ γοῦν τὸ λογιστικὸν ἐκεῖθεν ἐκ τῆς καρδίας ἔχει

[g] In marg. γρ. στερεωθέντος. [h] In marg. γρ. συγκιρνάμενος.

τὴν ἀφορμὴν τοῦ λογίζεσθαί τι λέγεται κεῖσθαι περὶ τὴν καρδίαν, τί ἐστιν οἱονεὶ ἀρχὴ λογιστική. Ταυτὸν δὲ ἐστὶν εἰπεῖν σῖτον καὶ ἄρτον, τὸ μὲν γὰρ ἀρχὴ, τὸ δὲ τέλος, συγγενῆ γὰρ ἀμφότερα, οὕτω καὶ περὶ τοῦ λογιστικοῦ φαμέν.

ΠΕΡῚ ΤΟΥ͂ ἩΦΑΊΣΤΟΥ ὍΤΙ ἜΡΡΙΨΕΝ ΑΥ̓ΤῸΝ Ὁ ΖΕῪΣ ἈΠῸ ΤΟΥ͂ ΟΥ̓ΡΑΝΟΥ͂, ΘΈΛΟΝΤΟΣ ΒΟΗΘΗ͂ΣΑΙ ΤΗ͂Ι ἭΡΑΙ.

Ὅτε καὶ ὁ Ἥφαιστος ἡ τοῦ πυρὸς δύναμις ὁρμῶν βοηθῆσαι τῇ δεθείσῃ Ἥρᾳ τῷ ἀέρι, λέγεται ῥιφῆναι ἀπὸ βηλοῦ θεσπεσίοιο ἀπὸ τοῦ οὐρανοῦ παρὰ Διὸς τοῦ εἰδοποιοῦ πνεύματος, καὶ τῇ ἡμέρᾳ μὲν ὡς θερμοτέρᾳ βοηθεῖσθαι, οἱονεὶ ἀναβαστάζεσθαι καὶ φέρεσθαι ἐν τῷ ἀέρι, τῇ δὲ νυκτὶ ὡς ψυχροτέρᾳ ἀσθενῆσαι καὶ καταπεσεῖν ἐν κρημνῷ τῷ κόσμῳ, ἐπὶ τοὺς λαοὺς μετέχειν ἐν αὐτῷ, ἐξ οὗ καὶ ἀμφιγύεις ἐκλήθη ἱστορικῶς, ἀλληγορικῶς δὲ παρὰ τὸ ἀμφοτέρωθεν γύειν καὶ βλάπτειν.

ΠΕΡῚ ΤΟΥ͂ ΚΑΛΕΙ͂ΣΘΑΙ ΧΩΛῸΝ, ΚΑῚ ΟΥ̓ ΜΌΝΟΝ ΧΩΛῸΝ ἈΛΛᾺ ΚΑῚ ΚΛΥΤΟΤΈΧΝΗΝ.

Κλυτοτέχνης δὲ λέγεται, ἐν ἀρχῇ τοῦ ἐρέβους ἐπικρατοῦντος, καὶ διαρθρώσεως κοσμικῆς γενομένης, ἡ τοῦ πυρὸς δύναμις ὡς ἰσχυρὰ ἀξίνη, οἱονεὶ τῇ ἐνεργείᾳ χρωμένη, διεσκέδασε μὲν τὴν πρώτην ἀκοσμίαν καὶ σύγχυσιν τῶν στοιχείων ἔνειμεν, ὅπερ ἐστὶ τὸ τοῖς θεοῖς οἰκίας κατασκευάσαι, ὡς ἐν τῷ πρώτῳ τῆς Ἰλιάδος ἐν τῷ τέλει διέξεισιν Ὅμηρος οὑτωσί·

ἧχι ἑκάστῳ περικλυτὸς ἀμφιγυήεις
Ἥφαιστος ποίησ' εἰδυίῃσι πραπίδεσσι.

ἄλλως τε καὶ διὰ τοῦ πυρὸς πᾶσαι αἱ τέχναι ἐνεργοῦνται. ἐπεὶ δὲ ὁ αἰθὴρ ταυτόν ἐστι τῷ πυρὶ, λέγεται ὁ Ἥφαιστος υἱὸς εἶναι τῆς Ἥρας.

Περὶ τοῦ τὸν Ἥφαιστον Ἥρας υἱὸν λέγεσθαι. οὗτος ὁ Ἥφαιστος υἱὸς Ἥρας καὶ κλυτοτέχνης λέγεται, ὡς ὄπισθεν εἴπομεν. περὶ τῆς οἰνοχοείας τοῦ Ἡφαίστου καὶ τῆς εὐωχίας τῶν θεῶν καὶ τοῦ γέλωτος καὶ τῆς μουσικῆς ὁμοίως. καὶ περὶ τῆς οἰνοχοείας καὶ ἐξημερώσεως τῶν θεῶν, ἤτοι τῶν στοιχείων τῆς καθάρσεως διὰ τῶν φαινομένων πυραυγῶν σελῶν προσγινομένης, ὅτε χειμωνικὴ ταραχὴ ταῦτα κατέχει, ἡνίκα καὶ γέλωτα πᾶσι τοῖς θεοῖς, ἤτοι εὐδίαν τοῖς στοιχείοις ἐμποιεῖ, "δαινυμένοις πρόπαν ἦμαρ," ἤτοι

εὐωχουμένοις ἐν τῷ εὐδιεινῷ καταστήματι, καὶ φόρμιγγι περικαλλεῖ τερπομένοις Ἀπόλλωνος καὶ Μουσάων. ἐν γὰρ τῇ εὐδίᾳ κατὰ μουσικὴν ἁρμονίαν φασὶ κινεῖσθαι τὸν ἥλιον καὶ τοὺς ἀστέρας. αὗται αἱ καθολικαὶ ἀλληγορίαι τῶν θεῶν ψυχικῶς καὶ στοιχειακῶς. ὁ γοῦν ἀλληγορεῖν θέλων σκοπείτω τὰ τῶν θεῶν ὀνόματα, καὶ πρὸς ὃ συμβάλλονται, πρὸς ἐκεῖνο καὶ ἀλληγορείτω ταῦτα. εἴτε ἐν ταῖς ψυχικαῖς δυνάμεσι καὶ τοῖς πάθεσιν, εἴτε ἐν τοῖς κοσμικοῖς στοιχείοις, εἴτε ἐπὶ τῆς εἱμαρμένης τοῦ Διὸς μόνον.

Περὶ τῆς ἱστορίας τῆς λεγούσης τὸν Ἀχιλλέα ποιηθῆναι συνεκστρατεῦσαι τοῖς Ἕλλησιν.

Ὁ Ἀχιλλεὺς ἀφαιρεθεὶς τὴν Βρισηΐδα παρὰ τοῦ Ἀγαμέμνονος καὶ λυπηθεὶς, ἐκάθισε παρὰ τὸν αἰγιαλὸν ἀποβλέπων πρὸς τὴν θάλασσαν καὶ ἀποκλαιόμενος τὴν ἑαυτοῦ τύχην, ὡς ὀλιγόχρονος καὶ ἄτιμος. χρησμὸς γὰρ ἦν δοθεὶς τῇ μητρὶ αὐτοῦ Θέτιδι, ἀπελθόντα μὲν αὐτὸν εἰς τὴν Τροίαν εἶναι ὀλιγόχρονον καὶ ἔνδοξον, καθήμενον δὲ ἐν τῷ οἴκῳ εἶναι πολυχρόνιον καὶ ἄτιμον, ὅθεν καὶ πολυχρόνιον ἡ μήτηρ παρὰ τὴν δόξαν προκρίνασα, ἔπειθεν αὐτὸν οἴκοι μένειν, καὶ μὴ μετὰ τῶν Ἑλλήνων ἐκστρατεύειν. καὶ τοῦτο ἐστὶν ὃ καὶ ἡ ἱστορία φησὶν ἐνδύσασθαι τὸν Ἀχιλλέα γυναικεῖα, τὸ πειθαρχεῖσθαι ταῖς γυναικείαις βουλαῖς. τὸ δὲ ἐν τῷ ἱστουργίῳ καθῆσθαι ὡς γυναῖκα λανθάνοντα ἐλεγχθῆναι ὑπὸ τοῦ Παλαμήδους καὶ τοῦ Ὀδυσσέως μὴ εἶναι γυναῖκα, διὰ τὸ παρ' αὐτῶν ῥιφὲν ξίφος προτιμήσασθαι ἀντὶ τοῦ ἀτράκτου, καὶ οὕτω συνεκστρατεῦσαι αὐτοῖς, τοῦτο ἐστί. τοῦ Παλαμήδους καὶ τοῦ Ὀδυσσέως στρατολεκτούντων ἐπὶ τὸν κατὰ Τροίαν πόλεμον, οἱ μὲν γυναικώδεις καὶ ἄνανδροι προέκρινον τὸν ἄτρακτον τοῦ ξίφους, τουτέστι τὸ μὴ συνεκστρατεύειν τοῖς Ἕλλησιν, ἀλλὰ προσκαθῆσθαι ἐν οἴκῳ. ὁ δὲ Ἀχιλλεὺς ἐπεὶ περὶ πολέμου ἤκουσεν, εὐθύς τε ἀνέθορε καὶ συνεκστρατεύειν αὐτοῖς ἠθέλησεν, ὅπερ ἐστὶ τὸ ὡς ἀνδρεῖος προκρῖναι τὸν πόλεμον, ἤτοι τὸ ξίφος παρὰ τὸν ἄτρακτον, τὴν οἰκουρίαν δηλονότι.

Ἐπεὶ γοῦν ἀπελθὼν πρὸς τὴν Τροίαν, καὶ διὰ τοῦτο ὀλιγοχρόνιος μέλλων ἔσεσθαι, ἠτιμώθη καὶ παρὰ τοῦ Ἀγαμέμνονος, καὶ λυπούμενος παρὰ τὸν αἰγιαλὸν καθεζόμενος ὠργίζετο κατὰ τῶν Ἑλλήνων, ὀργιζόμενος δὲ παρεκάλει γενέσθαι τὸ κατάστημα

ὄμβριον ὡς ἂν ἔκ τε τοῦ πολέμου καὶ τῆς βροχῆς ἀσθενῆσαι καὶ ἡττᾶσθαι τοὺς Ἕλληνας, καὶ οὕτω σχεῖν χρείαν αὐτοῦ, μᾶλλον ἐν τῷ τοιούτῳ εὐδοκιμοῦντος καιρῷ. οὕτω διανοούμενος, καὶ πρὸς τὴν θάλασσαν ἀποβλέπων, εἶδεν ὁμίχλην τινὰ νεφώδη ὄμβρου σημαντικὴν ἐκ τῆς θαλάσσης ἀνιοῦσαν πρὸς (εἰς) τὸν ἀέρα, ἐπειδὴ ἐκ τῆς θαλάσσης τά τε νέφη καὶ ἡ ὁμίχλη· ἰδὼν οὖν ἐχάρη, ὡς τῆς αὐτοῦ ἐπιθυμίας μικρὸν ὅσον τελεσθησομένης. τοῦτο γοῦν φασιν ἄνοδον τῆς Θέτιδος ἐκ τῆς θαλάσσης. τὸ δὲ τῆς χειρὸς αὐτοῦ κρατῆσαι τὴν Θέτιν, τὸ πρακτικῶς αὐτὴν ἰδεῖν καὶ χαρῆναι. ἡ γὰρ χεὶρ κατὰ τὰ ἱερὰ συμβόλαια τῶν Αἰγυπτίων γραμμάτων, τὴν πρακτικὴν ἐνέργειαν δηλοῖ· τὸ δὲ ἐρωτᾶσθαι τὸν Ἀχιλλέα παρὰ τῆς Θέτιδος, καὶ ἀποκρίνεσθαι τὰς αὐτοῦ τε ἀνδραγαθίας, καὶ τὴν τῆς φιλονεικίας αἰτίαν, προσωποποιΐα ἐστὶ καὶ ἠθοποιΐα τοῦ Ὁμήρου, οὐ γὰρ ἠρωτᾶτο Ἀχιλλεὺς παρά τινος, ἀλλὰ μόνος ταῦτα διελογίζετο. τὸ δὲ τὴν Θέτιν εἰπεῖν τὸν Δία τότε εἶναι εἰς Αἰθίοπας, ἦν τότε νεωστὶ ἡ τοῦ Νείλου ἀνάβασις, ἥτις κατὰ τὸν νενομισμένον καιρὸν τελουμένη, πάντα τὰ ἐκεῖσε ὑδάτων πληροῖ, ὧν καὶ ἀπὸ τοῦ ἡλίου ἀνιμωμένων, τελοῦνται καὶ τινὰ ὀμβρινὰ καταστήματα, καὶ διὰ τοῦτο φησὶ τὸν Δία εἶναι ἐκεῖσε μετὰ καὶ τῶν θεῶν. ἔνθα γὰρ ὕδωρ, ἐκεῖ καὶ τὰ στοιχεῖα πάντα. ἡ γὰρ γῆ ἀραιουμένη ἀποτελεῖ ὕδωρ, τὸ δὲ ὕδωρ λεπτυνόμενον ἀποτελεῖ ἀέρα· ἀὴρ ἔτι λεπτυνόμενος ἀποτελεῖ πνεῦμα, τὸ πνεῦμα ξηρότερον προσβάλλον ἀποτελεῖ πῦρ. καὶ αὐτὸ καὶ ἐπὶ τῆς βροντῆς.

Τὸ δὲ μετὰ δωδεκάτην ἐλεύσεσθαι τὸν Δία ἀπὸ τῶν Αἰθιόπων, τοῦ Ὁμήρου ὕστερον συγγραψαμένου καὶ γινώσκοντος ὅτι μετὰ τὴν δωδεκάτην ἡμέραν ἐγένετο ὀμβρινὸν τὸ κατάστημα· εἴωθε γὰρ ἔνθα προσωποποιεῖται θεούς τινας λαλοῦντας, λέγειν τὶ καὶ τῶν γενναιοτέρων, ὡς δῆθεν περὶ θεοῦ λαλῶν καὶ ἀντὶ θεοῦ. ὡς οὖν κατάστημα μετὰ τὴν δωδεκάτην ἐννεφὲς ἐκεῖσε ἐγένετο, ὃ καὶ παρρησίαν τοῦ τε Διὸς καὶ τῶν λοιπῶν θεῶν καλεῖ, ἀνῆλθε καὶ ἡ Θέτις νέφος ἄνυγρον[1] καὶ ὀμβροφόρον, καὶ ὅσον μὲν ταχύτερον καὶ βαρύτερον ἀνῆλθε μέχρι καὶ τῶν προπόδων τοῦ ἀέρος τοῦ Διὸς, ὅσον δὲ κουφότερον διέδραμε μέχρι τῆς κορυφῆς αὐτοῦ.

[1] Sic.

Καὶ τοῦτό ἐστι τὸ τὴν Θέτιν τῇ μὲν σκαιῇ ἅψασθαι τοῦ γόνατος τοῦ Διὸς, ὅσον κουφότερον καὶ λεπτότερον, τῇ δὲ δεξιᾷ τῆς γενειάδος, καὶ παρακαλεῖν αὐτὸν τιμῆσαι τὸν Ἀχιλλέα, τουτέστιν ἐπινεῦσαι βροχὴν γενέσθαι. ὡς δὲ ἡ Θέτις ἀνελθοῦσα εὗρεν αὐτὸν ἄτερ καθεζόμενον ἄλλων, ἐννεφοῦς γὰρ τοῦ ἀέρος γενομένου, οὔτε ἥλιος φαίνεται, οὔτε αἰθὴρ, οὔτε πῦρ, ὄντα μὲν, μὴ συναναφαινόμενα δὲ, ὡς αὐτὸς ὁ ἀὴρ, ὃ καὶ διαχωρισμὸν καλεῖ, ἐλιτάζετο αὐτὸν, ὡς προείπομεν. ὁ δὲ Ζεὺς ἀκέων ἧστο. ἢ τὸ μὲν κατάστημα ἐννεφὲς ἐγένετο, οὔπω δὲ ἐκινήθη τί πνεῦμα συνταράσσον αὐτὸν, ὡς ἐκ τούτου τὸ ὀμβρόφορον νέφος ῥαγῆναι καὶ βρέξαι, καὶ οὕτω τὴν Θέτιν εἰσακουσθῆναι τὸν Δία φησί.

Ὑπηῦξαν δὲ, πάντες οἱ θεοὶ σὺν αὐτῷ ἦλθον εἰς εὐδίαν· ἀνάσταν δὲ φασὶν, ὡς ταρασσομένων τῶν στοιχείων τῇ τοῦ ἀέρος κινήσει, ἀπὸ τοῦ χειμῶνος εἰς εὐδίαν, ἢ τοὐναντίον, ἀπὸ εὐδίαν εἰς χειμῶνα. ὑποτασσομένων δὲ αὐτῶν καὶ τρεπομένων πρὸς ὅπερ ἂν αὐτὸς τράποιτο. καὶ γὰρ καὶ τὸ "οὐδέ τις ἔτλη μεῖναι ὑπερχόμενον." τοῦτο δὲ δηλοῖ ὅτι ὁ ἀὴρ ἐπικρατέστερος ἐστὶ τῶν ἄλλων στοιχείων, ὡς καὶ τὸ,

ὃ γὰρ πολὺ φέρτερός ἐστι.

τούτων δὲ οὕτω γενομένων τοῦ Διὸς τοῦ ἀέρος μετὰ τῆς Θέτιδος, τοῦ ὀμβρινοῦ νέφους βουλευθέντος, ἔπειτα διαχωρισθέντος, καὶ τῆς Θέτιδος εἰς θάλασσαν κατιούσης, τοῦ δὲ Διὸς πρὸς ὃν δῶμα, ἡ Ἥρα ὁ αἰθὴρ κερτομίοις ἐπέεσι προσηῦδα τὸν Δία. ἐνταῦθα ὁ ποιητὴς ἀγαθοποιεῖται ποίους ἂν λόγους ὁ αἰθὴρ πρὸς τὸν ἀέρα συνφιλιούμενος τῷ ὑγρῷ καταστήματι, ἀπεναντίας τοῦτο ἔχων τε αὐτὸς, καὶ διὰ τοῦτο τῷ ἀέρι οἱονεὶ ἐχθραινόμενος, ἄλλως τε καὶ τοῖς βοηθοῖς ἐπὶ εὐδίας πρόξενος χρώμενος. τῷ δὲ ὀμβρινῷ νέφει ἤτοι τῇ Θέτιδι πολεμουμένους ὁρῶν, ἡ δὲ διηνεκὴς φιλία Διὸς καὶ Ἥρας ἤτοι ἀέρος καὶ αἰθέρος κατὰ τὸ ἀδελφοὺς εἶναι, καὶ συνευνάζεσθαι ἄμφω, ὁμοίως καὶ ἡ διηνεκὴς αὐτῶν ἔχθρα κατὰ τὸ ἀεὶ ἐν ἀθανάτοις θεοῖς μὲν οἰκεῖ, αὕτη ἐστὶ τῶν τεσσάρων στοιχείων, πυρὸς, ἀέρος, ὕδατος, γῆς. ἡ μὲν γῆ ξηρὰ καὶ ψυχρὰ, τὸ ὕδωρ ψυχρὸν καὶ ὑγρὸν, ὁ ἀὴρ ὑγρὸς καὶ θερμὸς, τὸ δὲ πῦρ θερμὸν καὶ ξηρόν. τὸ μὲν οὖν πῦρ διὰ τοῦ θερμοῦ κοινωνεῖ τῷ ἀέρι, ὡς θερμῷ καὶ ὑγρῷ, ὁ ἀὴρ διὰ τοῦ ὑγροῦ κοινωνεῖ τῷ ὕδατι ὡς ὑγρῷ

καὶ ψυχρῷ. τὸ δὲ ὕδωρ διὰ τοῦ ψυχροῦ κοινωνεῖ τῇ γῇ ὡς ψυχρᾷ καὶ ξηρᾷ. καὶ οὕτω μία συνέχεια ἁπάντων γίνεται διὰ τῶν μέσων καὶ τῶν ἄκρων ἀλλήλοις συνδουμένων, ἣν καὶ σειρὰν χρυσῆν ἀλλαχοῦ ὁ αὐτὸς Ὅμηρος ὀνομάζει.

Ὑγρὸν ἔλαιον ἢ τὸ σῶμα σχολαστικὸν, ἢ τὸ ἐν ὑγρότητι φυλάττον καὶ μὴ ἐῶν ξηραίνεσθαι. ἢ ὅτι τὸ ἔλαιον οὐκ ἀποκρυσταλλοῦται, πολὺ ἔχον ἐν ἑαυτῷ τὸ θερμόν. συνίσταται δὲ ὁ μὲν ὁρώμενος κόσμος ἐξ ὧν εἴπομεν τεσσάρων στοιχείων. τὸ δὲ λογιστικὸν ζῶον ὁ ἄνθρωπος, καὶ αὐτὸς ἐκ τεσσάρων στοιχείων, χολῆς ξανθῆς, ἥτις ἐστὶ θερμὴ καὶ ξηρά· αἵματος, ὅπερ ἐστὶ θερμὸν καὶ ὑγρόν· φλέγματος, ὅπερ ἐστὶν ὑγρὸν καὶ ψυχρόν· χολῆς μελαίνης, ὅ ἐστι ψυχρὸν καὶ ξηρόν. ἀλλὰ καὶ ὁ χρόνος ἐκ τεσσάρων στοιχείων συνέστηκεν, ἔαρος, θέρους, φθινοπώρου καὶ χειμῶνος. ἔστι δὲ τὸ μὲν ἔαρ θερμὸν καὶ ὑγρὸν αἵματος κίνησις. συνδοῦνται δὲ ἀλλήλοις, ὡς εἴπομεν τά τε στοιχεῖα καὶ αἱ ὧραι. ἔχουσι δὲ τοῦτον τὸν τρόπον.[k]

Οὕτω γοῦν κειμένων τῶν στοιχείων, αἰθέρος τε καὶ ἀέρος. κατὰ μὲν τὸ θερμὸν κοινωνοῦσιν ἀλλήλοις, κατὰ δὲ τὸ ὑγρὸν ὡς τὸ ξηρὸν διΐσταται. ὅταν μὲν ὁ ἀὴρ κατὰ τὴν ὑγρὰν ποιότητα κοινωνεῖ τοῖς ὑγροῖς καὶ συνομιλεῖ τοῖς ὀμβροφόροις νέφεσι. λέγεται δὲ κρυπτῶς καὶ ἀκουσίως τῆς Ἥρας τοῦ αἰθέρος συμβουλεύεσθαι, καὶ χαρίζεσθαι τῇ Θέτιδι. καὶ αὕτη τῷ θερμοτέρῳ ἀέρι κοινωνεῖ τῷ αἰθέρι. ταύτην καὶ συνουσίαν αὐτῶν καὶ φιλίαν λέγουσιν ὁ ἀὴρ ἄνευ τοῦ αἰθέρος τῷ ὑγρῷ νέφει προσωμίλησεν, εἴτε ποιεῖται τὴν πρὸς αὐτὸν φιλονεικίαν τοῦ αἰθέρος ὁποία ἐγένετο ἄν. καὶ αὕτη ἐστὶν ἡ φιλονεικία Διὸς καὶ Ἥρας, ὧν καὶ φιλονεικούντων

ὤχθησαν ἀνὰ δῶμα Διὸς θεοὶ οὐρανίωνες,

βροντή τις περὶ τὸν ἀέρα ἐγένετο. εἰ καὶ Διὸς βρονταὶ λέγονται, ἀλλὰ καὶ πάντων θεῶν εἰσίν. ἡ γὰρ γῆ ἀραιουμένη ἀποτελεῖ ὕδωρ, τὸ ὕδωρ λεπτυνόμενον ἀποτελεῖ ἀέρα, ὁ ἀὴρ ἐπιλεπτυνόμενος ἀποτελεῖ πνεῦμα, τὸ πνεῦμα ξηρότερον προσβάλλον ἀποτελεῖ πῦρ. ἐπεὶ δὲ ἡ βροντὴ περιεκτική ἐστι πάντων, διὰ μὲν τοῦ ὕδατος παρουσιάζει ὁ Ποσειδῶν, διὰ δὲ τοῦ αἰθέρος ἡ Ἀθηνᾶ,

[k] Varia schemata hic exhibentur quæ sine damno omitti posse judicavi.

διὰ δὲ τοῦ ἀέρος ἡ Ἥρα καὶ ὁ Ἥφαιστος, λέγεται ὀχθῆσαι τοὺς θεούς.

Τούτων δὲ οὕτως ἐχόντων ἤγουν τῶν στοιχείων ταρασσομένων, ὁ Ἥφαιστος ἦρχετο ἀγορεύειν. Ἥφαιστος δὲ λέγεται τὰ φαινόμενα ἐν τῷ ἀέρι πυραυγῆ σέλα καθαρτικὰ τῶν νεφῶν. ἅτινα πρῶτον μὲν καθαίρει τὸν ἀέρα μικρόν τι μεμολυσμένον, ἐπειδὴ καὶ πρῶτον τῇ Ἥρᾳ κιρνᾷ γλυκὺ νέκταρ, εἶτα καὶ τἄλλα στοιχεῖα. περὶ ἀμφικυπέλλου ποτηρίου καὶ τοῦ κλυτοτέχνου, καὶ τῆς ἄνωθεν αὐτῶν εἰς λίμνον καθόδου καὶ τοῦ γέλωτος τῶν θεῶν καὶ τῆς εὐωχίας αὐτῶν, καὶ τῆς φόρμιγγος Ἀπόλλωνος καὶ Μουσάων εἴπομεν ὄπισθεν.

οἱ μὲν κακκείοντες ἔβαν οἶκονδε ἕκαστος.

Οἱ θεοὶ δηλονότι τὰ στοιχεῖα εἰς τὴν ἀνάστασιν καὶ τάξιν ἦλθον ἡσυχάζοντα. οἶκον δὲ καλεῖ τὸν ἑνὶ ἑκάστῳ ἀφωρισμένον τόπον, ὃν ὁ Ἥφαιστος ἡ τοῦ πυρὸς δύναμις αὐτοῦ ἔταξεν, ὡς ἀξίνη τῇ ἀκροτάτῃ κρατουμένῃ[1] δυνάμει, καὶ τὴν πρώην ἀκοσμίαν καὶ σύγχυσιν αὐτῶν ἀποξήσασα, ἤτοι διακόψασα.

Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής.
ἔνθα πάρος κοιμαθ' ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι.
ἔνθα κάθευδ' ἀναβὰς, παρὰ δὲ χρυσόθρονος Ἥρη.

ὁ ἀνὴρ δὲ καὶ αὐτὸς εἰς τὴν ἰδίαν τάξιν ἀποκατασταθῇ καὶ εὐκοσμίαν. μετάβασιν δὲ λέγει ὡς εἴπομεν, οὐ τὴν τοῦ τόπου, ἀλλὰ τῆς ἐνεργείας τὴν ἀπὸ χειμῶνος εἰς εὐδίαν ἢ τοὐναντίον. λέχος δὲ Διὸς τροπικῶς ἡ τοῦ ἐναερίου τόπου θέσις καθεύδειν λέγεται, ὅταν ἡσυχάζῃ ἐν εὐδίᾳ φιλίαν ἔχων πρὸς τὸν αἰθέρα οἱονεὶ καὶ κοινωνίαν, ἣν καὶ συνουσίαν αὐτοῦ καὶ τῆς Ἥρας καλεῖ, κατὰ τὸ [m] εἴτουν ἐνταῦθα [m] νοήσεις εἰ ταυτὸν τὸν οὐρανὸν οὐδέν τι παράδοξον, ἄνωθεν γὰρ τοῦ αἰθέρος ὁ οὐρανὸς, ὥστε παρὰ τῷ Διΐ ἐστι, κάτωθεν δὲ ὁ ἀὴρ, ὥστε παρ' αὐτῷ ἐστιν, ἤγουν πλησίον σὺν αὐτῷ δηλονότι.

Χρυσόθρονον καλεῖ τὴν Ἥραν, διὰ τὸ καταφανὲς καὶ χρυσοειδὲς τοῦ πυραυγοῦς αἰθέρος. λευκώλενον δὲ διὰ τὸ λαμπρὸν καὶ λευκοφανὲς τοῦ φωτὸς, ἐπειδὴ καὶ εἰς ἀέρα πολλάκις ἡ Ἥρα ἀλληγο-

[1] In marg. χρησαμένη. [m] Vacuum spatium.

ρεῖται. βοῶπιν δὲ, διὰ τὸ περίοπτον τοῦ αἰθέρος ἢ τοῦ ἀέρος, πᾶσι γὰρ ἐστὶ καταφανὲς, ἢ πᾶσιν ἐμποιεῖ τὸ βλέπειν. μειδῆσαι δὲ λέγεται τὴν Ἥραν, διὰ τὸ πρὸς εὐδίαν τραπῆναι.

Ζεὺς αἰγίοχος καλεῖται, διὰ τὸ καταιγίδας τοῦ ἀέρος γίνεσθαι, ὁμοίως καὶ ἀστεροπητὴς ἐξ αὐτοῦ γὰρ αἱ ἀστραπαὶ, ἢ δι' αὐτοῦ ἀπολοῦνται. ὡς ἐν τῷ τῆς φυσιολογίας προείπομεν. ὁμοίως δὲ καὶ ἐρίγδουπος διὰ τὸ τῆς βροντῆς ἠχικόν. καὶ ἄνοφρυς δὲ λέγεται ὅτι ἐννεφὴς γίνεται. χαῖται δὲ τούτου οὐ κεκίνηνται, ὅτι πνεῦμα τί πνεῦσαν συνταράξει τὰ ἐν αὐτῷ νεφώδη καταστήματα, ἅτινα καὶ ὡς χαῖται καλοῦνται. Κρονίων δὲ, ἢ διὰ τὸ ἐκ τοῦ Ἐρέβους τοῦ Κρόνου γεννηθῆναι, ἢ διὰ τὸ σκοτεινὸν τῆς εἱμαρμένης καὶ ἄδηλον. νεφεληγερέτα δὲ διὰ τὸ ἀθροιστικὸν τῶν νεφῶν, ἐν γὰρ τῷ ἀέρι αὗται συνάγονται. κελαινεφὲς δὲ διὰ τὸ συνταράσσειν ὡς πνεῦμα. δολομήτης δὲ διὰ τὸ τοῦ ἀέρος ποικίλον τῶν ἐνεργειῶν, ἢ διὰ τὸ τῆς εἱμαρμένης πανοῦργον καὶ σκολιόν. πατὴρ δὲ ἀνδρῶν τε θεῶν τε διὰ τὸ πάντων στοιχείων τε καὶ ἀνθρώπων ἐπικρατὲς τῆς εἱμαρμένης καὶ διεξάγωγον. αἰθεριναῖον, ἢ ὡς αὐτὸς ὁ αἰθὴρ, καὶ ὡς οὐρανὸς, ὁ περὶ τὸν αἰθέρα ναίων.

Ἀπόλλων Φοῖβος καλεῖται διὰ τὸ φωτιστικὸν, ἐκ τοῦ βαίνειν καὶ φαίνειν. ἑκατηβόλος δὲ, διὰ τὸ ἐκεῖθεν βάλλειν, ἐξ οὐρανοῦ γὰρ βάλλει τὰ βέλη. ἑκάεργος, ὅτι μακρόθεν ἐργάζεται, ἤτοι μακρόθεν διὰ τῶν ἀκτίνων αὔξει τὰ ἔργα. ἀργυρότοξος διὰ τὸ τῶν ἀκτίνων φαιδρὸν καὶ λευκοφανὲς, ἐξ οὗ καὶ διδάσκει ὁ Ὅμηρος, μὴ τί εἶδος εἶναι τὸ ἡλιακὸν φῶς, ἢ λευκὸν, κἂν καί τινες μύδρον πεπυρακτωμένον ἔφησαν, εἴτε ἄλλό τι. τοξότης δὲ διὰ τὸ δίκην τόξου πέμπειν τὰς ἀκτίνας. ἰατρὸς, διὰ τὸ θεραπεύειν ἡμᾶς, ἀκράτους τὰς ἀκτίνας πέμπων, καὶ ἐμφορίαν ἐμποιῶν τοῖς καρποῖς. μουσικὸς, διὰ τὸ κατὰ μουσικὴν ἁρμονίαν κινεῖσθαι, ὡς καὶ ἦχον τινὰ ἀποτελεῖν μουσικόν. καὶ ὁ Πυθαγόρας ἐκ τῆς τῶν ἄστρων οὐρανίας κινήσεως, τὴν μουσικὴν συνέθηκε. Λυκιγενὴς δὲ διὰ τὸ τοὺς λυκάβαντας ἤτοι τοὺς χρόνους γεννᾷν. Σμινθεῦ, διὰ τὰ ὑλώδη καὶ βλαπτικὰ καταστήματα κατ' αὐτοῦ ἀναιρεῖσθαι. μάντις διὰ τὸ τέρατα τινὰ ἐξ αὐτοῦ ἀναφαίνεσθαι. ἠΰκομος δὲ λέγεται ἡ Λητὼ, διὰ τὸ τὴν νύκτα πανταχοῦ κεχεῖσθαι δίκην κόμης τῆς Λητοῦς.

ΠΕΡῚ ΤΩ͂Ν ἈΝΑΚΕΙΜΈΝΩΝ ὙΛΩ͂Ν ΚΑῚ ΤΟΙ͂Σ ΘΕΟΙ͂Σ ἙΠΤᾺ ἌΣΤΡΑΣΙΝ.

Καὶ τοῦτο ἐστὶ τὸ τῆς ἀλληγορίας τοῦ τετάρτου τῆς Ἰλιάδος θέματος. τούτων τῶν ἑπτὰ ἀστέρων ἑνὶ ἑκάστῳ ἐκεῖνο καὶ ὗλαι. τῷ Κρόνῳ ὁ χαλκὸς, τῷ Διῒ ὁ χρυσὸς, τῷ Ἄρεϊ ὁ σίδηρος, τῷ Ἡλίῳ ὁ ἤλεκτρος, τῇ Ἀφροδίτῃ κασσίτερος, τῷ Ἑρμῇ ὁ μόλϋβδος, τῇ Σελήνῃ ὁ ἄργυρος. ὁμοίως καὶ οἱ οἰωνοί[n]. ἡ κορώνη τῷ Κρόνῳ, ὁ ἀετὸς τῷ Διῒ ὡς βασιλεῖ, τὸ τῶν ζώων βασιλικώτερον, ὁ κολοιὸς τῷ Ἄρει διὰ τὸ ταραχῶδες, τῷ Ἡλίῳ ἤγουν τῷ Ἀπόλλωνι ὁ κίρκος, ὅ ἐστι γένος ἱεράκων ταχύτατον, τῷ Ἑρμῇ ὁ κύκνος, ὡς μουσικὸς, τῇ Ἀφροδίτῃ ἡ περιστερὰ, ὡς ποντική. αὗται μὲν οὖν αἱ ἀλληγορίαι τῶν θεῶν ψυχικῶς καὶ στοιχειακῶς.

ILIAD. A.

V. 1. Μῆνις σημαίνει ε̄, μῆνιν, ὀργὴν, θυμὸν, χόλον καὶ κότον. καὶ μῆνις μέν ἐστιν ἡ ἐπιμένουσα ἀεὶ καὶ μὴ μειουμένη. ὀργὴ ἡ ὄρεξις τῶν χειρῶν, ἤτοι παρὰ τὸ ὀρέγω τὴν χεῖρα. χόλος ὁ χεόμενος ὅλος, ἢ παρὰ τὸ χέειν τὸν θυμὸν, κότος ὁ ἐγκείμενος πάντοτε ἐν ψυχῇ. θυμὸς σημαίνει ε̄. θυμὸς ἡ ψυχὴ, ὡς τὸ "μεγάθυμοι Ἀχαιοί." θυμὸς ἡ ὀργὴ, ὡς τὸ

θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων.

θυμὸς ἡ ὁμόνοια, ὡς τὸ

ἕνα θυμὸν ἔχοντες νόα καὶ ἐπίφρονα[o] βουλήν.

θυμὸς ὁ ἐπιλογισμὸς, ὡς τὸ ἕτερός μοι ἀνῆκε θυμός. θυμὸς ἡ ἐπιθυμία, ὡς τὸ

θυμῷ εἴξας, μίγη φιλότητι καὶ εὐνῇ.

ἡ μῆνις πῶς κλίνεται; τῆς μήνιδος. καὶ ὤφειλεν εἶναι μήνιθος, ὡς ὄρνις ὄρνιθος. ἀλλὰ τὰ εἰς ις, ποτὲ μὲν κλίνεται διὰ τοῦ δος, ποτὲ δὲ διὰ τοῦ θος, καὶ ποτὲ διὰ καθαροῦ τοῦ ος, ὅταν μὲν ἔχῃ πρὸ τοῦ ι δύο ἀμετάβολα διὰ τοῦ θος κλίνεται, μέρμις μέρμιθος, τὸ λεπτὸν σχοινίον, ὄρνις ὄρνιθος. ὅταν δὲ πρὸ τοῦ ι ἓν σύμφωνον ἔχῃ, διὰ τοῦ δος, Κράθις, Κράθιδος. εἰ δὲ εἰσὶ προσηγορικὰ, διὰ καθαροῦ τοῦ ος, ὄφις ὄφιος, μάντις μάντιος.

[n] ἰωνοὶ Cod. [o] ἐπίφρονον Cod.

Διατί οὐκ εἶπε θεὴ ἀλλὰ θεά; καὶ φαμὲν ὅταν μὲν ἡ εὐθεῖα τῶν ἑνικῶν τοῦ ἀρσενικοῦ εἰς ο̅ς̅ καθαρὸν λήγῃ καὶ κλίνεται εἰς ο̅υ̅, τότε τὸ θηλυκὸν εἰς α̅ λήγει. ὅταν δὲ ἡ εὐθεῖα εἰς ο̅ς̅ λέγεται μετὰ συμφώνου, τότε τὸ θηλυκὸν εἰς η̅ λήγει, οἷον σοφὸς σοφοῦ, σοφή. τὸ α̅ μακρόν. διότι τὰ ἀπὸ τῶν εἰς ο̅ς̅ ἀρσενικὰ εἰς α̅ ληγόμενα θηλυκὰ τὴν ὁμοίαν θέλουσιν ἔχειν κατάληξιν τῆς γενικῆς τοῦ ἀρσενικοῦ. Ἐζήτηται εὐθὺς διατί ἀπὸ τῶν τελευταίων.[p]

Τὸ θεὸς ὄνομα ἀνωνύμως κείμενον σημαίνει πέντε. σοφοὺς, βασιλεῖς, ψυχικὰς δυνάμεις, καὶ πάθη, στοιχεῖα, ἄστρα, καὶ τὴν ἐξ αὐτῶν εἱμαρμένην. μετ᾽ ὀνόματος δὲ κείμενον, σημαίνει τρία, πραγματικῶς, ἀνθρώπους, ψυχικῶς, δυνάμεις ψυχικάς. ἢ πάθη στοιχειακῶς, στοιχεῖα. ψυχικῶς μὲν ἀλληγοροῦνται οἱ θεοὶ οὕτω, Κρόνος, ἄγνοια καὶ συνθόλωσις τοῦ νοός. Ῥέα ἡ γαιώδης καρδία, ἐξ ὧν γεννᾶται ὁ Ζεὺς ὁ νοῦς. πλάνη γὰρ δογμάτων ἐκ τῆς ἀγνοίας ἐγγινομένη, ἔκ τε τῆς γαιώδους καρδίας. ἔπειτα εἰς ἐπιστήμην λόγων ὁ νοῦς εὐκρινόμενος λέγεται γεννᾶσθαι ἐκ τῆς ἀγνοίας καὶ συγχύσεως ἢ τῆς γαιώδους καρδίας, ἐξ ὧν ὁ νοῦς πρόεισιν ὠμματωμένος. Ἥρα δὲ ἡ ψυχὴ ἡ ταύτης ἀνδρεία. Ἀθηνᾶ ἡ φρόνησις, Ἀφροδίτη δὲ ἡ ἐπιθυμία, Ἑρμῆς ὁ προφορικὸς λόγος. Ἀπόλλων ὁ ῥητορικὸς καὶ ἡλιωδέστατος λόγος. Ἄρης, θυμὸς ἄλογος, Ποσειδῶν ὁ εὔλογος θυμὸς καὶ ἔμμετρος, ἀπό τινων αἰτιῶν κινουμένων εὐλόγως, ὥσπερ ἡ θάλασσα ὑπὸ τῶν κυμάτων καὶ πνευμάτων. Ἥφαιστος τὸ περικάρδιον αἷμα, ὅπερ δηλοῖ τῶν καρωτίδων ἀρτηριῶν ἀνιὼν εἰς τὴν κεφαλὴν καὶ τὸν νοῦν ψυχικὸν ὄντα θερμαίνων ἀξινόπληκτον[q] τὴν Διὸς νοὸς κάραν. ἄλλως τε καὶ τραγῳδίαις.[r]

P. 1, 20. Bekker. post "αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος" Cod. add. ἀρετὴ δὲ προοιμιαστοῦ περιλαμβάνειν τὰ τοῦ πράγματος ἐπαγγέλματα.

Ib. ἄειδε] Ἆιδε, λέγε. διατί ὡς προστάσσων ἐστὶ τῇ μούσῃ καὶ οὐχὶ φησιν ὡς εὐχόμενος αὐτῇ; δύναιτο ἄν τις λέγειν ὡς καὶ πολλαὶ θεαὶ καὶ Ἥρα καὶ Ἀφροδίτη καὶ Ἀθηνᾶ. ἐροῦμεν οὖν ὅτι προστάσσει μὲν διὰ τὸ λέγειν ἐκ καταρχῆς καὶ μηδ᾽ ὅτι λέγειν ποτὲ νοεῖν. θεὰν δὲ εἴρηκε κοινῷ μὲν ὀνόματι προσαγορεύων τὴν μοῦσαν.[s]

[p] Vid. Bekker. Ed. p. 1. [q] ἀξινοπληκτᾶν Cod. [r] P. 1, 11. Ed.
[s] Ed. p. 1.

Ib. Πηληϊάδεω] Οἱ Ἴωνες καὶ οἱ ποιηταὶ τὰς εἰς ου ληγούσας γενικὰς τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας διὰ τοῦ εω προφέρουσιν, οἷον Ξέρξου Ξέρξεω, Ἀτρείδου Ἀτρείδεω, ἐναντίως τοῖς Βοιωτοῖς καὶ Αἰολεῦσιν. ἐκεῖνοι γὰρ διὰ τοῦ αο ποιοῦσι τοῦ α ἐκτεινομένου. πᾶσα γὰρ γενικὴ ὀνόματος εἰς φωνῆεν λήγουσα, καὶ περιττοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας, ἢ ἐκτείνει τὴν παραλήγουσαν καὶ συστέλλει τὴν λήγουσαν, οἷον καλοῦ καλοῖο, ἢ ἐκτείνει τὴν λήγουσαν καὶ συστέλλει τὴν παραλήγουσαν, οἷον Ἀτρείδεω, Πριαμίδεω, Πηληϊάδεω. γίνεται δὲ Πηληϊάδης ἐκ τοῦ Πηλείδου πατρωνυμικῶς κατὰ τὴν διάλυσιν καὶ ἔκτασιν τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ α γίνεται Πηληϊάδης ἐν ἡρωϊκῷ μέτρῳ. τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας γενικὰς οἱ ποιηταὶ οὐ προφέρουσι διὰ τοῦ ου ἀλλὰ διὰ τοῦ εω, Ἰωνικῶς ὡς Πηλείδεω, ἢ διὰ τοῦ αο Δωρικῶς ὡς Ὀρέσταο.

Ὅτι ὑπὸ Μυρμιδόνων ἐκλήθη Ἀχιλλεὺς, καθὼς Εὐφορίων λέγει

ἐς Φθίην ἀχειλοῖο κοτῆϊε[t] πάμπαν ἄπαστος.
τοὔνεκα Μυρμιδόνεσσιν Ἀχιλέα φημίξαντο.

3. ἰφθίμους] Γίνεται δὲ ἴφθιμος παρὰ τὸ ἶφι, μακροῦ ὄντος τοῦ πρώτου ι. "ἶφι ἀνάσσεις." παράγωγον γέγονεν ἴφιμος, ὡς πρώϊμος ἀπὸ τοῦ πρωῒ τοῦ μέσου βραχέος ὄντος, καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος, καὶ μετὰ τὸν πλεονασμὸν ὑπερτίθενται οἱ χρόνοι, τοῦ μὲν πρώτου ι συσταλέντος φύσει, τοῦ δὲ ἐφεξῆς ἐκταθέντος· "πολλὰς δ' ἰφθίμους ψυχάς." "ἴφθιμον μέγαν ἵππον." τινὲς δὲ σύνθετον φασὶν εἶναι τὴν λέξιν, ἰφίθιμος καὶ κατὰ συγκοπὴν καὶ μετάθεσιν τοῦ θ ἴφθιμος, τοῦ αὐτοῦ τῶν χρόνων ὑπερβιβασμοῦ γενομένου. ὥσπερ καὶ ἀπὸ τοῦ ὄρω βαρυτόνου τοῦ ὁρμῶ, οὗ ὁ μέσος παρακείμενος ὦρα, καὶ Ἀττικῶς ὄρωρα, καὶ μεταθέσει ὤρορα. τοῦτο[u] δὲ καὶ στοιχείου δύναται εἶναι μετάθεσις ἀλλ' ἡ τοῦ μέτρου χρεία τὸν χρόνον μᾶλλον ὑπερβιβασθῆναι δίδωσι. κακῶς δέ τινες μεταγράφουσι "πολλὰς δ' ἰφθίμους κεφαλὰς" ἵνα περιφραστικῶς τοὺς ἀγαθοὺς καὶ τοὺς γενναίους ἄνδρας λέγει κεφαλὰς, ὡς Ἱππῶναξ "ξανθὰ κάρηνα," ἀντὶ τοῦ αὐτοὺς τοὺς ἵππους· οὐ γὰρ τὰ σώματα τῷ ᾄδη καταπέμπονται ἀλλ' αἱ ψυχαὶ,

[t] Leg. χιλοῖο κατῆϊε. [u] In marg. γρ. οὕτως.

τοὺς γενικωτάτους ἐμφαίνει. τῶν τόπων τὸ προοίμιον, ποσὸν, πολλάς· ποιὸν, ἰφθίμους· οὐσίαν, ψυχάς· τόπον, ἄϊδι· χρόνον, προΐαψεν. ἡρώων, ἀξίωμα. ἰφθίμους, ἰσχυρὰς, γενναίας. ἴφθιμος οἱονεὶ ἰφίθυμος, καὶ κατ' ἐκβολὴν τοῦ ῑ ἴφθυμος, καὶ τροπῇ τοῦ ῡ εἰς ῑ ἴφθιμος, ὡς Ἀφροδύτη, Ἀφροδίτη.

Ib. ἄϊδι] Τῷ ᾅδῃ. ἀπὸ τῆς εὐθείας ἄϊς, ᾅδης δὲ ὁ θάνατος, παρὰ τὸ σκοτεινὸν καὶ ἀειδὲς τῆς τῶν ἀνθρώπων ἀπωλείας.

4. αὐτοὺς] Ἀντὶ τοῦ τὰ σώματα αὐτῶν. σημαίνει δὲ ἡ λέξις ε̄. τὴν μονότητα, ὡς τὸ

Τυδείδης δ' αὐτὸς περ ἐὼν προμάχοισιν ἐμίχθη.

τὸ σῶμα, ὡς τὸ νῦν. τὴν ὑπεροχὴν, ὡς τὸ "αὐτὸς παρεγένετο ὁ "βασιλεύς." τὸν τόπον, ὡς τὸ,

ἀλλ' ἄγετε μίμνετε πάντες ἐϋκνήμιδες Ἀχαιοὶ
αὐτοῦ,

ἀντὶ τοῦ αὐτόθι, ἐπὶ τὸν τόπον, καὶ αὐτὸς ἀντωνυμία.

Ib. ἑλώρια] Ἑλκύσματα, σπαράγματα, κτητικῷ τύπῳ, ἀντὶ τοῦ ἕλωρα ἐχρήσατο. χρειώδης δὲ καὶ ἡ τοῦ "ἔτευχε" παράτασις γέγονεν. ἕλωρ παρὰ τὸ ἕλω.

Ib. τεῦχε] Ἐποίει Ἰωνικῶς καὶ ποιητικῶς.

P. 2, 22. Τὸ πᾶν ἕλκουσι σῶμα. οἳ καὶ τίκτουσι δίχα ἄρρενος, εἰ καὶ μὴ πάντες ἤ. ἀ. ο. ἀ. πᾶσι προὔκειντο. ἢ ὅτι καὶ τὰ μὴ ἐσθίοντα προετρέπετο.

7. Ἀτρείδης τε] Μία ἡ ὀξεῖα, σπονδειακὸν γὰρ, χωρὶς εἰ μὴ ἐπιφέροιτο ὁ δυϊκὸς τῆς σφῶν ἀντωνυμίας. ὡς ἐπὶ τοῦ "τόξου "σφέων." "ἀλλ' ἤτοι σφέας." "κεῖσθεν τότε λιέσσεταί τε[u] "χρίσαί τε" καὶ "γενέσθαί τε, ταφέμέν τε," καὶ τὸ μὲν λιέσσεται[x], ἵνα ἀποφύγωμεν τὸ παρατατικὸν ῥῆμα. τὸ δὲ "γενέσθαί "τε," ἵνα τὸν διπλασιασμόν. πατρωνυμικῶς. ἀντωνομασία ὁ τρόπος ἀντὶ τοῦ Ἀγαμέμνονος, ὡς Ἀγελείη, καὶ Τριτογένεια ἀντὶ τοῦ Ἀθηνᾶ.

Ib. δῖος] Τὸ δι̅ μακρὸν ἀπὸ τοῦ Ζεὺς, ὃ κλίνεται Διὸς, καὶ ἐξ αὐτοῦ δίϊος ὁ ἀπὸ τοῦ Διὸς καταγόμενος, καὶ κράσει τῶν δύο ῑῑ εἰς ῑ μακρὸν δῖος.

8. τίς τ' ἄρ' σφῶε] Τίς δὴ αὐτοὺς τοὺς δύο Ἀγαμέμνονα καὶ

[u] Leg. ἠῶθεν δὲ μάλ' ἦρι λοέσσαι τε Od. T. 320. [x] λοέσσαι τε.

Ἀχιλλέα; πάλιν δὲ τοῦτο ὁ ποιητὴς ἐρωτᾷ τὴν μοῦσαν. ἐπὶ δὲ τὸ διηγηματικὸν μετιὼν οὐχ ὑποβάλλει τὰς διηγήσεις αὐτομάτως, ὡς μὴ τοῖς ἀκούουσι προσκορεῖς εἶναι δοκεῖν, ἀλλὰ διὰ πεύσεως καὶ ἀποκρίσεως αὐτῶν πεποίηται τὴν ἀνόρθωσιν· τὴν προθυμίαν καὶ δίψωσιν αὐτοῖς ἐπάγων τὴν ἀπόκρισιν φιλέλλην ὤν. ὡς γὰρ τὴν στάσιν τῶν ἀριστέων ἐπικλᾷ θεοῖς, ὡς οὐκ ἀθεεὶ τῶν τοιούτων ἀνδρῶν ἡκόντων εἰς ἅμιλλαν. δύο δὲ εἴδη θεῶν παρὰ τῷ ποιητῇ, τὸ μὲν εἰς ποίησιν συντελοῦν καὶ πάθεσιν ὑποκείμενον παντοδαποῖς, τὸ δὲ ἀκήρατον.

9. Λητοῦς καὶ Διὸς υἱὸς] Ὁ τῆς Λητοῦς καὶ Διὸς παῖς Ἀπόλλων, πάλιν δὲ ὡς ἀπὸ τῆς μούσης.

10. ἀνὰ στρατὸν] Κατὰ τὸ στρατόπεδον, παρὰ τὸ στερεῶς ἵστασθαι. ἢ παρὰ τὸ ἵστημι.

Ib. ὦρσε] Διήγειρεν ἐνέβαλεν, Αἰολικῶς, παρὰ τὸ ὄρρω τὸ διεγείρω.

Ib. κακὴν] Κακωτερὴν, παρὰ τὸ χάζω τὸ ὑποχωρῶ, χαζὸς καὶ κακός.

Ib. λαοὶ] Ὄχλοι. λάες δὲ κατὰ διάλεκτον οἱ λίθοι λέγονται.

11. ἀρητῆρα τὸν ἱερέα, παρὰ τὸ ἀρᾶσθαι, ὅ ἐστιν εὔχεσθαι. τὰ δύο ὀνόματα καθ' ἑνὸς προσώπου λέγονται, ὧν τὸ μέν ἐστι κύριον, τὸ δὲ ἐπίθετον καὶ προσηγορικόν. τὰ ἄρθρα οὖν ἐν τοῖς κυρίοις ἐν τῷ πολιτικῷ λόγῳ ἐντάττειν προσῆκεν. οἱ μέν τοι ποιηταὶ ἐν τούτῳ ἐντάττουσιν, ὡς καὶ ὁ ποιητὴς ἐνταῦθα, ἡ κατὰ "τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα," ἀντὶ τοῦ εἰπεῖν Χρύσην τὸν ἀρητῆρα. Καὶ ἄλλως—Χρύσην ἀρητῆρα, ὑπερβατὸν, ἀρητῆρα Χρύσην. τὰ γὰρ ἐπιθετικώτερα συνταττόμενα κυρίοις ἢ προσηγορικοῖς τὰ ἄρθρα δέχονται, εἰ μὴ ἐπαγόμενα ῥήματα πρωτότυπα κατηγοροίη, τότε γὰρ ἀδιαφορεῖ τὸ ἄρθρον. "τὸν Χρύσην ἀρητῆρα" ὠνόμασε τὸν ἀρητῆρα Χρύσην. ἔστιν οὖν ὡς τοῦ "παιδὸς ἀγαυοῦ," "ὁμόχλη ἐλάϊνοῦ[y]." ἀρητὴρ δὴ παρὰ τὸ αἴρειν τὰς χεῖρας εἰς προσευχὴν, ἢ παρὰ τὸ ἀρέσκειν τῷ θεῷ. καὶ πάλιν παρὰ τάξιν ἐχρήσατο τῷ ἄρθρῳ, ἐχρῆν γὰρ εἰρηκέναι τὸν ἀρητῆρα Χρύσην. ὁπόταν γὰρ δύο ὀνομάτων συνταττομένων, τὸ μὲν κύριον ᾖ, τὸ δὲ προσηγορικὸν, τὸ ἄρθρον οὐ τῷ κυρίῳ ἀλλὰ τῷ προσηγορικῷ συντάτ-

[y] Sic.

τομεν. ὁπόταν δὲ δύο ὀνόματα ὧν τὸ μὲν προσηγορικόν ἐστι, τὸ δὲ ἐπίθετον, τὸ ἄρθρον οὐ τῷ προσηγορικῷ ἀλλὰ τῷ ἐπιθέτῳ συντάξομεν. οὐδεὶς γὰρ ἐρεῖ τὸν γραμματικὸν καλὸν, ἀλλὰ τὸν καλὸν γραμματικὸν, τὸ ἄρθρον τῷ ἐπιθέτῳ οὐ τῷ προσηγορικῷ.

12. Θοὰς, ταχείας παρὰ τὸ θέω τὸ τρέχω, σημαίνει δὲ καὶ ὀξείας ὡς ἐν ἐκείνοις,

ἐν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσιν.

Ib. ἐπὶ νῆας] Ἐπὶ τὰς ναῦς, ὅ ἐστι τὰ πλοῖα παρὰ τὸ νῶ τὸ κολυμβῶ.

15. Χρυσέῳ ἀνὰ σκήπτρῳ] Παρὰ τῷ κεχρυσωμένῳ σκήπτρῳ, ὅ ἐστι τῇ χρυσῇ ῥάβδῳ τῇ βασιλικῇ, ἵνα εἰ μὲν εἶεν θεοσεβεῖς, τὸ στέμμα, εἰ δὲ φιλοχρήματοι, τὰ ἄποινα, εἰ δὲ οἰκτίρμονες, τὸ γῆρας αἰδεσθῶσιν. ὁ δὲ στίχος ἔχει τὴν καλουμένην περὶ τῷ μέτρῳ συνίζησιν.

P. 4, 37. Ὅθεν εὐλόγως κέχρηται ταῖς ἀραῖς κατ' αὐτῶν. ἡ γὰρ ἀνάγκη καὶ τοῖς οἰκείοις αὐτῷ ἐπαρᾶσθαι ποιεῖ, καὶ εἰκότως. οὐκ ἀνεχόμενοι γὰρ κολάζειν Ἀλέξανδρον, αὐτῷ τε καὶ τοῖς ἀγχιστεύουσι κακῶν πρόξενοι γεγένηνται.

24. θυμῷ] Τῇ ψυχῇ. κυρίως δὲ λέγεται θυμὸς μέρος τῆς ψυχῆς. τρία δὲ αὐτῆς εἶναι μέρη ὁ Πλάτων φησί. τὸ μὲν λογικὸν ἐν τῇ κεφαλῇ καθιδρυμένον, τὸ δὲ θυμικὸν ἐν καρδίᾳ, τὸ δὲ ἐπιθυμητικὸν ἐν ἥπατι, τὸ περὶ γαστέρα καὶ τὰ λοιπά. καὶ τοῦ μὲν λογιστικοῦ ἐστὶν ἀρετὴ φρόνησις, κακία δὲ ἡ ἀφροσύνη. τοῦ δὲ θυμικοῦ ἀρετὴ ἀνδρεία, κακία δὲ δειλία. τοῦ δὲ ἐπιθυμητικοῦ ἀρετὴ ἐγκράτεια, κακία δὲ ἀκρασία. ποτὲ μὲν οὖν ὁ θυμὸς παρὰ τῷ ποιητῇ σύμπασαν τὴν ψυχὴν σημαίνει, ὡς ἐν τούτῳ,

ἔνθ' ὅγε τοὺς ἐξενάριζε, φίλον δ' ἐξαίνυτο θυμόν.

ἐνίοτε δὲ, τὰ μέρη αὐτῆς· τὸν μὲν λογισμὸν οὕτως,

ἕτερος δέ με θυμὸς ἔρυκε.

τὸ δὲ θυμικὸν οὕτω,

σὺ δὲ μεγαλήτορα θυμὸν
ἴσχε ἐνὶ στήθεσι. φιλοφροσύνη γὰρ ἀμείνων.

τὸ δὲ ἐπιθυμητικὸν οὕτως,

ᾧ θυμῷ εἴξας μίγη φιλότητι καὶ εὐνῇ.

26. κιχείω] Καταλάβω. μετὰ σπουδῆς ὁ Ἀγαμέμνων ἀπε-

λαύνει τὸν Χρύσην. εἰ γὰρ ὅτι παρὼν δυσωπεῖ τοὺς Ἕλληνας. καὶ οὐ τοῦτο δὲ λέγει ὅτι γηράσας αὐτὴν ἀποδώσει, ἀλλ' ὅτι πρότερον γηράσει ἢ ἐκείνῳ ἀποδοθήσεται· ἀποτρέπει δὲ αὐτὸν, ἀρκτικὸν γὰρ τὸ μὴ ἐπιτρέπειν τοῖς ἀρχομένοις τὰς κρίσεις· ἄλλως τε οὐκ ἐπεκυρικεύετο ἀλλὰ τὸ τοῦ βασιλέως γέρας ᾔτει παρὰ πρύμνῃ Ἀγαμέμνονος, ὥσπερ καὶ ἀλλαχοῦ φησι, "τῷ δὲ Ἀγαμέμνονι ἀντίος γξ'."

27. ἢ νῦν] Ἢ ἐν τῷ παρόντι καιρῷ· τὸ νῦν τὸν ἐνεστῶτα ἐσήμανε.

Ib. δηθύνοντα] Ἐγχρονίζοντα ἀπὸ τοῦ δῆθα.

Ib. ἢ ὕστερον] Ἢ ἐκ δευτέρου· ἐκ τῆς ὑπὸ προθέσεως, ὑπότερον, καὶ κατὰ συγκοπὴν ὕστερον.

28. μή νύτοι] Μὴ οὐκ ἄν σοι.

Ib. σκῆπτρον] Ἡ βασιλικὴ ῥάβδος, παρὰ τὸ σκήπτεσθαι τὸ ἐπερείδεσθαι.

30. ἐν Ἄργεϊ] Ἐν Ἄργει, ὅ ἐστι τῇ Πελοποννήσῳ νῦν καλουμένῃ. Ὁ δὲ Ἀγαμέμνων ἦν τῆς Μυκήνης πόλεως Αἰγιαλικῆς[y]. ἡ γὰρ Πελοπόννησος τὸ ἀρχαῖον Αἰγιάλεια ἐκαλεῖτο ἀπὸ Αἰγιαλέως τοῦ υἱοῦ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ Μελίας τῆς Ὠκεανοῦ. ὕστερον δὲ πάλιν Ἄπια ἐκλήθη, ἀπὸ τοῦ Ἄπιος τοῦ Φορωνέως παιδὸς, εἶθ' οὕτως Ἄργος κ. τ. λ.[z].

Ἰστέον ὅτι αἱ τοιαῦται δοτικαὶ, ἐὰν μὲν ἐπιφέρηται σύμφωνον, διαιροῦνται, "Διομήδεϊ Παλλὰς Ἀθήνη." εἰ δὲ φωνῆεν, οὐχί· "σῷ θάρσει ὅτ' ἐμὸν," ἐὰν μὴ κωλύσῃ μέτρον. οἷον, "ἐν δὲ φάει κάλεσον[a]" "χαριζόμενος πόσεϊ ᾧ." τινὰ δὲ καὶ χωρὶς μέτρου παρήλλακται, "πλήθει πρόσθ' ἔβαλόντε[b]" "μετέπειτα δὲ ἡδέϊ οἴνῳ."

31. ἱστὸν ἐποιχομένην] Ἱστουργοῦσαν καὶ ὑφαίνουσαν. [c]Αἱ πάλαι γυναῖκες ἑστῶσαι ὕφαινον, καὶ ἐπιπορευόμεναι τὸν ἱστὸν, πρώτην δὲ γυναῖκα Αἰγυπτίαν Ὕρ[d] τὸ ὄνομα, καθεζομένην ὑφάναι φασι, ἀφ' ἧς καὶ Αἰγύπτιοι τῆς Ἀθηνᾶς ἄγαλμα ἱδρύσαντο, ὥς φησιν Ἔφορος ἐν τοῖς εὑρήμασι[e].

[y] In marg. γρ. ἀργολικῆς. [z] Vid. Ed. p. 4. [a] Leg. καὶ ὄλεσσον. [b] Leg. πρόσθε βαλόντες Il. Ψ. 639. [c] Id. Schol. videtur habere Cod. Neapol. 159. Salv. Cyrill. Cat. Codd. Gr. Reg. Bibl. Borbon. p. 141. [d] υἱὸν Cod. Neap. [e] Sic et Cod. Neapol. teste Salvat. in Catal. sed fors. leg. Θεόφραστος.

33. ἔδδεισεν] Ἐφοβήθη, εὐλαβήθη, λίαν ἀνέλπιδος γενομένου, ἄπεισι· διδάσκει δὲ ὁ ποιητὴς ἥκειν ταῖς ὑπερβολαῖς· καὶ ἐπείσθη, ἀντὶ τοῦ οὐκ ἀντέπρασσεν· οἰκείως δὲ τὸν ἠτιμασμένον καὶ φοβούμενον γέροντα καλεῖ πλεονεκτιζόμενον.

34. βῆ] Ἔβη, ἐπορεύθη, τὸ σχῆμα ἀφαίρεσις Ἰωνικὴ καὶ ποιητική.

Ib. ἀκέων] Ἡσυχάζων, σιωπῶν παρὰ τὴν ἀκὴν, τοῦτο παρὰ τὸ χέω, ἀκέω καὶ ἀκήν.

Ib. παρὰ θῖνα] Παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης, ὃς οὕτω κέκληται ἀπὸ τοῦ θίνεσθαι, ὅ ἐστι τύπτεσθαι τῇ προσρήξει τῶν κυμάτων. ἔστι δὲ καὶ ἀρσενικὸν,

ἐκβάντες ἐπὶ θῖνα βαθὺν καὶ ἐπήνεμον.

Ib. πολυφλοίσβοιο θαλάσσης] Πολυήχου, πολυταράχου· ὀνοματοποιΐα ὁ τρόπος.

36. ἄνακτι] Τῷ βασιλεῖ, νῦν δὲ θεῷ τῷ Ἀπόλλωνι· ἢ ὅτι ὁ αὐτός ἐστι τῷ ἡλίῳ, μείζων δὲ τῶν φαινομένων, ἢ ὡς μαντικὸν αὐτὸν ἄνακτα ὁ ποιητής φησι, ἢ τῷ ἰδίῳ ἄνακτι.

Ib. ἠΰκομος] Εὔκομος, ἀπὸ μέρους καλὴ, ὁ τρόπος παραβολή· ἔγνωμεν γὰρ ὅτι Λητοῦς καὶ Διὸς υἱός· ἐκτέταται διὰ τὸ μέτρον.

Ὅρα δὲ καὶ κατὰ ἀλληγορίαν τάδε. ὁ κατὰ φυσικὸν λόγον Ἀπόλλων, ὁ ἥλιος ὢν, ἀναπίνει τὰ ὑγρὰ στοιχεῖα· Ἀθηνᾶ δὲ ἡ φρόνησις, Ἄρης ἡ ἀφροσύνη, Ἀφροδίτη πορνεία, ἐναντία καὶ πολέμια ταῦτα ἀλλήλων. Ἥρα δέ ἐστιν ἀὴρ, Ἄρτεμις δὲ σελήνη ἀερότομός τις οὖσα, ἡ τὸν ἀέρα τέμνουσα, Ἑρμῆς δέ ἐστιν ὁ λόγος, Λητὼ δὲ ἀμνημοσύνη, οἷον λήθη τίς τῶν λόγων· Ἥφαιστος δὲ τὸ πῦρ, Ξάνθος δὲ τὸ ὑγρὸν, ἀλλότριον δὲ τὸ πῦρ τοῦ ὑγροῦ· ἡ οὖν τῶν θεῶν μάχη περιέχει φυσικῶν στοιχείων πρὸς στοιχεῖα ἀντίταξιν, κακιῶν δὲ πρὸς ἀρετάς. Ἀπόλλων μὲν γὰρ ἐναντιοῦται τῷ Ποσειδῶνι, τὸ μερικὸν πῦρ τῷ πάντῃ ὑγρῷ· Ἀθηνᾶ δὲ ἡ φρόνησις τῷ Ἄρει, τῇ ἀφροσύνῃ· Ἥρα δὲ τῇ Ἀρτέμιδι, ὁ περίγειος ἀὴρ τῇ σελήνῃ· Ἑρμῆς Λητοῖ, ὁ λόγος τῇ λήθῃ, Ἥφαιστος δὲ Ξάνθῳ, τὸ ὅλον πῦρ μένει[e] τῷ ὕδατι. τὸ μὲν γὰρ τῆς Σικελίας ὕδωρ κεκερασμένον ἔχει πῦρ, καὶ φλόγα μὲν ὄψει κάτωθεν ἀπ'

[e] Sic.

αὐτῆς ἀλλομένην ἄνωθεν [f] γήθοντι δέ σοι τὸ ὕδωρ ψυχρόν ἐστιν, οἷον περ χιὼν, οὕτω πυρὸς [g]

39. ἔρεψα] Ὠρόφωσα, ἐστεφάνωσα.

P. 6, 28. Ed. Ἢ παρὰ τῷ ἐρίῳ αὐτὸν πλέκεσθαι. ἐξ ὅλων οὖν τῶν ἐτυμολογιῶν ἡ ει δίφθογγος αἰτεῖται· μηδεὶς δὲ ἡμᾶς νεμεσητοὺς ἀποφήνειεν, ὡς εἰκῇ τὸ εἰραφιώτης ἐνταῦθα γράψαντας· οὐ γάρ ἐστι τοῦ ποιητοῦ, ἀλλ' Ἀλκαίου [h], "ἐρραφεώτου γὰρ ἄναξ [i]."

41. τόδέ μοι] Τοῦτο δέ μοι, ὀξύνεται τὸ το δεικτικῶς, ὡς ἐπὶ τοῦ Κύκλωπος, "τό δέ τοι ξυνήϊον ἔστω."

P. 6, 34. Ed. Ἡρωδιανὸς ἕν. Ἀρίσταρχος ὀξύνει τὸ δὲ, ὁμοίως τῷ "τό δέ τοι ξυνήϊον ἔσται," ἵν ᾖ δύο μέρη λόγου. Πτολεμαῖος δὲ ἓν ποιῶν ἐπὶ τὸ το τίθησι τὴν ὀξεῖαν· ἐπείσθη δὲ ἡ παράδοσις Ἀριστάρχου.

Ib. κρήηνον] Ἐπιτέλεσον, καὶ κρανᾶν ἐπιτελέσαι, οἷον παρὰ κεφαλὴν ἐπιθεῖναι τῷ πράγματι· γίνεται δὲ ἐκ τοῦ κρανῶ ἔκρηνα κρῆνον, καὶ πλεονασμῷ κρήηνον.

42. τίσειαν] Τιμωρήσοιεν ὅ ἐστι παράσχοιεν, ἤτοι τιμήσειαν τὰ ἐμὰ δάκρυα τοῖς σοῖς βέλεσιν, ὥστε εἶναι αἰτιατικὴν ἀντὶ γενικῆς.

Διατί δὲ ὁ Ἀπόλλων ὑπὲρ τοῦ Χρύσου οὐ τὸν Ἀγαμέμνονα, ἀλλὰ τοὺς Ἕλληνας ἐτιμωρήσατο; καίτοι οἱ μὲν ἐκέλευον,

αἰδεῖσθαι θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα,
ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ.

ἢ ὅτι οὕτως ηὔξατο ὁ ἱερεὺς

τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσι,

διατί ὁ ἱερεὺς οὕτως ηὔξατο ἀδίκως, "τίσειαν Δαναοί;" ἢ ὅτι εἰ μὲν Ἀγαμέμνων ἀπώλετο, ᾤχοντο ἂν ἀποπλέοντες, καὶ οὐδὲ ἀπεδόθη ἡ Χρυσηῒς, σωζομένου δὲ τοῦ βασιλέως, ὁρῶντες τὰ γιγνόμενα, μένειν τε ἔμελλον καὶ ἀποδώσειν ἐκβιάσασθαι τῷ αἰτίῳ τῆς μήνιδος τὴν Χρυσηΐδα.

43. τοῦ δ' ἔκλυε] Τούτου δ' ἐπήκουσε.

f In marg. δὲ τὸ ὕδωρ. g Vacuum spatium. h ἀλκέου Cod.
i Sic. fors. leg. ἄνακτος.

Ib. φοῖβος] Καθαρὸς, ἀμίαντος ἢ μαντευτικὸς, φοῖβον δὲ τὸν καθαρόν.

44. κῆρ] Ὀξυτόνως μὲν τὴν ψυχὴν, περισπωμένως δὲ τὴν θανατηφόρον μοῖραν· εἴρηται δὲ κὴρ παρὰ τὴν καῦσιν, τὸ γὰρ ἔμφυτον θερμὸν τῇ ψυχῇ· ἔνιοι δέ φασι περισπωμένως τὴν λέξιν δηλοῦν τὴν ψυχήν.

48. Ἔπειτα, μετὰ ταῦτα. τῷ εἶτα προσετέθη ἡ ἐπὶ πρόθεσις, λοιπὸν γέγονεν ἐπίειτα, καὶ κατὰ κρᾶσιν ἔπειτα, καὶ ἀπετελέσθη σύνδεσμος.

Ib. ἰὸν] Τὸ βέλος, διὰ τὸ βλαπτικὸν ἤδη ἰοὺς ὀνομάζει.

49. βιοῖο] Τῆς τοῦ τόξου νευρᾶς. Ἀριστάρχου ὁ τόνος τῆς βιὸς ὀξυτόνος, διὰ τὴν πρὸς τὸν βίον ἀντιδιαστολήν· ἔοικε γὰρ ἀπὸ τῶν ἀρχαίων ὁμωνύμως λέγεσθαι βιὸς τὸ τόξον καὶ ἡ ζωὴ, Ἡράκλειτος οὖν ὁ σκοτεινὸς "τῷ οὖν τόξῳ ὄνομα βίος, ἔργον δὲ "θάνατος·" ἤτοι οὖν παρὰ τὴν βίαν τῆς τάσεως τοῦ ὅπλου οὕτω κεκλῆσθαι, ὅτι δι' αὐτοῦ τὰ πρὸς τὸν βίον οἱ ἀρχαῖοι εἶχον ἐν ταῖς θήραις αὐτῷ χρώμενοι [1].

Ib. οὐρῆας] Οὐρεῖς ἤτοι ἡμιόνους, ἐκ τῆς ὀρεὺς ὀρέως καὶ Ἰωνικῶς οὐρῆας.

Ib. κύων] Γίνεται παρὰ τὸ κύω ῥῆμα, ὃ σημαίνει τὸ φιλῶ, τοιοῦτον γὰρ τὸ ζῶον, ἱλαρὸν ἀεὶ πρὸς τοὺς οἰκείους καὶ οἱονεὶ ἀσπαζόμενον αὐτούς.

Ib. ἐννῆμαρ] Ἐπὶ ἐννέα ἡμέρας, ἐπίρρημα, ἐννῆμαρ, ἑξῆμαρ, αὐτῆμαρ· τὸν λοιμόν φησιν ἐπὶ ἐννέα ἡμέρας κατασχεῖν τὸν στόλον τῶν Ἑλλήνων, ὅτι εὐεπίφορός τις ἐστὶν ὁ ποιητὴς ἐπὶ τὸν ἀριθμὸν τὸν ἐννέα· φησὶ γοῦν "ἐννέα πάντες ἀνέσταν." καὶ "ἐν"νέα δέ σφεας κήρυκες βοῶντες ἐρήτυον." ἢ ὅτι περὶ φθορᾶς ἀνθρώπων διαλέγεται, ὁ γὰρ τῶν ἐννέα ἀριθμὸς τοῖς καταχθονίοις θεοῖς ἀνεῖται· ἐχρῆν τὸ ἐννῆμαρ προπαροξύνειν, ἥπερ οὐδὲν ἕτερον συγκείμενον, ἀλλ' ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις· οὐδὲν γὰρ εἰς $\overline{\alpha\rho}$ συντέθειται οὐδέτερον. καθόλου μὲν τὸν περιττὸν ἀριθμὸν κρείσσονα τοῦ ἀρτίου νενόμικεν Ὅμηρος, ὅν περ καὶ οἱ περὶ Πυθαγόραν φιλόσοφοι μάλιστα ἐκράτυναν, ἐπειδήπερ ἐστὶν ἀδιαίρετος

[1] Cf. Etym. M. p. 198, 24.

ὁ περιττὸς ἀεὶ, τῆς μονάδος ἐν αὐτῷ περιούσης· ὁ δὲ ἄρτιον τὴν ἐνθάδε διαίρεσιν ἐπιδέχεται, καὶ ὁ μὲν περιττὸς γόνιμος ἐστὶ, συντιθέμενος γὰρ ἑαυτῷ γεννᾷ τὸν ἄρτιον· ὁ δὲ ἄρτιος οὐδέποτε γεννᾷ τὸν περιττόν· μάλιστα γὰρ τὸν ἐννέα ἀριθμὸν τέλειον ἡγεῖται. ἔστι δὲ ἀπὸ τοῦ πρώτου περισσοῦ, τετράγωνος περιττός.

55. λευκώλενος] Λευκοβραχίων, ἀπὸ μέρους καλὴ, ὁ δὲ τρόπος σωματοποιΐα, ὠλέναι γὰρ αἱ χεῖρες παρὰ τὸ ὀλοῦσθαι ἐν αὐταῖς.

58. παλιμπλαγχθέντας] Εἰς τοὐπίσω πλανηθέντας, ἀπελθεῖν νῦν ἡμᾶς εἰς τοὐπίσω πλανηθέντας, ὑπολαμβάνω μάτην ἐπανακάμψειν εἰς τὰ οἰκεῖα, ἐάν περ δὴ ὅλως τὸν θάνατον ὑπεκφύγωμεν. ὅτι οὐκ ἐκ ῥήματος ἡ σύνθεσις τῆς μετοχῆς, ἀλλὰ συντέθειται δὴ τῷ "ἂψ ἀπονοστήσειν."

Ib. ἀπονοστήσειν] Ἐπανελθεῖν, ὑποστρέψειν· νόστος γὰρ ἡ εἰς οἶκον ἀποστροφὴ, παρὰ τὸ τῆς πατρίδος ἡδύ.

60. μάντιν ἐρείομεν] Γένος τί ἡ μαντικὴ διαιρούμενον εἰς εἴδη τρία, εἰς οἰωνοσκοπίαν, ἀεροσκοπίαν, καὶ εἰς τὴν διὰ τῶν ὀνειράτων. ταῦτα αὐτῆς τὰ κύρια καὶ κρυφαῖα· ἔχει καὶ ἄλλας ὑποδιαιρέσεις, διὰ θυμιαμάτων, καὶ διὰ τῆς τομῆς τῶν ζώων, καὶ ἡπάτων, καὶ τῶν λοιπῶν.

76. τοὶ γὰρ ἐγὼν ἐρέω] Ἐγὼ μὲν οὖν εἴπω, οὐκ ἔστιν ἀντωνυμία, οὐδέποτε γὰρ ἀρσενικὴ ἡ τοι, ἀλλὰ δὴ σπανιως.

78. χολωσέμεν] Εἰς ὀργὴν ἐμβάλλειν, παρὰ τὸ χόλος, τοῦτο παρὰ τὸ χέω.

80. χέρηϊ] Ἔστι χερείων χερείονος χερείονι, καὶ κατὰ συγκοπὴν τῆς ου χέρειϊ, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δύο ιι τροπῇ τῆς ει διφθόγγου εἰς η χέρηϊ, καὶ ἔστι συγκριτικόν.

120. λεύσετε] Ἴδετε καὶ θεάσασθε ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν.

121. ποδαρκὴς] Ἤτοι τοῖς ποσὶ ταχὺς, ἢ ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος, ὁ ἄλλοις ἀρκῶν τοῖς ποσὶν, ὡς τὸ λαοσσόος.

122. κύδιστε] Ἐνδοξότατε, παρὰ τὸ κυῶ τὸ φιλῶ, τὴν γὰρ δόξαν πάντες φιλοῦμεν.

123. Ἀχαιοὶ] Οἱ Ἕλληνες, Ἀχαιοὺς καὶ Δαναοὺς καὶ Ἀργείους ὁ ποιητὴς καλεῖ τοὺς Ἕλληνας· Δαναοὺς μὲν ἀπὸ Δαναοῦ

τοῦ Βήλου τοῦ Ποσειδῶνος· Ἀχαιοὺς δὲ ἀπὸ Ἀχαιοῦ τοῦ Ξούθου [i] καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς, Ἀργείους δὲ ἀπὸ Ἄργου τοῦ Ἄπιδος καὶ Νιόβης τῆς Φορωνέως, Ἕλληνας δὲ ψιλῶς καλεῖ τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ λέγων,

Μυρμηδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

124. ξυνήϊα] Τὰ κοινὰ χρήματα, ἀπὸ τοῦ ξῦνον, ξύνειον Ἰωνικοῦ, ἢ διαιρέσει.

125. ἐξεπράθομεν] Ἐξεπορθήσαμεν, ἀπὸ τοῦ πέρθω τὸ πορθῶ, ὁ δεύτερος ἀόριστος ἔπραθον.

Ib. δέδασται] Μεμέρισται ἀπὸ τοῦ δαίω τὸ μερίζω, καθ᾽ ὑποστολὴν τοῦ ῑ.

126. παλίλλογα] Παλινσύλλεκτα, ἐκ τοῦ πάλιν καὶ τοῦ λέγω τὸ συλλέγω. ἀντὶ τοῦ οὐ δίκαιόν ἐστιν εἰς τὸ αὐτὸ πάλιν συλλέγειν τοὺς Ἕλληνας κ. τ. λ. [k]

Ib. πόλιν Τρωΐην] Τὴν Τρωϊκὴν πόλιν, λέγει δὲ τὴν Ἴλιον τρισυλλάβως, σημαίνει γὰρ Τρωϊκὴν, ὅπου γὰρ δισυλλάβως λέγεται οὐκ ἐπιφέρει πόλιν, οὐ μάχεται τὸ

Ἐπεὶ Τροίας ἱερὸν πτολίεθρον,

κατὰ γὰρ κτητικὴν σύνταξιν ἐπηνέχθη τῇ γενικῇ, ἔνθεν οὐ διαιρέθη Τρωΐην τρισυλλάβως περὶ Τροίαν ὁ λόγος, ἀπό τε τοῦ εὐτείχεος, καὶ τοῦ τὴν πᾶσαν αὐτοὺς ὁρμὴν περὶ ταύτης εἶναι. εἰσὶ δὲ [l] ὅτε δισύλλαβός φασιν "οὐκ ἂν ἔρρυστο πόλιν" καὶ ἐν ἐκείνῳ καὶ τρισύλλαβος ἐστι, καί τοι ἀμφὶ πόλιν Τρωΐην, Τρωΐην δὲ κτητικόν· ἐκ τοῦ Τρὼς, Τρωὸς Τρωϊκὸς, καὶ ἀποβολῇ τοῦ κ̄ Τρώϊος, τοῦ τόνου ἀναδιδομένου, ὥσπερ Ὀλυμπικὸς Ὀλύμπιος, καὶ Τρώϊος Τρωΐα, Ἰωνικῶς Τρωΐη. συστολῇ ποιητικῇ τοῦ ω εἰς ο̄ διὰ τὸ μέτρον, καὶ ἐν συναιρέσει Τροία, Τροίη.

129. ἐξαλαπάξαι] Ἐκπορθῆσαι, καταστρέψαι, ἔμφασιν ἔχει ἡ προσθήκη τῆς προθέσεως ἐκ τοῦ ἀλαπάζω. P. 14, 45. ἀγνοηθῆναι ὅτι εἴη ἀνήρ· σπανιάκις τὴν γενειάδα φέρων· γίνεται δὲ ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ, ὅπερ ἔγνωμεν διὰ διφθόγγου, καὶ γὰρ τῷ ἔοικα παρέκειτο· εἴρηται δὲ πολλάκις ὅτι ὥσπερ ἀπὸ τοῦ σθένω Σθένελος, πέμπω πέμπελος, ἄγω ἄγελος καὶ ἄγγελος, εἴδω εἴδελος καὶ

[i] ξάνθου Cod. [k] Vid. Ed. pag. 14. [l] Sic.

εἴδωλον, καὶ ἀείδελος, οὕτω καὶ ἀπὸ τοῦ εἴκω εἴκελος, καὶ ἐν συνθέσει θεοείκελος· τὸ δὲ ἁπλοῦν τούτου διφορεῖται, τὸ δὲ σύνθετον ἀεὶ διὰ διφθόγγου γράφεται.

133. αὔτως] Τὸ αὔτως εἰ μὲν δασύνεται γίνεται ἐκ τοῦ οὕτως, κατὰ τροπὴν τοῦ ō εἰς α, καὶ σημαίνει τὸ ὁμοίως· εἰ δὲ ψιλοῦται σημαίνει τὸ ματαίως, πολλὴ δὲ τούτου παρ' Ὁμήρῳ ἡ χρῆσις· γίνεται δὲ παρὰ τὸ ἔω ἐτὸς ἀέτος μετὰ τοῦ στερητικοῦ α ὁ μάταιος, οἱονεὶ ὁ μὴ ἀληθὴς ὑπάρχων, καὶ τὸ ἐπίρρημα ἀέτως, καὶ κράσει αὔτως.

P. 15, 43. Λαοδίκη ἡ Κύκνου· ταῦτα δὲ αἰνιγματωδῶς λέγει, τὸ δὲ ὅλον ἀπετείνετο πρὸς Ἀχιλλέα.

148. ὑπόδρα] Ὑπόδεινα, καὶ συγκοπῇ τῆς $\overline{ει}$ διφθόγγου καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον.

149. ἐπιειμένε κερδαλεόφρον] Ἠμφιεσμένε, πανοῦργε τὸ φρόνημα, ἢ περικερδῆ τὸν νοῦν ἔχων, τουτέστι κερδαίνειν φρονῶν, ὡς ὄψα ἐσθίειν, καὶ ὄψα φαγεῖν, ἁπλᾶ μὲν ὄντα μέσα ἐστὶ, συντιθέμενα δὲ ψόγον δηλοῖ· φυλάσσει δὲ τὸν τόνον τὰ παρὰ τὸ φρὴν, τὰ δὲ ἄλλα ἀναπέμπει, πλὴν τοῦ Λακεδαίμων.

P. 17, 4. Μήτε ἀστυγείτονα· ἔστι δὲ Θεσσαλίας ὄρη μέγιστα, τὸ Πήλιον καὶ ἡ Ὄσσα καὶ ἄλλα τινά.

163. ὁππότ' Ἀχαιοὶ] Δωρικῶς τὸ $\overline{π}$ καὶ $\overline{τ}$ καὶ τὸ $\overline{σ}$ καὶ τὸ $\overline{δ}$ ἀναδιπλασιάζεται, οἷον ἔδδεισαν, ὁππόταν.

166. ἀτὰρ ἦν ποτε] Ἐζήτηται πότερον τὸ ἀτὰρ ἐκ τοῦ αὐτὰρ, ἢ τὸ αὐτὰρ ἐκ τοῦ ἀτὰρ ἐκφέρεται; καὶ φαμὲν ὅτι εἰ ἦν τὸ ἀτὰρ ἐκ τοῦ αὐτὰρ κατὰ ἀποβολὴν τοῦ ῡ, ἐξέτεινε τὸ δίχρονον, ὡς τὸ καίω κάω, ναίω νάω· ἀλλ' οὐδὲ τὸ αὐτὰρ πάλιν κατὰ πλεονασμὸν Αἰολικὸν τοῦ ῡ ἐκ τοῦ ἀτὰρ, ἐπὶ γὰρ τῶν καθαριευόντων τοῦτο ποιοῦσιν, οἷον Ἄρεος ἄρευχος, ἢ ἐχόντων τὸ $\overline{ρ}$· φαμὲν οὖν ποιητικὸν εἶναι πλεονασμὸν τοῦ ῡ ἐν τῷ αὐτάρ.

Ib. ἐπειὴ] Ἐπειδή· τὸ η ψιλούμενον καὶ περισπώμενον δηλοῖ σύνδεσμον παραπληρωματικὸν, ἐνταῦθα δὲ ἴσον τῷ $\overline{δη}$, "ἐπειδὴ "πολὺ φέρτερον ἐστίν." ἔστι δὲ καὶ ἀπορηματικὸν ἀντὶ τοῦ ἆρα·

ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο;
ἦ μοῦνοι φιλέουσιν ἀλόχους;

ἔστι δὲ καὶ ῥηματικὸν ἀντὶ τοῦ ἔφη, "ἦ καὶ κυανέῃσιν." ψιλούμενον δὲ καὶ βαρυνόμενον δηλοῖ σύνδεσμον διαζευκτικὸν, "ἢ εὖ ἠὲ "κακῶς." καὶ συναπτικὸν ἴσον τῷ νῆ,

ἢ καὶ γένει ὕστερος ἦεν.

καὶ ἀντὶ τοῦ πότερον, "ἢ ὅγε φάσγανον ὀξύ." ἐν ἐνίοις δὲ παρέλκεται,

ἀλλὰ τίη μοι φίλος διελέξατο θυμός;

δασυνόμενον δὲ καὶ βαρυνόμενον ἄρθρον θηλυκὸν προτακτικὸν "ἥδ' "ἑτέρη θ' ἐρέῃ," καὶ ὑποτακτικὸν, "ἣ μυρί' Ἀχαιοῖς." καὶ ἀντωνυμία ἀναφορικὴ, "ἥγ' ἀμφιπόλοισι." πάλιν δὲ ψιλούμενον καὶ περισπώμενον κεῖται παραλλήλως ἤγουν βεβαιωτικῶς, "ἦ δὴ "λοίγια ἔργα." καὶ ἢ ἤπερ διασαφητικὸν, "ἢ ἀφνειότερος ἐστὶ" μετὰ ἤθους,

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.

Πορφύριος δὲ διαζευκτικὸν ἀντὶ τοῦ καὶ ἀπολέσθαι ἐγώ· δασυνόμενον δὲ καὶ περισπώμενον ἀντὶ τοῦ ὡς "ᾗ θέμις ἐστί."

170. οὐδέ σ' ὀΐω] Οὐχ ὑπολαμβάνω δέ σε, οὐ σοὶ ὀΐω, τὸ τέλειον, οὐχ οἶμαί, φησιν, ἐγὼ ὁ νῦν ὑπὸ σοῦ ἀτιμαζόμενος ἐνταῦθα ἔτι ἕξειν ἀφορμὴν πλοῦτον συναθροίσειν· ἐμοῦ ἀπόντος, οὐκ ἀπαντλήσεις πλοῦτον.

171. ἐνθάδ' ἄτιμος ἐὼν] Ἐνταῦθα ἀτιμαζόμενος, ἐνήλλακται δὲ ἡ πτῶσις, ἀντὶ γὰρ γενικῆς κέχρηται ὀνομαστικῇ, καὶ ἔστι σχῆμα.

Ib. ἄφενος] Ὁ ποιητὴς οὐδετέρως χρῆται τῇ λέξει, τινὲς δὲ καὶ ἀρσενικῶς, γίνεται δὲ ἐκ τοῦ ἔνος τοῦ σημαίνοντος τὸν ἐνιαυτόν· ἄφενος προπαροξυτόνως ὁ πλοῦτος· ἀφενὸς δὲ ὀξυτόνως ὁ ἄνθρωπος, ὁ πλήρης τοῦ ἐνοῦ. ἐνὸς ἐκ τοῦ ἔω τὸ πληρῶ.

Ib. ἀφύσσειν] Ἀπαντλήσειν, παρὰ τὸ ἀφύσσω τὸ ἀπαντλῶ· Δωρικὴ δὲ ἡ λέξις· καὶ πλεονασμῷ τοῦ λ λαφύσσω, καὶ ἀφαιρέσει ἀφύσσω.

175. μητίετα] Ἐχρῆν αὐτὸ παροξύνεσθαι, εἴγε τὰ εἰς ης λήγοντα βαρύτονα, βραχείᾳ παραληγόμενα, ἀπρόσληπτα τοῦ σ ἐπὶ γενικῆς καὶ κλητικῆς[m] παροξύνεται, οἰκέτα, εὐνέτα, φιλέτα,

[m] In marg. ἐπὶ γοῦν κλητικῆς.

παραλλήλως ἡ εὐρύοπα, δέσποτα, μητίετα. ἔστιν οὖν εἰπεῖν ὅτι ἀπὸ τοῦ μητίτα κατὰ πλεονασμὸν τοῦ ε̄, καὶ συστολῇ τοῦ ῑ ἀπ' εὐθείας τῆς μητίτης, ἡ κλητικὴ γέγονε μητίετα. καὶ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε κατὰ πλεονασμόν.

184. *πέμψω*] Ἀποπέμψω, ἵνα δοκῇ μὴ ἐξ ἀνάγκης αὐτὴν ἀποπέμπειν, ὡς οὐ γνωριοῦντος τοῦ θεοῦ τὸν αἴτιον τῆς ἀποστολῆς.

187. *ἶσον ἐμοὶ φάσθαι*] Ἰσαγορῆσαί μοι, τουτέστιν ἐξ ἴσου πρὸς ἐμὲ λέγειν καὶ τὴν ἰσαγορίαν ὁμοιοῦσθαι· δεικνύων τὸν Ἀχιλλέα καὶ τοὺς λοιποὺς ὑποτακτικὸν ἔχειν πρόσωπον κατὰ τὴν ἐπικράτειαν καὶ τὸ τοῦ βασιλέως σκῆπτρον.

Ib. *ἄντην*] Ἐξ ἐναντίας, γίνεται δὲ ἐκ τοῦ ἄνω, τοῦτο παρὰ τὴν ἀντὶ πρόθεσιν· τὰ δὲ εἰς η̄ν̄ ἐπιρρήματα διὰ τοῦ η̄ γράφεται, οἷον προχύδην, μίγδην.

188. *Πηλείωνι*] Πηλέως παιδὶ τῷ Ἀχιλλεῖ, ἔστι δὲ πατρωνυμικὸν, δεύτερος τύπος· τὰ δὲ εἰς ω̄ν̄ πατρωνυμικὰ φυλάττουσι τὸ ω̄ μέγα ἐπὶ τῆς γενικῆς.

Ib. *ἦτορ*] Ψυχὴ, παρὰ τὸ τείρω τὸ καταπονῶ, τερῶ καὶ ἐκ τούτου τέρων τέρονος, τροπῇ τοῦ ε̄ εἰς ο̄ τόρονος, καὶ κατὰ συγκοπὴν τοῦ ο̄ καὶ τῆς ν̄ο̄ς̄ συλλαβῆς, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ, ἄτορ καὶ ἦτορ.

190. *φάσγανον*] Παρὰ τὸ φῶ τὸ φονεύω, ἔστι φάσσω καὶ φάζω Δωρικῶς, καὶ πλεονασμῷ τοῦ σ̄ σφάζω, ἐκ τούτου σφάγανον καὶ ἐν ὑπερβιβασμῷ φάσγανον.

192. *ἠὲ χόλον παύσειεν*] Ἢ τὴν τιμωρίαν καὶ ὀργὴν παύσειε. γελοίως περιαιροῦσι τὸν στίχον, ἀγνοοῦντες ὡς ἡ ὕβρις ἀνεζωπύρει ἣν φρόνησις κατέστελλεν. οἱ δὲ ὅτι δύο ἐβουλεύσατο, ἀναστῆσαι ἐκείνους καὶ ἀποκτεῖναι τὸν Ἀγαμέμνονα, διὸ περισσὸς ὁ δεύτερος χόλος, ἐπειδὴ τοῦτο διαχεομένου ἐστὶν, ὡς ἐπὶ ὕδατος ῥέοντος εἶπε παύσειε· ὁ δὲ θυμὸς ἐπειδὴ τὸ θῦον ἐστί.

P. 19, 2. Χρὴ δοτέον τὸ καί· διδάσκει δὲ μὴ ὑπερχρῆσθαι ταῖς ἐξουσίαις τοὺς βασιλεῖς.

197. *κόμη*] Κόμη εἴρηται παρὰ τὸ κόσμος εἶναι τοῦ σώματος κόσμη καὶ κόμη, τοῦτο ἐκ τοῦ κάζω τὸ κοσμῶ, ἐξ οὗ καὶ τὸ κεκασμένη.

P. 20, 8. Καὶ τὴν ἐν αὐτῷ φρόνησιν ὁρᾷ· ἢ ὅτι κεφαλαιωδῶς

λέγων, ἔπειτα κατὰ μέρος ἔρχεται· καὶ ὅτι δεῖ κατὰ μέρος ἰᾶσθαι τοὺς θυμαίνοντας.

205. ὑπεροπλίῃσι] Ὑπέροπλος, ὑπερόπλοος ὑπεροπλία, ὑπεροπλίαις, Ἰωνικῶς ὑπεροπλίῃσι, λέξις μεταφορικὴ, ἀπὸ τοῦ ὑπὲρ αὐτὴν τὰ ὅπλα φέρεσθαι.

Ib. ταχ' ἄν ποτε] Πλεονασμὸς τοῦ ποτε.

210. ἄγε] Φέρε, ἔστι δὲ ἐπίρρημα παρακελεύσεως.

213. τρὶς τόσσα] Πολλάκις τοσαῦτα, οὐ γὰρ τριπλάσιον αὐτῷ παρεσχέθη παρὰ Ἀγαμέμνονος, ἀλλὰ σὺν τῇ Βρισηΐδι πολλὰ ἄλλα, ὡς αὐτός φησιν ἐν τῷ ί.

214. πείθεο δ' ἡμῖν] Ὡς ἰατρὸς οἶνον ἀπαγορεύων, ὕδωρ δίδωσιν, οὕτω διὰ τὸ τοῦ μείζονος ἐκπρέπον τὸ ὀλίγον συγχωρεῖ, ὡς Ἡσίοδος, (Opp. 33.) "

τοῦ κε κορεσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις.

ἢ τὸ ὑπομνῆσαι τῶν εὐεργεσιῶν φησὶν ὡς ἀχάριστον αἰτίας.

222. μετὰ δαίμονας ἄλλους] Ἐπὶ τοὺς θεοὺς, ἔστι δὲ πρόθεσις ἀντὶ προθέσεως.

226. θωρηχθῆναι] Καθοπλισθῆναι, ἐκ τοῦ θωρήσσω θωρήξω θώραξ· τοῦτο δὲ ἐκ τοῦ θῶ τὸ πηδῶ, ἐν ᾧ τὰ βρώματα ἅλλεται.

227. ἰέναι] Παραγενέσθαι· τὸ ἵημι σημαίνει τρία, τὸ πορεύομαι, τὸ πέμπω, καὶ τὸ ἐφίεμαι.

229. ἦ πολὺ λώϊον] Ἀλλ' ὄντως δὴ τοῦτο καλὸν νομίζεται, ἐκεῖνο δέ σοι βέλτιον ἢ καὶ ἡδύτερον ἐστὶ τὸ τὰς τιμὰς ἀφαιρεῖσθαι τῶν ὑπὲρ τοῦ κοινοῦ ἀντιλεγόντων σοι.

231. οὐτιδανοῖσιν] Οὐδενὸς λόγου ἀξίοις, οὐτιδανὸς οὐτιδανὴ καὶ μηδαμινὸς μηδαμινὴ, γέγονε παρὰ τὸ οὔτις οὔτιδος, συγκείμενον ἀπὸ τῆς οὐ καὶ τοῦ τις, τὸ δὲ μηδαμινὸς ἀπὸ τοῦ μηδαμῶς, ὅπερ σύγκειται ἀπὸ τῆς μη ἀπαγορεύσεως καὶ τοῦ δαμῶς.

233. Ἐπόμνυσθαι δὲ ἐστι τὸ ὑπισχνούμενον ὀμόσαι, καὶ ἀπόμνυσθαι τὸ ἀποφάσκειν.

234. σκῆπτρον] Διατί δὲ ὁ Ἀχιλλεὺς σκῆπτρον ἔχει; καὶ λέγομεν ὅτι εἰ καὶ πάντων Ἑλλήνων οὐκ ἐβασίλευεν, τῶν μέν τοι Μυρμηδόνων ἦρχεν.

Ib. ὄζους] Κλάδους, ἐκ τοῦ ἕζω τὸ καθέζομαι.

236. οὐδ' ἀναθαλήσει] Οὐδὲ ἀναβλαστήσει, ἐκ τοῦ θηλὴ θηλῶ

θηλώσω ἢ θηλάσω· ἢ παρὰ τὸ θάλλω θαλῶ θαλήσω, καὶ Ἰωνικῇ τροπῇ θηλήσω· τὸ δὲ θηλὴ παρὰ τὸ θάλος, τοῦτο παρὰ τὸ θέειν καὶ ἅλλειν τὸ πηδᾶν, ἢ παρὰ τὴν ὕλην θέειν.

Ib. χαλκὸς ἔλεψεν] Περιελέπισεν αὐτὸς ὁ σίδηρος, παρὰ τὸ λέπω, ἐξ οὗ καὶ λέπος καὶ λεπτός· τὸ δὲ λέπος, παρὰ τὸ λίαν ἕπεσθαι τὸ ξέον.

237. φύλλα τε καὶ φλοιὸν] Τά τε φύλλα καὶ τὸν φλοῦν, παρὰ τὸ φλῶ τὸ ἀναδίδωμι καὶ ἀναπέμπω, φλῶ φλέω φλέβω, φλέψω φλὲψ, φλοὸς, φλοιὸς, ἢ ἐκ τοῦ φλῶ, κατὰ παραγωγὴν φλέζω, φλέξω, κατὰ τροπὴν τοῦ ε̄ εἰς ῡ φλύω, ἐξ οὗ καὶ φλύαρος· ἐκ δὲ τοῦ φλέω φλεὸς καὶ φληνὸς, καὶ μετὰ τοῦ φῶ ῥήματος τοῦ λέγω, φληναφῶ καὶ φλήναφος, ἡ φλυαρία· φλοιὸς δέ ἐστι τὸ λέπος.

239. ὅρκος] Παρὰ τὸ εἴργω τὸ κωλύω ὅργος καὶ ὅρκος· ἐπισχετικὸς γὰρ τῶν παραβαινόντων· ἢ παρὰ τὸ ἐπαρκεῖν καὶ βοηθεῖν ὡς γὰρ βοηθήματι αὐτῷ χρῶνται οἱ δικαιούμενοι· ἄρκος ἄρκιον καὶ ὅρκος· ἢ παρὰ τὸ ὅρος, καὶ πλεονασμῷ τοῦ κ̄ ὅρκος· οἱ γὰρ ὀμνύοντες ὁρίζονται καὶ ὁμολογοῦσι, δασύνεται δὲ ἐν τῇ συναλοιφῇ.

Ib. ποθὴ] Ἐπιζήτησις, Ἀττικὸν, διὸ ὀξύνεται.

246. χρυσείοις ἥλοισι πεπαρμένον] Χρυσοῦς ἥλους ἔχων κόσμου χάριν καὶ αὐτοὺς διαπεπερονημένους, ἤγουν ἠσφαλισμένους κατὰ τὴν ῥάβδον· οὐ σκῆπτρον θυμῆρες δῶκε.

247. Νέστωρ] Ἦν ἐκ γένους Ποσειδῶνος, γεραρώτερος δὲ πάντων καὶ ἡδύγλωσσος.

248. Πῶς τὸ "ἀνόρουσεν" ἐπὶ τῷ Νέστορι ὁ ποιητὴς τῷ ἐξώρῳ ἤδη ἐχρήσατο, ἐπὶ νέῳ γὰρ εἰκὸς ἦν τοῦτο λέγεσθαι; καὶ ῥητέον ὅτι τὸ προνοητικὸν τῶν ὁμοφύλων νεανικὴν αὐτῷ περιτίθησι κίνησιν· οὐδὲ γὰρ γέροντα κυβερνήτην μέμψοιτο ἄν τις κινδυνεύοντος σκάφους ὑπὲρ τὸ δέον κινούμενον.

249. ῥέεν] Ἔρρει, ἐφέρετο· διὰ δὲ τὸ εἰπεῖν ῥέεν ἐμφαίνει τὸ ῥῆμα τοῦ Νέστορος πρὸς τὸ ἀνεμπόδιστον.

251. ἐφθίαθ'] Ἐφθαρμένοι ἦσαν. Ἡρακλέους εἰς Πύλον στρατεύσαντος καὶ ἀποκτείναντος τοὺς πρεσβύτας ἰδίαν ὄντας γενεὰν, καὶ τοὺς τῆς μέσης ἡλικίας ἄλλην ὄντας γενεὰν, ἧς ὁ Νέστωρ

καὶ μόνος περισωθεὶς τῆς τρίτης γενεᾶς ἐβασίλευσε τῆς περὶ τοὺς πόδας, οἱ σὺν τούτῳ ἐστρατεύσαντο ἤγουν τριακονταετίαι παρεληλύθησαν, ἐν δὲ τῇ τρίτῃ τριακονταετίᾳ ἐβασίλευσε· γενεὰς δὲ ἀναμφιβόλως τὰ τριάκοντα ἔτη λέγει. ἰστέον δὲ ὅτι οἱ παλαιοὶ τὰς γενεὰς ἐψήφιζον ἕως ἐτῶν τριάκοντα. γίνωσκε οὖν ἀκροατά, ὅτι ἡ πρώτη γενεὰ ἄχρι τριάκοντα χρόνων συνίσταται, καὶ πάλιν ἄρχεται ἡ δευτέρα γενεὰ ἄχρι τοῦ ὁμοίου ὁρισμοῦ, καὶ οὕτως ἡ τρίτη γενεά. τοῦτον δὲ τὸν Νέστορα λέγουσι τινὲς ὅτι ἑξηκονταέτης ἦν ὅτε ἐβασίλευσεν. ἕτεροι δὲ λέγουσιν ὅτι τρὶς ἐβασίλευσε.

254. ὢ πόποι] Φεῦ, παπαί. ἔστι δὲ ἐπίρρημα λύπης δηλωτικόν.

257. μαρναμένοιϊν] Κατὰ ἀποβολὴν τοῦ σ̄, παρὰ τὸ μαραίνω, καὶ συγκοπῇ μάρνω, τὸ δὲ ῥῆμα ποιητικόν.

258. περὶ δ' ἐστὲ μάχεσθαι[m]] Περισσῶς καὶ ὑπερβαλόντως ἐστὶ, καὶ ὑπερέχετε.

259. νεωτέρω] Νεώτεροι δυϊκῶς· πιθανῶς πρὸ τῆς ἐμπορίας τὸν χρόνον προβάλλεται, ἀνεπίφθονόν τε ὄντα καὶ προγνωστικόν. προσδοκῶν γάρ τις γηρᾶν, πείθεται γέρουσι· δεῖ οὖν πεισθῆναι τὸν Ἀχιλλέα Ἀγαμέμνονι, ὡς πρεσβυτέρῳ. νεωτέρω οὐκ ἔστι συγκριτικὸν, ἀλλὰ τύπος συγκριτικοῦ, παρὰ τὸ νέος, τοῦτο παρὰ τὸ νέω τὸ πορεύομαι.

260. ἤδη γάρ ποτε] Ὄντως γάρ ποτε. τοῦτο ἀόριστον καὶ χρόνον δηλοῖ. ἐπὶ μὲν γὰρ παρῳχημένου

ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν,

ἐπὶ δὲ ἐνεστῶτος,

ἤδη γὰρ νῦν μοι εἰκοστὸν ἔτος ἐστιν.

ἐπὶ δὲ μέλλοντος,

ἤδη λοίγια ἔργα τάδ' ἔσσεται.

Ib. ἀρείοσι] Βελτίοσιν. ἐκ τοῦ Ἄρευς Ἄρεος, ἄρειος καὶ ἀρείων.

Ib. ἠέπερ ὑμῖν] Ἢ ὑμῖν· γράφεται "καὶ ὑμῖν" διὰ τὸ ἀνεπαχθὲς, Ἀττικὸς δὲ ὁ λόγος ἀντὶ τοῦ κρείττων[n] ἢ ὑμῖν.

[m] μάχεσθε Cod. [n] Leg. κρείττοσιν.

261. ὡμίλησα] Συνανεστράφην· τοῦτο ἀορίστου πρώτου, ὁμιλῶ ἐκ τοῦ ὅμιλος, τοῦτο παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι, καὶ ὤφειλε γράφεσθαι διὰ διφθόγγου. ἀλλ᾽ ἐπειδὴ τὰ διὰ τοῦ ιλος ἀρσενικὰ μὴ ὄντα ἀπὸ ὀνόματος ἔχοντος τὴν ει δίφθογγον, διὰ τοῦ ι γράφεται, οἷον Τρωΐλος, Ζωΐλος, χωρὶς τοῦ Νεῖλος. ἀπὸ δὲ ὀνομάτων ἐχόντων τὴν ει δίφθογγον γίνονται, ὡς τὸ δειλὸς, κροκόδειλος, χεῖλος ἀγκυλόχειλος. τὸ δὲ ὅμιλος μακρὸν ἔχει τὸ ι.

Ib. ἀθέριζον] Ἠπείλουν, ἀπεδοκίμαζον, μεταφορικὴ ἡ λέξις οἱονεὶ ἡ μὴ θεριζομένη καὶ πρὸς χρείαν συναγομένη, ἀλλ᾽ ἀποβαλλομένη. γίνεται οὖν ἐκ τοῦ θέρος θερίζω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀθερίζω. τὸ θέρος παρὰ τὸ θέρω τὸ θερμαίνω, οὗ ὁ μέλλων θερῶ καὶ θέρσω Αἰολικῶς, καὶ Θερσίτης.

268. φηρσὶν] Ἀντὶ τοῦ θηρσὶν κατὰ μετάθεσιν τοῦ θ εἰς φ, ὡς τὸ θλᾷν φλᾷν. κυρίως δὲ θῆρες λέγονται οἱ λέοντες καὶ οἱ σύαγροι, καὶ οἱ τούτους λαμβάνοντες λέγονται θηρευταὶ, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν λοιπῶν.

Ib. ὀρεσκῴοισι] Τοῖς ἐν ὄρει διαιτωμένοις. ἔστι ῥῆμα κῶ τὸ κοιμῶμαι, παράγωγον κέω κείω, καὶ ὄνομα ῥηματικὸν κοῖος, καὶ ἐπαυξήσει τοῦ ο εἰς ω κῷος, ὡς κολοιὸς κολῳὸς, καὶ μετὰ τῆς ὄρεσι δοτικῆς ὀρεσκῷος κατὰ συγκοπήν.

Ib. ἐκπάγλως] Ἐκπληκτικῶς, ὅ ἐστι κατὰ κράτος αὐτοὺς ἐξεπολέμησα. ἐκ τοῦ πλήσσω ἔκπλαγον, καὶ ἔκπαγλον ὄνομα ῥηματικόν. καὶ ἐπίρρημα ἐκπάγλως.

270. ἐξ Ἀπίης γαίης] Ἐκ τῆς ἀλλοδαπῆς καὶ μακρὰν ἀπεχούσης γῆς, ἤτοι τῆς Πελοποννήσου κληθείσης Ἀπίης ἀπὸ Ἄπιδος τοῦ Φορωνέως.

271. τῶν οἳ νῦν] Τοῦτο τὸ σχῆμα, οἱ μὲν κλίσιν λέγουσιν, οἱ δὲ μετάληψιν, ὅταν ἡ τεθεῖσα πτῶσις κλίνεται "τοὺς ὅσοι τὸ "Πελασγικὸν Ἄργος.

275. ἀγαθός περ ἐὼν] Καί τοι βασιλεὺς ὑπάρχων, ἢ ἀγαθὸς τὴν γνώμην. προκαταστέλλει τὸν θυμὸν διὰ τοῦ ἀγαθὸς, τουτέστι μὴ θελήσῃς ἀνάξια σαυτοῦ ποιεῖν.

277. Πηλείδη θέλε] Ἐφεξῆς αἱ ὀξεῖαι διὰ τὴν κρᾶσιν τοῦ ε συγκραθέντος μετὰ τοῦ η ἠθέλε ἦν· "μήτε σὺ Πηλείδη θέλε," οὐδέποτε παρὰ τῷ ποιητῇ εἴρηται δισυλλάβως ἡ τοῦ θέλω κλίσις,

ὡς ἐπὶ τοῦ "μήτε σὺ Πηλείδη θέλε," τῷ λόγῳ τῆς συναλοιφῆς εἰς τὸ η̄ τίθεμεν τὴν ὀξεῖαν. ἔστι δὲ ὁ τρόπος ἀντισήκωσις[n], συντέμνει γὰρ τὴν παραίνεσιν, ὅπως μὴ μένων ἐπαχθὴς εἶναι δοκῇ.

278. ἔμμορε] Ἔλαχεν, ἀπὸ τοῦ μείρω τὸ μερίζω, μέμορα ὁ μέσος παρακείμενος, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ε̄ ἔμμορα, τὸ τρίτον ἔμμορεν. ἢ ἀπὸ τοῦ μορῶ τὸ ἐπιτυγχάνω μορήσω, ὁ ἀόριστος δεύτερος ἔμορον, τὸ τρίτον ἔμορε, καὶ πλεονασμῷ τοῦ μ̄ ἔμμορεν.

279. ᾧτε] Ἀντὶ τοῦ καὶ ᾧ τινι, ἵν' ᾖ, οὐδέποτε τῆς αὐτῆς ἀξιοῦται τιμῆς ὁ βασιλεὺς καὶ ἐκεῖνος ᾧ τινι ὁ Ζεὺς τὸ κῦδος ἔδωκε τὸ ἀπὸ τῆς ἰσχύος. ἐξηγεῖται δὲ συνήθως ἑαυτὸν σαφηνίζων ὁ ποιητὴς σημαίνων διὰ τῶν ἑξῆς τίς καὶ ᾧτε Ζεὺς κῦδος ἔδωκεν. ἐπάγει γὰρ "εἰδὲ σὺ καρτερός ἐσσι," καὶ τὸ "μήτηρ." ἀποστικτέον εἰς τὸ "καρτερός ἐσσι."

280. καρτερὸς] Ἰσχυρὸς, τὰ εἰς τερος τρισύλλαβα βαρύνεται πρότερος, κύντερος, πῶς οὐχὶ καὶ τὸ καρτερὸς κατὰ βαρεῖαν; λέγομεν, ὅτι τοῦτο οὐκ ἦν εἰς τὸ τερος, ἀλλ' εἰς ερος· τὸ γὰρ τ̄ οὐκ ἀπὸ παραγωγῆς ἔσχεν, ἦν γὰρ ἀπὸ τοῦ κράτος ὡς ἀπὸ τοῦ βλάβος βλαβερὸς, οὐ διὰ τοῦ βαρος ἡ παραγωγή. ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ δεύτερον ἔσχεν, οὕτω καὶ ἀπὸ τοῦ κράτος κρατερὸς, διὰ τοῦ ερος ἡ παραγωγὴ καὶ οὐ διὰ τοῦ τερος.

286. κατὰ μοῖραν] Κατὰ τὸ πρέπον. εἰ κατὰ μοῖραν, διότι μὴ πείσῃ; ὅτι αἰδούμενοι τὴν πρόληψιν τὰς αἰτίας τοῖς πέλας ὑπὸ φιλονεικίας τίθεμεν.

P. 27, 39. Ἢ σιωπήσῃ αὐτὸς εἰπών. λέγεται δὲ τὸ ὑποβλήδην παρὰ τὸ βλῶ βλήσω βλήδην καὶ ὑποβλήδην.

293. δειλὸς] Παρὰ τὸ δέω τὸ φοβοῦμαι γίνεται, καὶ πλεονασμῷ τοῦ ῑ δείω δείσω δειλὸς, ἢ παρὰ τὸ δέος ὁ φόβος δέϊλος καὶ δειλός.

301. ἀέκοντος] Ἄκοντος καὶ μὴ βουλομένου. ἔκω τὸ θέλω καὶ ἡ μετοχὴ ἑκὼν ὀξυνομένη, καὶ σεσημείωται ἐν τῇ συνθέσει ἀναβιβάζουσα τὸν τόνον ἀέκων, καὶ κατὰ κρᾶσιν ἄκων.

303. αἶψά τοι] Ταχέως σοι, παρὰ τὸ ἅπτω ἅψω ἅψα καὶ αἶψα. τὸ γὰρ ταχέως γινόμενον, καὶ συνηρμοσμένον ἐστί.

Ib. κελαινὸν] Μέλαν, μελανὸν καὶ μελαινὸν, καὶ τροπῇ τοῦ μ̄

[n] ἀντίσικωσις Cod.

εἰς κ̄ κελαινόν. τὸ δὲ μέλας παρὰ τὸ ἕλιν[o], ὃ σημαίνει δὲ τὸ μέλαν κατὰ πλεονασμὸν τοῦ μ̄.

Ib. ἐρωήσει περὶ δουρὶ] Περιρρυήσειεν τῷ δόρατι, παρὰ τὴν ἐρωὴν, τὸ ἐρῶ τὸ ῥέω καὶ ἀείρω, τὸ ἐρέω ἐρῶ, παρὰ τὸ ῥῶ ῥώσω, ὅθεν καὶ τὸ "ἐπερρώσαντο ἄνακτος," ῥῶ ῥωὴ, ὡς ζῶ ζωὴ, καὶ πλεονασμῷ τοῦ ε̄ ἐρωή.

P. 28, 40. Οὕτως ἀναστήτην ἀνστήτην. ἐν ταῖς ἀδιαλλάκτοις ἔχθραις κρεῖσσον τὸ φεύγειν ἢ τὸ ὑποχωρεῖν.

307. σύν τε Μενοιτιάδῃ] Σύν τε τῷ Μενοιτίου παιδὶ Πατρόκλῳ καὶ τοῖς Μυρμιδόσι. κεχώρηκε δὲ τῶν λοιπῶν Ἀχιλλέως ἑταίρων τὸν Πάτροκλον κατ' ἐξοχήν. εἰκότως ἤπιος ὢν πάρεστι πρὸς τὸ τὸν θυμὸν αὐτοῦ μαλάσσειν. κατ' ἐξοχὴν δὲ ἰδιαζόντως εἶπε περὶ αὐτοῦ, ἵνα ἀξιοχρέως ᾖ τελευτῶν ἐγείρειν αὐτόν. λέγεται δὲ Μενοιτιάδης παρὰ τὸ μένος, Μενότιος Μενοίτιος, καὶ Μενοιτιάδης τὸ πατρωνυμικόν.

308. ἅλαδε] Εἰς τὴν θάλασσαν δηλονότι οὐκ ἐθαλάσσευον τινὲς τῶν νεῶν, ἐπεὶ τίς χρεία νεολκίας.

310. ἀνὰ δὲ Χρυσηΐδα] Ἀναγαγὼν δὲ καὶ τὴν εὐπρόσωπον Χρυσηΐδα εἰς τὴν ναῦν ἐκάθισεν.

312. οἱ μὲν] Οὗτοι μὲν, προγραφῆς τρόπος.

Ib. ὑγρὰ κέλευθα] Τὴν διὰ θαλάσσης ὁδὸν, ὅτι τὰ ὑγρὰ κέλευθα κατὰ μεταπλασμὸν γένους εἰσί. ἀντὶ γὰρ θηλυκῶν τὰ οὐδέτερα εἶπε. "ὑγρὰ," παρὰ τὸ ὑγρὸς, τοῦτο παρὰ τὸ ὕδωρ ὑδαρὸς, καὶ ἐν συγκοπῇ ὑδρὸς, καὶ τροπῇ τοῦ δ̄ εἰς γ̄ ὑγρός.

313. ἀπολυμαίνεσθαι] Ἀποκαθαίρεσθαι, ἀπὸ τοῦ λύω λύσω λύμη λυμαίνω, τὸ λύω ἐκ τοῦ λῶ.

Ib. ἄνωγεν] Ἐκέλευεν, ποιητικὸν τὸ ῥῆμα, διὸ οὐκ ἔχει μέλλοντα. τὸ θέμα ἀνώγω, τοῦτο παρὰ τὴν ἀνα πρόθεσιν καὶ τὸ ἄγω.

314. ἀπελυμαίνοντο] Ἀπεκαθαίροντο, παρὰ τὸ λύμη λυμαίνω, διὰ τὸ μὴ καθαροὺς ἐκπέμπειν. ἢ ὅτι προὐργιαιτέρα τῷ θεῷ ἡ ἀπόδοσις, ψυχαγωγικὸν δὲ τὸ πλῆθος, ὡς ἤδη καθαρθέντες εἶεν. καὶ Εὐριπίδης,

θάλασσα κλύζει πάντα τ'[p] ἀνθρώπων κακά. (Iph. T. 1193.)

[o] Sic. [p] πάντων Cod.

τὰ δὲ περιττώματα εἰς τὴν ἀπέριττον θάλασσαν βάλλουσιν, "εἰς "ἅλα λύματ' ἔβαλλον." φύσει δὲ τὸ ὕδωρ τῆς θαλάσσης καθάρσιον ἐστί.

315. ἔρδον] ἐπετέλουν, ἔθυον, παρὰ τὸ ἔρδω, τοῦτο παρὰ τὸ ῥέζω ῥέδον, καὶ καθ' ὑπερβιβασμὸν ἔρδον.

Ib. τεληέσσας] Μετοχὴ ἀορίστου πρώτου, τελῶ τελέσω, καὶ πλεονασμῷ Αἰολικῷ Δωρικῶς τελέσσω. τὸ τελῶ παρὰ τὸ τέλος, τοῦτο παρὰ τὸ ἔω τὸ πληρῶ, ἔος καὶ τέλος.

316. ἀτρυγέτοιο] Ἐκ τοῦ τρυγετὸς, τοῦτο παρὰ τὸ τρυγῶ τρυγήσω τρυγητὸς καὶ τρυγετὸς, κατὰ τροπὴν τοῦ η εἰς ε. τὸ τρυγῶ παρὰ τὸ τρύγω τρύξω τρύγε καὶ τρὺξ τρυγὸς τρύγω, τοῦτο παρὰ τὸ τρῶ τὸ καταπονῶ καὶ βλάπτω, ἐξ οὗ καὶ τρώω

οἶνός σε τρώει μελιηδὴς, (Od. Φ. 293.)

ἐκ τοῦ τρῶ καὶ τρήω καὶ τρύχω.

318. πένοντο] Ἔπραττον, ἔστι παρατατικοῦ τρίτου προσώπου τῶν παθητικῶν Ἰωνικῶς καὶ ποιητικῶς. τὸ θέμα πένω τὸ ἐνεργῶ καὶ κάμνω, ἀφ' οὗ καὶ πόνος, ἐν πλεονασμῷ τοῦ τ πόντος, καθ' ὃν πεπόνηται τὸ τῶν ἀνθρώπων γένος περὶ τὸν πλοῦν· πόντος οὖν ἐπωνύμως καλεῖται ὁ πόντος.

321. ἔσαν] Παρατατικοῦ τρίτου προσώπου παθητικοῦ τῶν εἰς μι κατὰ συστολὴν ποιητικὴν καὶ Ἰωνικὴν τοῦ η εἰς ε, ἦσαν ἔσαν. ἐκ τοῦ εἰμὶ τὸ ὑπάρχω, ὁ παρατατικὸς ἦν.

Ib. ὀτρηρὼ] Ὀτρηροὶ σπουδαῖοι· ὀτρηρὸς σημαίνει τὸν ἐνεργὸν, ὁ μὴ ἀναμένων ὀτρυνθῆναι παρά τινος, ἀλλὰ δι' ἑαυτοῦ παροτρυνόμενος ἅπαντα ποιεῖν.

Ib. θεράποντε] Ὑπηρέται, οἱ τοὺς κρείττονας δι' ὠφέλειαν θεραπεύοντες, ὡς Ἐτεονεὺς Μηριόνην. ὁμωνύμως δὲ καὶ οἱ δοῦλοι.

329. κλισίῃ] Παρὰ τῇ σκηνῇ, πλησίον τῆς σκηνῆς, διὰ δὲ τῆς μελαίνης νηὸς τὸ σκυθρωπὸν τῆς ἕδρας δηλοῖ. τοῦτο ὑβριστικῶς, οὐ γὰρ ἐντυχεῖν Ἀχιλλεῖ κελεύει, ἀλλ' ὡς κενῆς οὔσης τῆς νεὼς ἄγειν αὐτὴν, βασιλικὸν τὸ δι' ἄλλων πειρᾶσθαι καὶ ὄντως ἐπιχειρεῖν.

Ib. αἰδεσθέντες] Γίνεται παρὰ τὸ αἰδῶ. οἶδε δὲ καὶ τὸ αἰδεῖσθαι, "ἀλλήλους τ' αἰδεῖσθε," "ἀλλ' αἰδεῖσθαι θεούς·" "οὐδέ

"τις αἰδέσσεται." "αἴδεσθε μὲν," "ἄλλα τ' αἰδέσθητε," καὶ τὸ ὄνομα αἰδήμων.

331. αἰδομένω] Παρὰ τὸ αἰδῶ πρώτης συζυγίας τῶν περισπωμένων αἰδούμενος καὶ συγκοπῇ αἰδόμενος. τὸ αἰδῶ παρὰ τὸ αἰδὼς, τοῦτο παρὰ τὸ ἴδω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀΐδω καὶ αἰδῶ κατὰ συναίρεσιν.

332. προσεφώνεον] Προσεφθέγγοντο. ὅτι πρῶτος κωφὰ πρόσωπα δεδίδαχε τὴν τραγῳδίαν.

334. χαίρεσθε] Ἐκ τοῦ χῶ χαίρω, ὡς σπῶ σπαίρω, σκῶ σκαίρω.

P. 29, 22. Ὃς ἄγγελος Διός· πεπαιδευμένος δὲ, οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἕτερα μετάγειν, ὡς κύνας κατὰ τοῦ βεβλημένου λίθου· τὸ ὔμμες Αἰολικὸν,

αἴκεν ὔμιν ὑπέρσχῃ χεῖρα Κρονίων.

338. Μάρτυροι] Μάρτυρες, Ἰακῶς δὲ μάρτυροι.

Ζεὺς δ' ἅμα ἐπὶ μάρτυρος ἔστω.

παρὰ τὸ μάρπτειν τὸ καταληφθῆναί τι. μαρτύρεται δὲ αὐτοὺς ὅπως μὴ δοκῇ προδότης εἶναι τῶν Ἀχαιῶν.

Ib. ἔστων] Ἔστωσαν ὑπαρχέτωσαν, ἀποκοπὴ τοῦ ἔστωσαν.

339. πρός τε θεῶν] Πρός τε τοὺς θεούς. μακάρων, μακαρισμοῦ ἀξίων, εὐδαιμόνων.

340. ἀπηνέος] Ἀπηνοῦς, χαλεποῦ, σκληροῦ, παρὰ τὸ ἄπωθεν τοῦ αἰνεῖσθαι. ἀπηνέος εἶπεν ὅτι τὸν ἀρητῆρα Χρύσην ἠτίμασε.

341. χρειὼ] Χρεία, τὸ χρειὼ ὡς κλειὼ, καὶ χρειοῖ, χρείη δὲ ἀναγκαίη. χρειὼ χρειᾶς χρειᾷ, χρεία, μνεία, ὑγεία.

Ib. λοιγὸν] Ἐκ τοῦ λείχω λειχὸς καὶ λειγός.

342. θύει] Ἐνθουσιωδῶς ὁρμᾷ, ὅ ἐστι μαίνεται. ἐμφαντικῶς τὸ λυσσῶδες καὶ ἀλόγιστον αὐτοῦ παρέστησε. μάρτυρας οὖν ὑμᾶς σχήσω τῆς παραπληξίας αὐτοῦ, ὅτι οὐκ οἶδε προνοῆσαι στρατιᾶς.

343. νοῆσαι] Προλογίσασθαι, ἐνθυμηθῆναι.

Ib. πρόσσω καὶ ὀπίσσω] Τὸ παρὸν καὶ τὸ μέλλον, τουτέστιν οὐκ οἶδε προσκοπῆσαι τὴν ἀρχὴν καὶ τὴν ἀπόβασιν τοῦ πράγματος. πρόσσω, ἐπίρρημα χρόνου δηλωτικὸν, παρὰ τὴν προς πρόθεσιν, καὶ κατ' ἐπέκτασιν τῆς σω συλλαβῆς πρόσσω, καὶ παρὰ τὸ πόρρω πόρσω καὶ ἐν ὑπερβιβασμῷ τοῦ ρ, καὶ τροπῇ τοῦ ρ εἰς σ πρόσσω, τὸ ἔμπροσθεν καὶ πόρρω ὃν τὸ παρὸν καὶ μέλλον, τήν τε ἀρχὴν

καὶ τὴν ἔκβασιν τοῦ πράγματος προσκοπῆσαι, καὶ τῆς στρατιᾶς ἐπινοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω, τὸ δὲ ἐναντίον ὅρα πρόσσω καὶ ὀπίσσω, δεῖ γὰρ μὴ τὰ παρόντα μόνον σκοπεῖν ἀλλὰ καὶ τὰ μέλλοντα. λείπει οὖν τοῖς ἐπιρρήμασι τὸ τα.

348. ἡ δ' ἀέκουσα] Ἡ δὲ Βρισηῒς ἄκουσα καὶ μὴ βουλομένη ἅμα τοῖς κήρυξιν ἐπορεύετο.

349. νόσφι] Χωρὶς, ὅπως μὴ γέλωτος παρὰ τῶν ἑταίρων, ἢ πρὸς τὴν διάλεξιν τῆς μητρὸς, παρὰ τὸ νοσφίζω. λιασθεὶς, χωρισθεὶς, ἢ ἐκκλίνας, ἐκκλίνων, ἐκφεύγων ἢ πλανηθεὶς, παρὰ τὸ λιάζω λιάσω, τὸ λιέζω, παρὰ τὴν λείαν, ὃ σημαίνει τὴν πραῖδα.

350. πολιῆς] Πολλῆς ἢ λευκῆς διὰ τὸν ἀφρὸν, οἰκεῖον γὰρ τὸ πολιὸν τῇ θινῇ[n] τοῦ πόντου.

353. ὄφελλεν] Ὤφειλεν, Αἰολικῶς, ἀντὶ τοῦ ἐχρεώστει, παρὰ τὸ ὀφείλω γέγονεν ὀφειλῇ, ὀφελῶ συστολῇ τοῦ ι καὶ ἀναδιπλασιασμῷ τοῦ λ ὀφελλῶ, ὁ παρατατικὸς ὤφελλον.

Ib. Ὀλύμπιος] Ὁ τὸν Ὄλυμπον οἰκῶν Ζεύς.

356. ἀπούρας] Ἀφελόμενος, ἀποσπάσας, ἀπὸ τοῦ αὐρῶ τὸ ἀπολάβω, ὅθεν ἐν συνθέσει ἐπαυρήσασθαι, α΄ συζυγίας τῶν περισπωμένων, ὁ μέλλων αὐρήσω, ηὔρησα ἀόριστος, αὐρήσας ἡ μετοχὴ, κατὰ συγκοπὴν αὖρας, καὶ τροπῇ τοῦ α εἰς ο οὖρας, καὶ ἐν συνθέσει ἀπούρας. ἔστι δὲ καὶ β συζυγίας τὸ ἀπούρας τῶν περισπωμένων. λέγεται δὲ ἀπὸ μεταφορᾶς τῶν ἀποσπώντων τοὺς ὅρους τινός. τὸ θέμα ὁρῶ, τὸ ὅρον τίθημι, ὁ μέλλων ὁρήσω, ὁ ἀόριστος ὥρησα, ἡ μετοχὴ ὁ ὁρήσας, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀποορήσας, καὶ συγκοπῇ ἀπούρας, καὶ τροπῇ τῶν δύο οο εἰς τὴν ου δίφθογγον ἀπούρας. ἢ ἐκ τοῦ ὁρίζω ὅρος, ὁρίζω ἐπενθέσει τοῦ υ, οὐρίζω οὐρίσας, συγκοπῇ οὖρας καὶ ἀπούρας.

357. πότνια] Δεῖ δὲ γινώσκειν ὅτι τὸ Ἀλεξάνδρεια διὰ διφθόγγου γράφεται· ἐπειδὴ τὰ διὰ τοῦ εια προπαροξύτονα ὑπεσταλμένων τῶν διὰ τοῦ τρία, διὰ τῆς ει διφθόγγου γράφονται, οἷον ἀναίδεια, φληνάφεια, ὠφέλεια, ἄδεια, ἔνδεια, Μαρώνεια, Μεσέμβρεια, βοήθεια, ἀδράνεια, ἀπέχθεια, ἀπώλεια, ἄνθεια, θάλεια, Ἡράκλεια, Μήδεια, Κράτεια, Ἀμάσεια, ἀσάφεια, νουνέχεια. πρόσκειται ὑπεσταλμένων τῶν διὰ τοῦ τρία, οἷον, ἐλέτρια[o],

n Sic. o Leg. Ἐρέτρια.

λεκάστρια[p], σημαίνει δὲ τὴν πόρνην, μονάστρια, καὶ τὰ λοιπά. καὶ χωρὶς τοῦ πότνια, Πολύμνια, Λάμια, Ἰάμια, Ὄμπνια, σημαίνει τὴν Δήμητραν, καὶ χωρὶς τοῦ Ἀκυληΐα[q], ἔστι δὲ ὄνομα πόλεως. τὸ δὲ Καλάβρεια[r] παρὰ μὲν Ἀπολλωνίῳ καὶ Καλλιμάχῳ διὰ τῆς ει διφθόγγου, παρὰ δὲ Διονυσίῳ διὰ τοῦ συνεσταλμένου ι Καλάβρια τετρίχια[s]. ἔστι δὲ ὄνομα πόλεως. τὸ δὲ Θέσπεια ὁ Ὦρος[t] διὰ τῆς ει διφθόγγου γράφεται[u], τῷ τῶν παροξυτόνων κανόνι. ὁ δὲ Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσωδίᾳ διὰ τοῦ ι γράφει, ἐπειδὴ γὰρ εὕρηται ἡ πι συλλαβὴ συνεσταλμένη, ὡς παρὰ Κορίνθῳ[x] "Θέσπια."

359. καρπαλίμως] Ταχέως, παρὰ τὸ κάπω τὸ ἀναπνέω καπνὸς, καὶ πλεονασμῷ τοῦ ρ καρπνὸς, κάρπνιμος, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς καρπάλιμος.

Ib. ἀνέδυ] Ἀνῆλθε, ἐκ τοῦ δῦμι, ὁ β ἀόριστος ἔδυν.

Ib. Ἠΰτε, καθάπερ, ὃν τρόπον, ἐκ τοῦ ἅτε, ἐκτάσει τοῦ α εἰς η καὶ ἐπενθέσει τοῦ υ, ἠΰτε.

Ib. ὀμίχλη] Ὁ παχὺς ἀὴρ καὶ ὑγρότατος.

361. κατέρεξεν] Κατέψησεν, ἐκ τοῦ ψῶ ψήσω. τὸ θέμα ἐρέζω ἐρέξω ἤρεξα, καὶ συστολῇ ἔρεξα, Ἰωνικῶς καὶ ποιητικῶς.

363. ἐξαύδα] Εἰπὲ, τῇ γὰρ τῶν λόγων ἀνοχῇ κουφιεῖται τοῦ βάρους ἡ ψυχή. ἔστι δὲ δευτέρας συζυγίας τῶν περισπωμένων, αὐδῶ, αὐδᾷς.

Ib. μὴ κεῦθε] Μὴ κρύπτε. ἐν θέσει καὶ παρατάσει τῶν πράξεων.

366. Θήβην] Ἰστέον ὅτι τρεῖς εἰσι Θῆβαι, αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται, καὶ ἐν τῷ ζ, καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται καὶ ἐν τῷ δ καὶ ἐν τῷ ε, καὶ αἱ τῆς Αἰγύπτου, ὧν μνημονεύει ἐν τῷ ι.

368. μετὰ σφίσιν] Ἐν αὐτοῖς, παροξυτονητέον. εἰς σύνθετα γὰρ ἡ μετάληψις, καὶ ὅτι μετὰ προσθήκης ἡ ἀντωνυμία συντασσομένη ὀρθοτονεῖται, εἰ μὴ τῷ ἐπιφερομένῳ ῥήματι συντάσσεται, ὡς τὸ, "κατὰ σὲ χώσομεν λίθοις," καὶ ἐν τῷ "σύν μοι γενέσθαι."

386. κελόμην] Ἐκέλευον ὡς καὶ τῶν ἄλλων τούτων ἐχόντων

[p] ἐλεκαστρία Cod. [q] ἀκλυΐα Cod. [r] Leg. Καλαύρεια. [s] Leg. Καλαυριά τε τρηχεῖα. [t] ὅρος Cod. [u] Leg. γράφει. [x] Leg. Κορίννῃ ut e Cod. Coisl. 387 patebit.

σκοποῦ, παρὰ τὸ κέλω τὸ προστάσσω, καὶ τὸ παθητικὸν κέλομαι, καὶ ὁ παρατατικὸς ἐκελόμην, καὶ Ἰωνικῶς καὶ ποιητικῶς κελοίμην.

Ib. ἱλάσκεσθαι] Ἐξιλάσκεσθαι, ἐξιλεοῦσθαι, ἐξευμενίζεσθαι ἀπαρέμφατον, ἀπὸ τοῦ ἱλῶ συζυγίας δευτέρας τῶν περισπωμένων τὸ δηλοῦν τὸ ἐξιλεοῦμαι καὶ ἐξευμενίζω, ἱλάσω καὶ πλεονασμῷ τοῦ κ̄ ἱλάσκω.

388. ἠπείλησεν] Ἐπηγγείλατο, ἀορίστου πρώτου τῶν εἰς ω̄, τρίτου προσώπου τῶν ἑνικῶν, πρώτης συζυγίας τῶν περισπωμένων, τὸ θέμα ἀπειλῶ.

389. ἑλίκωπες] Μελανόφθαλμοι, ἑλιὴ γὰρ κατὰ διάλεκτον τὸ μέλαν, ἢ οἱ ἑλικοειδῶς κινοῦντες τὰς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμοὺς, εὐειδεῖς.

391. ἔβαν] Ἔβησαν ἀορίστου δευτέρου, κατὰ συγκοπὴν Δωρικὴν καὶ Αἰολικήν.

393. περίσχεο] Περίσχου, φρόντισον. ἀορίστου δευτέρου τῶν εἰς ω̄ πρώτης συζυγίας τῶν περισπωμένων κατὰ διάλυσιν Ἰωνικὴν, σχοῦ σχέο.

Ib. ἑῆος] Ἐὺς ὁ ἀγαθὸς, ὁ βέβαιος, ὁ ἑδραῖος, καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ ἠὺς ἠέος, καὶ ὑπερθέσει τοῦ ε̄ ἑῆος.

397. ὅτ' ἔφησθα] Ὅτε ἔλεγες, ἐκ τοῦ φῶ φημὶ ἔφην, καὶ ἐπεκτάσει τῆς θα̅ συλλαβῆς ἔφησθα.

399. ξυνδῆσαι] Ἰωνικὴ ἡ διάλεκτος πρώτης συζυγίας τῶν εἰς μι̅, παρὰ τὸ δέω τὸ δεσμεύω συντίθεται, καὶ ἀναδιπλασιασμῷ διδῶ, ἐκ τούτου δίδημι δήσω ἔδησα, δῆσαι τὸ ἀπαρέμφατον, καὶ ἐν συνθέσει συνδῆσαι καὶ ξυνδῆσαι.

401. ὑπελύσαο] Ὑπελύσω ἢ ἔσωσας. λύω λύσω ἔλυσα ἐλυσάμην ἐλύσω, καὶ διαλύσει Ἰωνικῇ ἐλύσαο.

402. ἑκατόγχειρον] Ἑκατοντάχειρα Αἰολικῶς, μακρὸν, μέγαν, συνεκδοχικῶς,

ὃν Βριάρεων καλέουσι θεοὶ, ἄνδρες δέ τε πάντες
Αἰγαίωνα,

τὸ ὁλόκληρον Αἰγαίωνα.

407. γόνυ] Παρὰ τὴν γωνίαν, ἢ παρὰ τὸ εἰς γῆν νεύειν.

409. κατὰ πρύμνας] Τὰς ναῦς ἀπὸ μέρους φησὶ, συνεκδοχικῶς γὰρ μέρος τῆς νηὸς τὸ ἔσχατον.

Ib. ἕλσαι] Συνελάσαι, συγκλεῖσαι, ἀπὸ τοῦ ἐλῶ ἐλάσω τὸ δηλοῦν τὸ ἐλαύνω, δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ τὸ ἀπαρέμφατον ἐλάσαι, καὶ ἕλσαι κατὰ συγκοπήν.

414. αἰνὰ τεκοῦσα, αἴθ' ὄφελες] Τὸ αἴθ' ὄφελες παρὰ νηυσὶ διὰ μέσου, τὸ δὲ αἰνὰ ἀντὶ τοῦ αἰνῶς. ἐκ τοῦ δεινὸς δεινὴ ἀποβολῇ τοῦ δ, καὶ τροπῇ τοῦ ε εἰς α, ἡ γενικὴ τῶν πληθυντικῶν αἰνῶν, τὸ ἐπίρρημα αἰνῶς καὶ αἰνά.

420. ἀγάννιφον] Οὕτω τινὰ τῶν ὀρῶν ἦν ὑπερνεφῆ, ὅτι τινὲς τῶν ἱερέων ἀνήρχοντο εὐχῆς χάριν εἰς αὐτὰ ἅπαξ τοῦ ἐνιαυτοῦ, καὶ ἐποίουν ἐν αὐτοῖς χαρακτῆρας, οὕς τινας εἰς τὸ ἐπιὸν εὕρισκον ἀμειώτους.

422. μήνιε] Ὀργίζου. ἐκ τοῦ μῆνις μήνιος Ἰωνικῶς μηνίω, ὃ ἐκ τοῦ μηνιῶ.

423. ἐς Ὠκεανὸν] Παρὰ τὸν Ὠκεανὸν, ὁ δὲ Ὠκεανὸς ποταμός ἐστι καθ' Ὅμηρον ἔξωθεν περικυκλῶν ὅλον τὸν κόσμον.

424. μετὰ δαῖτα] ἐπὶ εὐωχίαν, ἡ μετα ἀντὶ τῆς ἐπι καὶ ἀντὶ τῆς εν ὡς τὸ "μετὰ χερσίν." Ἀρίσταρχος δὲ γράφει ἐπὶ δαῖτα. ἔστι δὲ παρὰ τὸ δαίω δαίσω δαὶς, ὡς παίω παίσω παῖς, ἡ μεριζομένη παισί.

426. δῶ] Δῶμα, οἴκημα, τὸ δὲ πάθος ἀποκοπή ἐστι. δέμω τὸ οἰκοδομῶ, ἐξ οὗ καὶ δόμος, καὶ ἐξ αὐτοῦ ῥῆμα[t] δομῶ δομήσω δεδόμηκα δεδόμημαι δόμημα, καὶ συγκοπῇ δῶμα κατ' ἐπέκτασιν τοῦ ο μικροῦ εἰς ω μέγα καὶ ἀποκοπῇ δῶ.

427. γουνάσομαι] Γουνπετήσω, ἔστι συζυγίας δευτέρας τῶν περισπωμένων, γουνῶ γουνᾶς, ὁ μέσος μέλλων πρῶτος γουνάσομαι.

428. ἀπεβήσατο] Ἀπέβη. οἱ Δωριεῖς ποιοῦσι τοὺς μέλλοντας ἐκ τοῦ βῶ, βίβημι, βήσω, δευτέρας συζυγίας, καὶ τῇ τῶν χρόνων ἐναλλαγῇ τοῦ μέλλοντος εἰς ἐνεστῶτα βήσομαι, καὶ τὸ γ τοῦ παρατατικοῦ ἐβήσατο.

429. ἐϋζώνοιο] Ἐκ τοῦ ζῶ ζωὴ καὶ ζώνη, ὡς χῶ χωὴ καὶ χώνη, καὶ φῶ φωὴ καὶ φώνη.

432. πολυβένθεος] Τοῦ πολὺ βάθος ἔχοντος, ἐκ τοῦ βάθος, βένθεος καὶ πολυβένθεος.

434. πέλασαν] Προσεπέλασαν, προσήγγισαν, προσήγαγον,

t ἐπίρρημα Cod.

μετωνυμία, πελασθῆναι ἐποίησαν, ἐκ τοῦ πέλω τοῦ σημαίνοντος τὸ πλησιάζω, δευτέρας συζυγίας τῶν περισπωμένων, οὗ παράγωγον πελάζω πελάσω, ἐντεῦθεν καὶ τὸ πλησίος ἐκ τοῦ πέλω τὸ πλησιάζω, καὶ κατὰ συγκοπὴν πλῶ πλήσω ὄνομα ῥηματικὸν πλητὸς πλητίος, καὶ τροπῇ τοῦ τ εἰς σ πλησίος.

434. προτόνοισι] Τοῖς προτεταμένοις κάλοις, οἵτινες τὸν ἱστὸν παρατείνουσιν ἵν' ᾖ ὀρθός.

Ib. ὑφέντες] Γέγονεν ἐκ τοῦ ἵημι ὁ δεύτερος ἀόριστος ἧν, ἡ μετοχὴ εἷς ἕντος.

434. εἰς ὅρμον] Εἰς τὸν λιμένα, ἐκ τοῦ ὅρω ὅρμος, εἴρηται δὲ ἀπὸ τοῦ ὁρμᾷν καὶ ἵστασθαι ἐν αὐτῷ τὰς ναῦς.

436. ἐκ δ' εὐνὰς] Πολλὴν ἔχει τὴν ἡδονὴν ἡ τῆς προθέσεως ἐπαγωγὴ, τὸ δὲ σχῆμα ἐπανάληψις.

462. αἴθοπα] Μέλανα ἢ θερμαντικόν. αἴθοπα οὐκ ἔστιν ἀπὸ εὐθείας τῆς αἰθιόπης, ἀλλ' ἀπὸ αἰτιατικῆς κλινομένης ἀκολούθως, ἀπὸ τοῦ αἴθοψ· λαμβάνονται δὲ καὶ αἰτιατικαὶ ἐπ' εὐθείας κατὰ μίμησιν μεταπλασμοῦ, οὐ μὴν μεταπλασθεῖσαι, οὐ γὰρ βούλονται εἶναι, καὶ τὴν ἀκάκητα καὶ εὐρύοπα.

463. πεμπώβολα] Πέντε ὀβολοὺς ἔχοντος, ἐκ μιᾶς λαβῆς[u] κρατουμένης, τριαινοειδεῖς, διὰ τὸ μὴ συνεμπεσεῖν τῷ πεντόβολα.

464. ἐπάσαντο] Ἐγεύσαντο, ἐκ τοῦ σπῶ σπάζω, σημαίνει δὲ τὸ χρῶμαι.

466. περιφραδέως] Πάνυ ἐμπείρως, ἐμπειρίας γὰρ δὴ προσδεῖ τοῖς ὀπτῶσιν. ὀπτᾶν γὰρ εἴρηται διὰ τὸ πυκνότερον ἱππεύειν. γίνεται δὲ παρὰ τὸ φράζω τὸ γινώσκω καὶ διανοοῦμαι.

467. πόνου] Τῆς περὶ τὴν εὐωχίαν ἀσχολίας.

468. δαίνυντο] Εὐωχοῦντο, ἐκ τοῦ δαίω τὸ μερίζω, δαινύω καὶ δαίνυμι.

469. ἐδητύος] Εὐωχίας, βρώσεως, ἐκ τοῦ ἐδῶ ἐδήσω, τὸ σημαῖνον τὸ τρώγω, πρώτης συζυγίας τῶν περισπωμένων ἐδέω καὶ ἐδήσω, κατ' ἔκτασιν ἤδεκα ἤδεσμαι, ὅθεν ἔδεσμα ἐδεστὴς, ἐκτάσει καὶ ἐκθλίψει τοῦ σ ἐδητὴς καὶ ἐδητύος.

[u] λοβῆς Cod.

Ib. ἐξ ἔρον ἕντο] Ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα, ὅ ἐστιν ἐκορέσθησαν, ἔρον δὲ τὸν ἔρωτα οἱ Αἰολεῖς λέγουσιν.

477. ἠὼς] Ἡμέρα, ὄρθρος, παρὰ τὸ ὄρω, ὀρῶ ὦρκα, ὦρμαι ὤρμενος, ὄρτος, ὄρθος, καὶ ὄρθρος.

486. ψαμάθοις] Τῆς ψάμου, ἐκ τοῦ ἅμα ἄμαθος καὶ ἀψάμαθος.

488. παρήμενος] Παρακαθήμενος, ἐκ τοῦ ἕημι ἕεμαι ἧμαι, ἥμενος.

490. κυδιάνειρα] Τὴν ἐνδόξους ἄνδρας ἔχουσαν, ἢ τὴν ἐνδόξους ἄνδρας ποιοῦσαν.

491. φθινύθεσκε] Διέφθειρεν, ἔτηκε. τοῖς πρακτικοῖς γὰρ ἡ ἀργία φθορά ἐστιν, ἔκειτο γὰρ ἐν νήεσσιν.

497. ἠερίη] Ἐωθινὴ, ὀρθρινὴ, ἐπιρρηματικόν. διδάσκει δὲ καὶ τὸν τῶν ἐντεύξεων καιρόν.

498. εὐρύοπα] Εἰ μὲν μελανόφθαλμον, ἵν' ᾖ τὸν μεγάλως τὰ πάντα ὁρῶντα, εἰ δὲ μεγαλόφωνον, τὸ βροντοποιὸν εἶναι τὸν θεόν.

499. Οὐλύμποιο] Φυσικώτερον δὲ Ὄλυμπος λεχθείη ἂν ὁ οὐρανὸς, οἱονεὶ ὁλολαμπής τις ὢν, ἡλίῳ καὶ σελήνῃ καὶ τοῖς ἄστροις.

508. μητίετα] Βουλευτικώτατον, ἐχρῆν αὐτὸ παροξύνεσθαι, εἴτε τὰ εἰς τος λήγοντα βαρύτονα βραχείᾳ παραληγόμενα ἀπρόσληπτα τοῦ σ ἐπὶ γενικῆς καὶ κλητικῆς παροξύνεται, οἷον οἰκέτα, φιλέτα, εὐνέτα, παράλογος ἄρα ἡ μητίετα, εὐρύοπα, δέσποτα. ἔστι δὲ εἰπεῖν ἀπὸ τοῦ μητίτα κατὰ πλεονασμὸν τοῦ ε, ἀπ' εὐθείας τῆς μητίτης, ἡ κλητικὴ γέγονε μητίετα, καὶ ὁ ὁ τόνος ἐπὶ τῷ αὐτῷ τόνῳ ἔμεινε.

511. νεφεληγερέτα] Νεφῶν ἀθροιστικώτατε. τὰ εἰς ετης γίνονται ῥηματικὰ καὶ παρώνυμα, ἀπὸ τοῦ γείνω γενέτης, ἀγείρω ἀγειρέτης καὶ νεφεληγερέτης.

512. ἧστο] Ἐκαθέζετο, ἐκ τοῦ ἕω ἕημι, ἕεμαι, ἥμην, ἧτο καὶ ἧστο ἐν ἐπενθέσει τοῦ σ. τῷ παρατατικῷ ἐχρήσατο ἀντὶ ἐνεργητικοῦ.

513. ἔχετο] Εἴχετο, ἐκράτει. παθητικῷ ἐχρήσατο ἀντὶ ἐνεργητικοῦ. ἐμπεφυυῖα, ἐμπλέξασα τὰς χεῖρας, ἰσχυρῶς κρατοῦσα, ἐκ τοῦ φῶ φύω πεφυκὼς πεφυὼς πεφυυῖα.

517. μέγ' ὀχθήσας] Μέγα ἀναστενάξας καὶ δεινοπαθήσας, ἀγανακτήσας, ἐκ τοῦ ἔχθος ὀχθῶ ὀχθήσω.

519. ἐρέθῃσι] Παροξύνῃ. ἔστιν ἐνεστῶτος καὶ παρατατικοῦ, τρίτου προσώπου ἑνικοῦ, ἐρέθω, ἐὰν ἐρέθω, καὶ κατ' ἐπέκτασιν τῆς σι τρίτον πρόσωπον ἐρέθῃσι.

Ib. Ἥρῃ ὅταν μ' ἐρέθῃσιν] Τὸ Ἥρῃ εἰ μὲν σὺν τῷ ι γράφεται ἄνω ἡ στιγμὴ, εἰ δὲ τὰς ἑξῆς χωρὶς τοῦ ι.

Ib. ὀνειδίοις] Ὀνειδιστικοῖς, ὑβριστικοῖς, χλευαστικοῖς· τὸ δὲ ὅλον, ὁπόταν με ἡ Ἥρα ὑπονοήσασά σοι χάριν παρέχειν, παροξύνῃ, χρωμένη λόγοις ἐρεθιστικοῖς. Ἀρίσταρχος κατ' εὐθεῖαν οὐχὶ δοτικὴν, ἵν' ᾖ ὅταν ἐρεθίσῃ.

522. ἀπόστιχε] Ἀπαλλάσσου, ἀναχώρει, ἐκ τοῦ στίχος, στίχῳ, τὸ στίχος ἐκ τοῦ στύχος ἢ ἐκ τοῦ στίζω.

524. ὄφρα πεποίθῃς] Ὅπως σαφῶς μάθῃς, πιστεύσῃς μοι· ἀπὸ τούτων λέγεται τῶν δύο στίχων Φειδίαν τὸν ἀγαλματοποιὸν ποιῆσαι τὸν ἐν τῇ Ἰλιάδι [x] χαλκοῦν ἀνδριάντα οὕτω καμπτόμενον καὶ συνωθούμενον.

526. τέκμωρ] Τεκμήριον. εἰς τὸ τέλος στίζουσιν οἱ πολλοὶ, συνάπτοντες τοῖς ἄνω, ἔνιοι δὲ ἐφεξῆς ἀναγινώσκουσι στίζοντες εἰς τὸ μέγιστον· καὶ ἀνάγνωσμα ποιοῦσιν οὐχ Ὁμηρικὸν μὲν, ἀναγκαῖον δὲ, ἐπειδὴ τὸ ἐμὸν κτητικόν ἐστιν, αἱ δὲ κτητικαὶ ἀντωνυμίαι μετὰ τῶν κτημάτων συνάπτονται· τέκμωρ ἐκ τοῦ τέκω τέκμωρ.

526. οὐδ' ἀπατηλὸν] Οὐδ' ἀπατητικόν. διὰ τοῦ παλινάγρετον ἐσήμανεν, ὅτι βέβαιός ἐστιν, ὅτι φιλάγαθος, ὅτι τελεσιουργὸς, διὰ δὲ τοῦ οὐδ' ἀπατηλὸν ὅτι φιλάγαθος, διὰ δὲ τοῦ οὐδ' ἀτελεύτητον, ὅτι καὶ τελεσιουργὸς ὑπάρχει ὁ θεός· τὸ ἀπατηλὸν τὸ ἀτελεύτητον σημαίνει ἐκ τοῦ ἀπάτη, τοῦτο ἐκ τοῦ φῶ τὸ λέγω, ἀφῶ ἀφάτη καὶ ἀπάτη.

528. ἦ] Ἔφη, φημὶ φήσω, ὁ δεύτερος ἀόριστος ἔφην ἔφης ἔφη Ἰωνικῶς, καὶ ἀφαιρέσει τοῦ φ, ἦν ἦς ἦ.

529. ἀμβρόσιαι] Θεῖαι, θαυμασταὶ, ἐκ τοῦ βρῶ βρῶμι βέβρομαι βέβροσαι.

[x] Leg. Ἤλιδι.

Ib. χαῖται] Τρίχες, ἐκ τοῦ χεῖσθαι ἢ κεῖσθαι ἢ ἔχεσθαι· ἢ παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ.

Ib. ἐπερρώσαντο] Ἐπεσείσθησαν· ἐκ τοῦ ῥῶ ῥώσω.

532. ἆλτο] καθήλατο, ἅτε δὴ οὖσα ἐνάλιος δαίμων.

Ib. ἀπ' αἰγλήεντος] Λαμπροῦ παρὰ τὴν αἴγλην, τοῦτο παρὰ τὸ ἀΐσσω.

533. ἀνέσταν] Ἀνέστησαν, Δωρικῶς, ἐκ τοῦ ἵστημι.

536. θρόνου] Καθέδρας, ἐκ τοῦ θρῶ θρέω, καὶ κατὰ πλεονασμὸν θρένω θρόνος.

537. ἠγνοίησεν] Ἠγνόησεν, ἐκ τοῦ νοῦς νοὸς νοῶ ἀγνοῶ.

Ib. συμφράσσατο] Συνηβουλεύσατο, φράζω τὸ γινώσκω καὶ διανοοῦμαι.

538. ἀργυρόπους] Λαμπρόπους, ἀπὸ μέρους ὅλη καλὴ, μέρος γὰρ ὁ ποῦς.

540. δολομῆτα] Δόλια βουλευόμενε. γυναικεῖα ἄμφω, τόγε ὑπονοῆσαι καὶ τὸ μὴ ἐπισχεῖν τὸν λόγον· δείω δόλος δόλιος· ὁ γὰρ φοβούμενος δόλιός ἐστι.

542. κρυπτάδια] Κρυφαῖα, λαθρήδια, ἐκ τοῦ κρύπτω κρύβδην.

Ib. δικαζέμεν] Δικάζειν, ἐκ τοῦ δίζω τὸ ζητῶ, ἡ δίχη καὶ δίκη.

Ib. οὐδέτι πώ μοι] Οὐδέποτέ μοι, ὀξύνεται τὸ πω διὰ τὸ μοι.

545. ἐπιέλπεο] Ἔλπιζε, ἐκ τοῦ ἔλπω ἔλπομαι, ἠλπόμην ἤλπου ἤλπετο καὶ ἤλπεο.

546. χαλεποί τε ἔσονται] Βλαβεροί σοι γενήσονται, ἐκ τοῦ χαλέπτω τὸ κακῶ καὶ χαλεπτὸς καὶ χαλεπός· ἐνίοτε δὲ καὶ ἀντὶ τοῦ καλὰ τὰ χαλεπὰ κεῖται· ἡ παροιμία ἀπὸ Περιάνδρου τοῦ Κορινθίου, δημωτικοῦ πρότερον ὄντος, ὕστερον δὲ τυραννήσαντος, ἃ πυθόμενος ὁ Σόλων ἔφη, "χαλεπὰ τὰ καλά." ταύτης καὶ Πλάτων μέμνηται.

Ib. ἀλόχῳ] Γυναικὶ, ἐκ τοῦ λέχω λέχος, λόχος καὶ ἄλοχος.

Ib. ἐούσῃ] Ὑπαρχούσῃ, ἐκ τοῦ ἐὼν ἐοῦσα οὖσα.

547. ἐπιεικὲς] Πρέπον, πρᾶον, ὡς τιμὴν αὐτῷ περιάπτειν.

550. διείρεο] Ἀνερώτησις· ἔρως ἐστὶν ἡ ἐπιτεταμένη ἐπιθυμία, ἐράω ἐρῶ εἴρεο.

551. βοῶπις] Εὐόφθαλμος, καλή· βοῶ, βοῶμι, οἱονεὶ τρέφω βοῦς.

552. ποῖον τὸν μῦθον] Ἀττικῶς προσελθόντος τοῦ ἄρθρου τῷ πύσματι.

553. οὔτ' εἴρομαι] Οὔτε ἀνηρώτησις ἐκ τοῦ ἐρῶ, εἴρω τὸ λέγω, ἄμφω διὰ τοῦ τ̄, ἵν' ᾖ ἐκφαντικὸν δεύτερον λεγόμενον.

Ib. Μεταλλῶ] Ἐπιζητῶ, δευτέρας συζυγίας τῶν περισπωμένων.

557. ἠερίη] Ὀρθρινή σοι παρεκαθέσθη. οἱασδηποτοῦν τυχεῖν χρείας ἐλπίζοντες ἐν ὄρθρῳ τελοῦσι τὴν ὁδὸν διὰ τὸ ἄγνωστον ἢ διὰ τὸ εὐέλπιστον.

561. αἰεὶ μὲν ὀΐεαι] Διὰ πάντος μὲν ὑπονοεῖς, ἅπαντα ὀργῇ πράσσουσα καὶ οὐ λογιζομένη.

565. ἐπιπείθεο] Πείθου· ἡ γὰρ ἄγνοια οὐ τοσοῦτον λυπεῖ, ὅσον τὰ ἀποθύμια γινώσκει.

566. οὐ χραίσμωσιν] Οὐκ ἐπιβοηθήσωσι. ἀπὸ τοῦ χρήσιμος χρησιμῶ χραισμῶ.

569. ἐπιγνάμψασα] ἐπικάμψασα τὴν ἑαυτῆς ψυχὴν, ὅ ἐστι πραΰνασα.

570. ὤχθησαν] Ἐστέναξαν, ἐδεινοπάθησαν διὰ τὴν Ἥραν.

Ib. ἀνὰ δῶμα Διὸς] Κατὰ τὴν οἰκίαν. διασταλτέον ἐπὶ τοῦ Δίος.

574. ἐριδαίνετον] Ἐρίζετε, φιλονεικεῖτε ἐκ τοῦ ἔρις ἔριδος ἐριδαίνω.

576. ἦδος] Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ φησιν, "ὅτι ἦδος "βούλονται τινὲς δασύνειν, ἡμεῖς δὲ ἐκρίναμεν ὥστε μᾶλλον "ψιλοῦσθαι, ἐπειδὴ τὰ εἰς ο̅ς̅ λήγοντα οὐδέτερα δισύλλαβα, "ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, θέλει ψιλοῦσθαι· οἷον αἶσχος, "εὖχος, εἶδος, οὐδός· τὸ ἦδος οὖν ψιλωτέον ὡς τροχαϊκὸν τῶν εἰς "ο̅ς̅ ληγόντων· παράγεται δὲ ἐκ τοῦ ἥδω ἦδος."

Ib. ἐπεὶ τὰ χερείονα νικᾷ] Ἐπειδὴ ὅλως τὰ χείρονα τῶν καλλιόνων πραγμάτων ἐπικρατέστερα.

577. παράφημι] Παραινῶ, συμβουλεύω.

Ib. νεούσῃ] Φρονούσῃ, ἐκ τοῦ νέω τὸ κινῶ, ἐξ οὗ καὶ νόος.

579. νεικείῃσι] Κακολογεῖ, ὀνειδίζει· ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ, εἶκος καὶ νεῖκος, καὶ νεικῶ παράγωγον.

580. ἀστεροπητὴς] Ἀστραπτικὸς, ἀστραπὰς ποιῶν.

582. *μαλακοῖσιν*] Ἐκ τοῦ μαλάσσω μαλακός· τὸ δὲ μαλάσσω ἐκ τοῦ μάσσω, κατὰ πλεονασμὸν τῆς λα συλλαβῆς.

584. *ἀμφικύπελλον*] Ἀμφοτέρωθεν κοῖλον καὶ περιφερὲς, οἱονεὶ χύπελλον, ἔνθα ὁ πηλὸς χεῖται, ὅθεν καὶ κάπηλος ὁ τὸν οἶνον πωλῶν· γελοῖος δέ ἐστιν ὁ Ἥφαιστος ἀναπηδῶν καὶ μιμούμενος Ἥβην καὶ Γαννυμήδην, καὶ μεμνημένος τῆς ῥίψεως· πηλὸς οὖν ὁ οἶνος, ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν τὴν κάραν.

587. *ἴδωμαι*] Θεάσωμαι, παρὰ τὸ ἴδω τὸ θεωρῶ, καὶ τὸ ὑποτακτικὸν παθητικὸν ἐὰν ἴδωμαι.

589. *ἀργαλέος*] Χαλεπὸς γάρ ἐστιν ὁ Ζεὺς τῷ βουλομένῳ αὐτῷ ἀντιφέρεσθαι, ὅ ἐστιν ἐναντιοῦσθαι καὶ φιλονεικεῖν· εἰς ἀπόδειξιν τῆς ἰσχύος τοῦ Διός· τὸ ἤδη γὰρ καὶ τὰ ἑξῆς.

590. *ἀλεξέμεναι*] Ἀλέξω ἀλέξειν, καὶ Ἰωνικῶς καὶ Δωρικῶς ἀλεξέμεναι, ὃ σημαίνει τὸ βοηθεῖν.

Ib. *μεμαῶτα*] Μῶ μήσω μέμηκα μεμηκὼς μεμακὼς, καὶ ἐκθλίψει τοῦ κ μεμαώς.

591. *θεσπεσίοιο*] Θεοσπέσιος, καὶ κατὰ συγκοπὴν θεσπέσιος, ὃ σημαίνει τὸν θεῖον καὶ θαυμαστόν.

P. 45, 42. Ἀλλ' οὐκ ἐπιλείπει· τὸ δὲ ὅλον ἀλληγορία, λύει δὲ αὐτὴν εἰδήμων.

Ib. Σίντιες] Οἱ Λήμνιοι.

598. *ἀφύσσων*] Ἀρυόμενος ἀπαντλῶν, ἐκ τοῦ ἀφῶ ἀφύω ἀφύσσω.

599. *ἐνῶρτο*] Διεγείρετο, παρατατικὸς παθητικὸς, τὸ θέμα ὄρω ὄρσω Αἰολικῶς, ὁ ἐνεστὼς ὄρσομαι ὠρσόμην ὤρσετο, καὶ κατὰ συγκοπὴν ὦρτο· ἔστι δὲ δευτέρου ἀορίστου ὥς τινές φασι.

600. *ποιπνύοντα*] Διακινοῦντα, ἐνεργοῦντα, μετοχὴ ἐνεστῶτος καὶ παρατατικοῦ, πονῶ πονύω, καὶ πλεονασμῷ τοῦ ι καὶ π ποιπνύω, καὶ ἄλλως τὸ μετὰ πνεύματος καὶ σπουδῆς ποιεῖν τι· ἔγκειται οὖν ὁ ποιητὴς καὶ τὸ "πνοὴ Βορέαο."

603. *φόρμιγγος*] Κιθάρας, παρὰ τὸ ὀρῶ ὁρμῶ ὅρμος ὁρμίσσω φορμίσσω φόρμιγξ· ἢ μεταθέσει τοῦ ρ φρόμιγξ, παρὰ τὸ προηγεῖσθαι τῆς οἴμης· πρῶτον γὰρ ἐκιθάριζεν ὁ Ἀπόλλων, εἶτα ἐπῆγε τὴν ᾠδήν.

Ib. Μουσάων] Τέσσαρες τέχναι ἀνατίθενται τῷ Ἀπόλλωνι· μουσικὴ, τοξικὴ [y] καὶ μαντευτική· ὁ δὲ λόγος κ. τ. λ.

P. 45, 50. Ἴδιον οἶκον ἔχειν, ὅ ἐστι τῶν ἀστέρων, θεοὶ γὰρ καὶ αὐτοὶ, παρὰ τὸ θέειν καὶ ὀξύτερον τῆς ἐνεργείας αὐτῶν.

Ἱστορίαι καὶ ἀπορίαι τῆς Β̄ Ὁμήρου Ῥαψῳδίας.

1. Ἄλλοι μέν ῥα] Οἱ μὲν δὴ λοιποί· ἔστι δὲ σύνδεσμος παραπληρωματικός· τινὲς ὅλοι γράφουσιν, ὡς Ζηνόδοτος. λείπει δὲ τοῖς ἄρθροις ὁ ποιητής· διδάσκει δὲ, ὅτι καὶ θεοῖς πρὸς σκέψιν εὔθετος νὺξ, τούς τε ἄρχοντας οὐ παννυχίζειν δὲ δεῖ καὶ πάντα τρόπον τὰς ὑποσχέσεις πληροῦν.

2. παννύχιοι] Δι' ὅλης τῆς νυκτὸς, οὐκ ἄρα οὖν ὁ Ζεὺς αἴτιος ἐγένετο τῆς ἀπάτης τοῦ Ἀγαμέμνονος, ἐκείνου μὴ ποιήσαντος τὸ κελευσθέν. εἰ γὰρ αὐτῷ ὄνειρος πανσυδίῃ, ὅ ἐστι σὺν πάσῃ τῇ στρατιᾷ, αὐτὸς δὲ χωρὶς Ἀχιλλέως καὶ τῶν Μυρμιδόνων ἐξῆλθεν· οὗτοι (οἱ) δὲ ἡ (οι) μεγίστη [z] καὶ δύναμις τῶν Ἑλλήνων, οὐδαμῶς εἴρηται τῆς ἀπάτης αὐτῷ [a] ὁ θεός.

P. 47, 9. Ὡς οἱ ἄλλοι μεριμνῶν· ἢ καὶ ἄλλως ἐροῦμεν, ὅτι οὐ πάντως ἐκοιμᾶτο, ἀλλὰ κατὰ τὸ σιωπώμενον ἀνεπαύετο· Θέτις γὰρ αὐτὸν προσεκάλεσεν ὑπὲρ τοῦ υἱοῦ λέγουσα,

> Ζεῦ πάτερ εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα,

καὶ τὰ ἑξῆς.

5. ἥδε δέ οἱ] Αὕτη δὲ αὐτῷ· πολλὰ προσκεψάμενος, ταύτην εὗρε χρειώδη βουλήν· ἔστι δὲ ὡς τὸ,

> ἕτερος δέ με θυμὸς ἔρυκε.

καὶ,

> αἱ δεύτεραι φροντίδες σοφώτεραι.

Ib. φαίνετο] Ἐφαίνετο, ἐκ τοῦ φῶ τὸ λογίζομαι.

7. καί μιν φωνήσας] Καὶ αὐτὸν προσκαλεσάμενος.

10. ἀτρεκέως] Ἀληθῶς· παρὰ τὸ τρέχω τρεχὴς καὶ ἀτρεχὴς, καὶ τροπῇ τοῦ χ̄ εἰς κ̄ ἀτρεκὴς, ὁ μὴ διατρέχων τὴν ἀλήθειαν.

11. κομόωντες] Ἀπὸ τοῦ κομῶντες ἐν διαιρέσει κομόωντες.

12. πανσυδίῃ] Πανστρατιᾷ, ἐν δοτικῇ· πανευδίῃ, πανσυδίῃ

[y] Vacuum spatium. add. ἰατρική. [z] Sic. [a] Leg. αἴτιος.

Δωρικῶς. Ζητεῖται διὰ ποίαν αἰτίαν ψευδόμενον παρεισάγει ὁ ποιητὴς κατὰ τὴν ἐπαγγελίαν τῆς Ἰλίου πορθήσεως τὸν Δία; καὶ φαμὲν, ὅτι οὐ ψεύδεται, ἀλλ' Ἀγαμέμνων πεπλάνηται· ὁ μὲν γὰρ ἔφη, "θωρῆξαι ἐκέλευε πανσυδίῃ." ὁ δὲ τὸ μέγιστον μέρος παραλιπὼν τὴν Ἀχιλλέως συμμαχίαν, εἰκότως τῆς ἐλπίδος ἐσφάλη, μὴ νοήσας τὰς τοῦ θεοῦ φωνάς.

Ib. νῦν γάρ κεν] Ἀρτίως γὰρ ἄν.

Ib. ἕλοι] Λάβοι, πορθήσοι· ἀληθεύει δηλονότι ὁ ὄνειρος.

Ib. εὐρυάγυιαν] Πλατυάμφοδον, ἀγυιαὶ γὰρ τὰ ἄμφοδα, ἐκ τοῦ ἄγω καὶ τοῦ εὖρος τὸ πλάτος, εὐρυάγυια, ἢ παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ.

13. ἀμφὶς—φράζονται] Χωρὶς ἀλλήλων βουλεύονται, διχογνωμοῦσι περὶ τῆς Ἰλίου· τουτέστιν οὐκέτι γὰρ οἱ τὸν Ὄλυμπον οἰκοῦντες θεοὶ διάφορα φρονοῦσιν, οἱ μὲν τὰ ὑποκείμενα τὰ ὑπὲρ Τρώων, οἱ δὲ τὰ ὑπὲρ Ἑλλήνων, ἐκ τοῦ φρῶ φράζω, ὡς χῶ χάζω.

42. μαλακὸν] Ἁπαλὸν, τρυφερὸν, παρὰ τὸ μαλάσσω· εἴρηται δὲ χιτὼν τὸ ἱμάτιον, παρὰ τὸ οἱονεὶ χεῖσθαι καὶ περιχεῖσθαι ἐν τῷ σώματι· ἰστέον δὲ ὅτι ἐπὶ μὲν ἀνδρὸς, χιτῶνα λέγομεν, ἐπὶ δὲ γυναικὸς, πέπλον.

43. περὶ δὲ μέγα βάλλετο φάρος] Τὸ μέγα, τῷ μεγέθει τοῦ ἱματίου, καὶ τὸ τοῦ φοροῦντος αὐτὸ συνεμφαίνεται μέγεθος· μέγα δὲ καὶ παχὺ τὸ ἱμάτιον· πρεπώδης δὲ στολὴ τῷ ἐπὶ βουλὴν ἐξιόντι, ἡνίκα δ' ἐπὶ πολέμου "ὄμματα καὶ κεφαλήν." ἡνίκα δὲ ἐπὶ σκοπὴν, τὴν λεοντίνην· τὸ δὲ φάρος καὶ ἐπὶ γυναικῶν, φάρος ἱμάτιον, παρὰ τὸ φέρεσθαι ἢ τῇ ὑφῇ ἀρηρέναι.

44. λιπαροῖσι] Ἢ λαμπροῖς κατὰ ἀντίφρασιν.

45. ξίφος] Τὴν καλουμένην σπάθην, σπάθη δὲ παρὰ τὸ σπᾶσθαι αὐτὴν τῆς θήκης.

Ib. ἀργυρόηλον] Ἀργυροῖς ἥλοις πεπαρμένον, ἢ παρέλκει τὸ ἐπίθετον, ἢ μεμιγμένον ἔχον χρυσοῦς.

48. ἠὼς μὲν ῥά] Ἡ ἡμέρα μὲν δὴ, παρὰ τὸ ἄω, ἐξ οὗ καὶ ἄος καὶ αὖος, καὶ πλεονασμῷ τοῦ γ αὖγος καὶ αὐγή· ἐκ δὲ τοῦ ἄος ἠὼς, κατὰ τροπὴν τοῦ ο μικροῦ εἰς ω μέγα.

Ib. προσεβήσατο μακρὸν Ὄλυμπον] Προσῆλθε τῷ μεγίστῳ Ὀλύμπῳ, τουτέστιν ἀνέτειλε πρὸς ἕω, ὄνειρος ἀληθὴς πεπτομένων τῶν σιτίων.

53. ἷζε] Ἐκάθιζε, καθίδρυεν, ἡ κοινὴ τοῦ ἷζε συστέλλεται, φθάνει δὲ τῶν χαλκαίνων[a] πολιτείαν, βουλὴν γερόντων, καὶ δύο βασιλεῖς λέγων· γέγονε δὲ παρὰ τὸ ἵζω, τοῦτο δὲ παρὰ τὸ ἕζω, τοῦτο δὲ παρὰ τὸ ἕω τὸ καθέζομαι.

56. ἐνύπνιον] Κατὰ τοὺς ὕπνους, ὀνοματικὸν ἐπίρρημα ἀντὶ τοῦ ἐνυπνίως· ἔστι δὲ καὶ ὄνομα. Κρατῖνος[b],

θράττει μὲν τὸ ἐνύπνιον.

57. εἶδος] Τὸν τῆς ὄψεως χαρακτῆρα. ἀληθῆ γὰρ δοκοῦσιν ὅσα θεοί φησι, ἀξιόλογοι ἄνδρες διδάσκουσι λέγειν.

73. ἣ θέμις ἐστι] Ὡς νενόμισται, καὶ ὡς προσῆκόν ἐστι.

74. καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι] Διὰ τὸ ἀστρατηγικῶς φεύγειν τοῖς ὄχλοις προστάσσει ὁ Ἀγαμέμνων· ῥητέον τῇ μεταγωγῇ τῶν πραγμάτων νεωτέρας τὰς ψυχὰς ποιῆσαι ἠβουλήθη, ὅπως ἐπιθυμίᾳ τῶν πατρίδων τέμνωνται τὸν χρόνον τοῦ πολέμου.

80. ἔνισπεν] Εἶπεν, οἷς γὰρ οἰκεῖον τὸ μεριμνᾷν, τούτοις ἀληθεῖς αἱ φάνσεις, καὶ ὧν ἡ ἀποτυχία κίνδυνον φέρει, οὐκ ἂν ψεύσαιτο· Ζητεῖται διατί κόλακα τὸν Νέστορα παρεισάγει Ἀγαμέμνονος λέγοντος,

εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος.

ῥητέον οὖν, ὅτι φιλοσόφου ἐνθυμήματι χρῆται πιστεύσας τῷ ὀνείρῳ, ὁποῖον τι Μένανδρος ἐπεφώνει εἰπὼν, "ἃ γὰρ μεθ' ἡμέραν τίς ἐσπούδασε, ταῦτ' εἶδε νύκτωρ." εἰδὼς οὖν ἐνθυμούμενον τὰ τοῦ πολέμου τὸν Ἀγαμέμνονα, εἰκότως εἴρηκεν ἀληθῆ τὸν ὄνειρον εἶναι.

81. καὶ νοσφιζοίμεθα μᾶλλον] Ἢ Ἀττικῶς πλεονάζει, ἢ ἐπεὶ ψευδεῖς οἱ ὄνειροι· διοτρεφεῖς δὲ καὶ ἀγχίθεοι οἱ βασιλεῖς.

87. ἠΰ τε ἔθνεα] Πρώτη δὲ αὕτη παραβολὴ τῷ ποιητῇ, συγγενὲς δὲ ποιητικῶς τὸ ζῷον διὰ τὸν μόχθον καὶ τὸ γλυκὺ καὶ τὴν σύνθεσιν τοῦ κηρίου.

92. ἠϊόνος] Αἰγιαλοῦ, ἀπὸ τοῦ ἀΐσσω, ἀΐων ὄνομα ῥηματικὸν

[a] Leg. Λακώνων. [b] Codd. Lips. et Townl. Κρατῖνος. θράττει μὲν. Lips. cum lacunæ indicio. Townl. autem nullo. Vid. Cratin. Frag. Inc. Fab. 160. Meineke. Nescio an Cod. Par. a Bekkero cit. noster sit.

ἀΐονος, καὶ τροπῇ Ἰωνικῇ τοῦ ᾱ εἰς η̄ ἠΐονος· ἐν ᾧ τὰ κύματα προσκλῶνται ὁρμώμενα.

95. τετρήχει] Ἀπὸ τοῦ ταράσσω, οὗ ὁ παρακείμενος τετάραχα, καὶ κατὰ συγκοπὴν καὶ αὔξησιν Ἰωνικὴν τοῦ ᾱ εἰς η̄ τέτρηχα, καὶ ὁ ὑπερσυντελικὸς ἐτετρήχειν, καὶ ὁ μέσος παρακείμενος τέτρηγα καὶ τετρηγώς.

96. ἐννέα δέ σφεας] Ἐννέα δὲ αὐτούς.

102. Ἥφαιστος μὲν δῶκε Διῒ Κρονίωνι] Τοῦτο καὶ τὰ ἑξῆς ἄχρι τοῦ,

αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι,

καλεῖται κλίμαξ· τὸ λῆγον γὰρ τῆς διανοίας, ἀρχὴ γίνεται τῶν ἑξῆς.

104. Ἑρμείας] Εὐλόγως διὰ τῆς ε̄ῑ διφθόγγου γράφεται, γίνονται γὰρ τοιαῦται παραγωγαὶ διὰ τοῦ ῑᾱς̄ καὶ ε̄ᾱς̄· καὶ οἶμαι τὰ διὰ τοῦ ῑᾱς̄ διὰ τοῦ ῑ μόνου γράφεσθαι, εἰ δὲ εὑρεθεῖεν ἔχοντα τὴν ε̄ῑ δίφθογγον κατὰ πλεονασμὸν τὸ ῑ ἐστι τοῦ παρειὰ, ἐκ γὰρ τοῦ παρειὰ ἔχει τὴν ε̄ῑ δίφθογγον· γέγονεν οὖν ἀπὸ τοῦ ἐρέω ἐρέας καὶ ἑρμέας κατὰ πλεονασμὸν του μ̄, ὡς ἐν τῷ μάλευρον, μοχλὸς, χέρμαδα, τέκμωρ, ἀχυρμία, μίραξ, μία, ἀκμὴ, ἐρίζω, ἐριζαίνω, ἐριδμαίνω, σκυδναίνω·

Ἥρη μὴ δὴ πάντα ἀποσκύδμαινε θεοῖσιν

ἀμβροσίη. διὰ τοῦ ᾱ παρὰ τῷ ποιητῇ, Αἰνείας, Αὐγείας.

105. αὐτὰρ ὁ αὖ Πέλοψ] Ὁ δὲ Πέλοψ πάλιν ἔδωκε τῷ Ἀτρεῖ· μέγα πρὸς ἀρχὴν παρασκευὴ πολυχρόνιος καὶ παλαιὸν τροφῆς ἀξίωμα.

106. πολύαρνι Θυέστῃ] Πολυθρέμμονι, πλουσίῳ.

107. αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι] Θυέστης δὲ κατέλιπε θνήσκων Ἀγαμέμνονι τὸ σκῆπτρον.

P. 54, 27. Ἀτρεὺς βασιλεύων τῆς Πελοποννήσου ἔχων ἐκ Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς, ἢ ὥς τινες τῆς Τελέστορος ἢ Ἀερόπης [c].

[c] Hinc suppletur lacuna in Edd. mox autem pro Ἀερόπης τῆς Ἀτρέως quæ absurda est lectio, omnino reponendum Α. τ. Κατρέως vid. Apollod. Bibl. III. 2, 1.

Ib. αὐτὰρ ὃ αὖτε Θυέστ' Ἀγαμέμνονι] Ἀντὶ τοῦ Θυέστης ἢ ἀντὶ τοῦ Θυέστα, ἵν' ᾖ Θυέστα ἡ εὐθεῖα, μεταπλασμὸς δὲ τοῦτο καλεῖται ὡς τὸ "μητίετα Ζεύς·" χρῶνται δὲ αὐτῷ κατ' ἐξουσίαν οἱ ποιηταί· καίτοι τὸ ᾱ οὐκ ἔστι κατὰ κλητικὴν ἀρσενικοῦ ὀνόματος, ἢ νοήσομεν ὅτι κλητικὴν ἀντὶ εὐθείας εἶπε, πολλάκις γὰρ καὶ τοῦτο ποιεῖ.

108. νήσῃσι] Νήσοις· νῆσος δέ ἐστι γῆ περιεστοιχισμένη ὑπὸ θαλάσσης πανταχόθεν, ἔχουσα ἐν αὐτῇ πολλὰς πόλεις ἢ καὶ ὀλίγας. ἴσως δὲ εἴρηται ἀπὸ τοῦ ὀρνέου τῆς νήσσης, ἥτις καὶ αὐτὴ διὰ πάντος τοῖς κύμασι τῶν ὑδάτων νήχεται, μίαν μόνην ἔξοδον ἔχουσα ἐπὶ τὴν ξηρὰν εἰ τύχοι.

117. πολλάων] Πολλῶν· ἔστι δὲ ὁ τρόπος ἐπέκτασις, ἴδιος Ἰώνων.

131. οἵ με μέγα] Μεγάλως, συγκοπὴ ὁ τρόπος.

Ib. οὐκ εἰῶσ'] Οὐ συγχωροῦσι βουλόμενον, ὅ ἐστι δυνάμενον· ἡ δὲ διάλεκτος τοῦ οὐκ εἰῶσιν, Ἰάς.

150. ἐπ' ἐσσεύοντο] Ἐπήρχοντο, ἐπηκολούθουν. οὐκ ἀναστρεπτέον, αἱ γὰρ συναλειφόμεναι οὐκ ἀναστρέφονται, εἰ μὴ ἐπὶ τέλους κεῖνται, ῥῆμα δηλοῦσαι, ἐκ τοῦ σῶ σύω, κατὰ πλεονασμὸν σεύω.

Ib. ὑπένερθεν] Ὑποκάτωθεν.

151. ἀειρομένη] Εἰς ὕψος αἰρομένη, ἐκ τοῦ αἴρω, πλεονασμῷ τοῦ ε̄ ἀείρω.

Ib. τοί δ' ἀλλήλοισι κέλευον] Οὗτοι ἀλλήλοις παρεκελεύοντο, τουτέστιν εἰς ἕνα ἐπεσπούδαζον.

155. νόστος] Ἡ εἰς τὸν οἶκον ἀνακομιδή.

Ib. ἐτύχθη] Ἐγένετο, παρὰ τὸ τεύχω, ἔλλειψις τοῦ ε̄· πολλάκις δὲ καὶ διὰ τοῦ ῡ, ὡς τέχνη.

157. αἰγιόχοιο] Τοῦ αἰγίδα ἔχοντος· αἰγὶς δέ ἐστιν ὅπλον τοῦ Διὸς ἡφαιστότευκτον.

159. νῶτα θαλάσσης] Ἤτοι τὴν ἐπιφάνειαν τῆς θαλάσσης, ἢ τὰ μεγέθη.

P. 58, 45. Ἡ γὰρ Λακωνικὴ μέρος ἦν πέμπτον τῆς ὅλης Πελοποννήσου, ὡς καὶ ἔμπροσθεν εἴρηται Ἄργος Ἀργεία.

163. ἀλλ' ἴθι] Ἐκ τοῦ εἶμι τὸ πορεύομαι ἔμεν, καὶ τὸ προσ-

τακτικὸν ἔθι· οὐκ ἄλογος καὶ τοῖς ἐνδόξοις ἡ χρειώδης ὑπηρεσία.

164. ἀγανοῖς] Προσηνέσι, πραέοις, σεμνοῖς, ἢ ὑπάγεσθαι δυναμένοις· οὕτω γὰρ ἔδει μαλάσσειν τὸ φριγῶδες τοῦ θυμοῦ· τὸ δὲ ᾱ πρὸ τοῦ γ̄ ψιλοῦται, πλὴν τοῦ ἅγι[d], ἀψός;

171. ἄχος] Λύπη· ἢ ἀφ' ὧν[e] ἀνία, ἣν ἔσχε Νιόβη.

199. ἐλάσασκεν] Ἔπληττεν. οἱ γὰρ θρασεῖς κολακευόμενοι ἐπαίρονται· πῶς οὖν δημοχάρης τίς Ὀδυσσεὺς φησιν; ἵνα ἐκεῖνοι τούτων ἀκούοιεν, καὶ ἔκδηλος ἡ βουλὴ γένηται.

Ib. κοίρανος] Βασιλεὺς, ἡγεμών. οὕτω γοῦν ὅτι ἡ Περσῶν ἀρχὴ διὰ τῆς μοναρχίας μεγάλη ἐστί· καὶ οἱ Ἀθηναῖοι δὲ ὁπόταν πλείονας παρεῖχον τῷ στρατεύματι ἡγεμόνας κ. τ. λ.

P. 61, 20. Ἧ ὁ τὰ ἀγκύλα καὶ σκολιὰ καὶ δυσχερῆ πράγματα τῇ μήτιδι περιλαμβάνων, κορόνους τις ὢν καὶ τέλειος νοῦς, καὶ εἰδήμων τῶν σκολιῶν πραγμάτων καὶ εὐμήχανος.

P. 61, 26. Ὡς τὸ ἀγκύλα τόξα.

212. μοῦνος] Τὸ σχῆμα ἐπένθεσις· ἐπένθεσις δέ ἐστι διχρόνου φωνήεντος δίφθογγον ποιοῦντος τὴν συλλαβὴν πρόσθεσις, οἷον ὁδὸς, οὐδὸς, ὅρος οὖρος, μόνος μοῦνος, Ἐρετρία Εἰρετρία, κόραι κοῦραι· γινώσκειν μέν τοι χρὴ ὅτι αἱ διχρόνων ἐπενθέσεις, τὰ μὲν ψιλούμενα οὐ μεταβάλλουσιν εἰς δασέα, τὰ δὲ δασυνόμενα ψιλοῦσιν.

215. ἀλλ' ὅτι οἱ εἴσαιτο γελοίϊον Ἀργείοισιν ἔμμεναι] Ἀλλ' ὅπερ ἂν ἐνόμιζεν ὁ Θερσίτης ἀναγκαῖον εἶναι, τοῦτο γέλωτος πολλοῦ ἄξιον ἐφαίνετο τοῖς Ἕλλησι· ἀντὶ τοῦ γελοῖος· τὸ δὲ ἔμμεναι ἀπὸ κοινοῦ· τὸ τί ἀναφορικόν ἐστι.

219. φοξὸς] Ὀξυκέφαλος· φοξὸς τῶν διχῶς εἰρημένων· σημαίνει δὲ τὸν ὀξυκέφαλον· εἴρηται δὲ κ. τ. λ.

Ib. ἐπενήνοθεν] Ἐπήνθει, ἐπέκειτο· τὸ ἐνήνοθεν οὐ δύναται εἶναι Ἀττικὸν, καθὸ ἤνοθεν καὶ ἐνήνοθεν, οὐ διπλασιασμὸς Ἀττικὸς, ἀπὸ γὰρ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ὑπάρχω γίνεται παράγωγον ἐρέθω, ὡς φλεγέθω, ἐρέθω, νεμέθω, εἶτα κατὰ συνέλευσιν τῶν δύω ε̄ε̄ εἰς η̄ ἤθω γίνεται τὸ θέμα· ὥστε οὖν δεῖ λέγειν ὅτι κατὰ πρόσθεσιν τῆς ε̄ν̄ ἐγένετο ἐνήθω, ἤνοθα ὁ μέσος παρακείμενος καὶ

d Fors. leg. ἅγιος. e Leg. ἄφωνος.

ἐνήνοθα· ἢ κατὰ Φιλόξενον, ἐκ τοῦ ὄθω τοῦ σημαίνοντος τὸ κινῶ, μετὰ τῆς ἐν ἐνόθω ἐνόσω ὁ μέλλων, ὅθεν ἐνοσίχθων καὶ ἐνοσίφυλλος, ἤνοκα καὶ ἤνοθα ὁ μέσος, καὶ διπλασιασμῷ Ἀττικῷ ἐνήνοθα, ὅπερ καὶ ἄμεινον τούτου λαμβάνειν.

Ib. λάχνη] Τρίχωσις.

P. 63, 7. Φησὶ γὰρ ὅτι ἐν τῇ Ἀμαζονομαχίᾳ (ἦλθον γὰρ αἱ Ἀμαζόνες τοῖς Τρωσὶ σύμμαχοι μετὰ τὸν Ἕκτορος θάνατον) ἀνελὼν ὁ Ἀχιλλεὺς κ. τ. λ.

221. τὼ γὰρ νεικείεσκε] Τούτους γὰρ πρῶτον προελοιδόρησε κακολογήσας, εἶθ' οὕτως τὸν Ἀγαμέμνονα.

222. ὀξέα] Μεγάλα.

226. πλεῖαι] Οὐκ ἀπὸ τοῦ πλείων ἀλλ' ἀπὸ τοῦ πλεῖος, ἀφ' οὗ παρὰ τῷ ποιητῇ "πλέος μέλανος θανάτοιο." καὶ, "πλεῖαί τοι "χαλκοῦ κλισίαι."

P. 65, 10. Κατὰ μὲν τὸ σύνηθες Πλεισθένους καὶ Ἀερόπης, Ἀτρέως παιδὸς τοῦ Πέλοπος. 14. Ἄξιον, πάνυ ἀνατραφέντες νέοι οἱ αὐτοῦ παῖδες ὑπὸ Ἀτρέως αὐτοῦ ἐκλήθησαν παῖδες. Διὰ ποίαν αἰτίαν εἰπὼν,

εἰ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε,

εὐθὺς ἐπάγει,

σκήπτρῳ μετάφρενον ἠδὲ καὶ ὤμω πλῆξε;

λέγομεν δὲ ἡμεῖς ὅτι τὸ τηνικαῦτα εἶπεν ἀποδύειν καὶ οὕτω τύπτειν γυμνόν.

269. ἀχρεῖον ἰδὼν] Ἀπρεπὲς καταστήσας τὸ πρόσωπον, ἢ ἀγενὲς καὶ ἄνανδρον, ἢ ἀειδὲς καὶ δύσμορφον. γίνεται δὲ ἐκ τοῦ χρῶ τοῦ ἅπτομαι καὶ πλησιάζω, οὗ παράγωγον χραύω,

χραύσῃ μὲν τ' αὐλῆς ὑπὲρ ἄλμενον.

ἀφ' οὗ τὸ "ἔχραε" τὸ βαρύνειν, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀχρὴς, καὶ ἀχρεῖον τὸ ἀσθενὲς καὶ βάρους μὴ μετέχον.

P. 66, 14. Ἀχρεῖον ἰδὼν, ὀργιζόμενος καὶ μὴ δυνάμενος ἀμύνασθαι τὸ βλέμμα διαγράφει.

273. κορύσσων] Καθοπλίζων, παρασκευάζων, Αἰολικὸν ἀπὸ τοῦ κορύπτω· στασιάζον δὲ πλῆθος πληγαῖς ἢ γέλωτι παύσηται, οἷς ἀμφοῖν ἐχρήσατο ὁ ποιητής.

P. 67, 4. Τὴν τῆς Ἰλίου πόρθησιν, ὡς ὀψέ ποτε τοῦ Ὀδυσσέως ἐπινοήσαντος τὴν τοῦ δουρείου ἵππου κατασκευήν.

P. 68, 7. Αἱ δὲ τὸν οἶκον φυλάσσονται μὴ κεκτημέναι.

291. ἦ μὴν καὶ πόνος ἐστί] Ἔστι μὲν οὖν καὶ πόνος· ἦ μὴν καὶ πόνος ἐστί· καί τοι λύπης γε οὔσης οὐ μικρᾶς, πονήσαντα τινα καὶ μοχθήσαντα ἐπὶ πράγματι ἐπανελθεῖν ἄπρακτον καὶ μὴ ἐκτελέσαντα.

303. χθιζά τε καὶ πρώϊζ'] Χθὲς καὶ πρώην.

307. πλατανίστῳ] Ὑπὸ τῇ ἱερᾷ πλατάνῳ.

P. 69, 9. δράκων] Ὅπου ἡμῖν ἐφάνη ὁ δράκων, οὗτινος τὸ ὄνομα ὁ Πορφύριος ἐν τοῖς ζητήμασιν ἔφη, λέγων αὐτὸν Σθένιον.

P. 69, 18. Τῆς ἐνναετηρίδος τοῦ πολέμου τὸ ἐναγώνιον ἐσήμανεν.

P. 70, 6. Οὕτω δοκεῖ τονίζειν τῷ Ἀριστάρχῳ.

P. 70, 43. Ἔτεα· ἢ ὅτι τέλειος χρόνος ὁ ἐνιαυτὸς, ἢ ὅτι τρεῖς χρόνοι εἰσὶ δι' ὧν κ. τ. λ.

P. 70, 47. Ἀθηνᾶ εἰκάσασα Ἡρακλεῖ, ἐποίησεν ἀναιρεθῆναι.

P. 70, 48. Ἐν Γερήνοις τρεφόμενος, ἔφυγε γὰρ ἵππου ἐπιβὰς εἰς Γέρηνα.

P. 71, 21. ψεῦδος] Ὑπόσχεσις, εἰ ψευδὴς ἡ ὑπόσχεσις. — 22. Τὰ πρὸς τὴν σημασίαν ἀναφερόμενα· ψεῦδος.

350. Κρονίωνα] Κρόνου παῖδα· εἰσὶ γὰρ καὶ ἕτεροι, ἄρρενες μὲν Ζεὺς, Ποσειδῶν, Ἄρης· θήλειαι δὲ, Ἑστία, Δημήτηρ, Ἥρα.

356. τίσασθαι] Τιμωρήσασθαι· τιμωρῆσαι δὲ καὶ βοηθῆσαι τῇ Ἑλένῃ καὶ ἀμύνασθαι ὑπὲρ αὐτῆς ἀνθ' ὧν ὑπέμεινε φροντίδων καὶ στεναγμῶν ἁρπαγεῖσα· κατὰ γὰρ τὸν ποιητὴν ἐνταῦθα ἄκουσα ἡρπάγη· ἢ καὶ τοὺς ἐν ἡμῖν γενομένους στεναγμοὺς καὶ τὰ ὁρμήματα ὑπὲρ τῆς Ἑλένης ἀντιτιμωρήσασθαι τοὺς Τρῶας.

359. πότμον] Μόνον, ὅ ἐστιν ἵνα εὐθὺς πρὸ πάντων ἐκεῖνος ἐπὶ θάνατον ἔλθῃ καὶ ἀναπληρώσῃ τὴν εἱμαρμένην.

362. κατὰ φρήτρας] Κατὰ φατρίας, ὅ ἐστι συγγενείας· φρήτρας τὰς τριττῦς, ὅ ἐστι τρεῖς φυλὰς, τοῦτο δὲ ἵνα μήτε περιορῷεν τοὺς οἰκείους καὶ εὐδοξεῖν σπουδάζοιεν ἐλεγχόμενοι.

370. νικᾷς] Ὑπερβάλλεις. Εὐριπίδης [f].

[f] Antiop. Frag. XII. ap. Stob. Tit. LIV.

Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ· σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακὸν [νικᾷ].

371. αἲ γὰρ Ζεῦ τε πάτερ] Αἴθε γάρ ἐστιν ἐπίρρημα εὐκτικόν.

376. Ἀπρήκτους] Πρὸς ἀπράκτους, πρὸς ἃς οὐδέν ἐστι πράξαι φιλονεικίας· εὐεπίφοροι κατὰ θεὸν οἱ ἀτυχεῖς.

P. 73, 39. Αἰσχύλος δὲ κακῶς,

ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρίτα [g].

οὐδὲ μνηστῆρες γὰρ, οὐδὲ Κύκλωψ τρίτῃ τροφῇ ἐχρῶντο.

P. 73, 11. Καὶ δ' αὐτὴ κυνάμυια. γρ. καὶ δ' αὖθ' ἡ.

P. 74, 9. Ἴσως δὲ διὰ τὸ προϊέναι.

396. σκοπέλῳ] Ὑψηλῷ τόπῳ, ἀφ' οὗ καὶ περισκοπῆσαι καὶ ἀπιδεῖν πάντα δύνανται.

400. αἰειγενετάων] Διὰ παντὸς ὄντων, ἀθανάτων· οἱ Ἴωνες τὸ εἶναι γενέσθαι φασί· καὶ Πίνδαρος [h],

ἄλλο [i] δ' ἄλλοισιν νόμισμα·
σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.

τὸ γὰρ θεῖον φύσει μὲν ἓν [k], θέσει δὲ πολύ· Ἑλληνικὸν δὲ τὸ εἰς θεοὺς ἔχειν τὰς ἐλπίδας, ὃ οὐ ποιοῦσι Τρῶες.

401. μῶλον] Μολυσμὸν τὸν ἐν τῷ πολέμῳ, καὶ πόνον· ἤρκει γὰρ αὐτοῖς, τῷ δὲ βασιλεῖ τὸ εὐκλεῶς ζῆν. Ἰσοκράτης [l], "Ταῖς "μὲν ταπειναῖς τῶν πόλεων προσήκειν ἐξ ἅπαντος τρόπου ζητεῖν "σωτηρίαν, ταῖς δὲ προϊστάναι τῆς Ἑλλάδος ἀξιούσαις, ὡς τοῖς "καλοῖς τε καὶ ἀγαθοῖς τῶν ἀνδρῶν, αἱρετώτερον ἐστὶ καλῶς ἀπο-"θανεῖν ἢ ζῆν."

408. βοὴν ἀγαθὸς] Ὁ ἐν τῷ πολέμῳ γενναῖος.

P. 75, 35. Ἀπὸ δὲ τούτου φησὶ τὸ βασίλειον· στρατηγικὴ διδασκαλία, χρόνου μὴ [m] φείδεσθαι, οὔτε γὰρ παρελθόντα ἀνακαλέσασθαι, οὔτε αἰτήσαντα λαβεῖν αὐτὸν δυνάμεθα. ἐρωτηθεὶς οὖν

[g] Sic etiam Codd. Par. 2766 et 2404. [h] Idem fragm. sed corrupt. exhibet Artemidor. Oneirocrit. IV. 3. ubi leg. ἄλλα δ' ἄλλοις νόμιμα, σφέτερα δὲ κεῖται ἑκάστοις. omisit autem libr. Paris. verba quæ Pindari locum antecedere debebant. δείκνυσιν ὡς πολύκλητοι ἦσαν· ἕκαστος γὰρ τοῖς πατρίοις θύει. [i] Cod. ἄλλοι. [k] Bekker. Codd. et Lips. φύσει μὲν οὐ πολὺ, sed Townl. cum Paris. φύσει μὲν ἕν. [l] Paneg. p. 60. B. [m] Bekker. om. μὴ sed μὴ φειδ. etiam Cod. Townl. et Lips. cum Paris. 2556. et 2769.

Ἀλέξανδρος πῶς τῆς Ἑλλάδος περιεγένετο, μηδὲν ἀναβαλλόμενος εἶπε.

469. Μυιάων, μυιῶν, ἡ διάλεκτος Βοιωτῶν. ἐπὶ τὸ "δεύει" ὑποστίζομεν, τῆς ἀνταποδιδομένης "ἠΰτε" λέξεως ἀνακολούθως ἐχούσης ὡς ἐν τῷ θ' τῆς Ἰλιάδος,

ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην,

εἶτα ἐπιφέρει

τόσσα μεσσηγὺ νεῶν.

482. πλατέα] Μεγάλα, ἢ ὅτι ἐν διαστήματι καὶ πλάτει πλείονι νέμονται αἱ αἶγες.

P. 78, 34. Γραφεῖς μὲν τὸ ἀληθὲς μεταδιώκουσι, ῥήτορες δὲ τὸ δεινὸν, τραγικοὶ δὲ τὸ σεμνόν. — 31. Ὅτι περὶ ἑνὸς μὲν προσώπου τοῦ Ἀχιλλέως καὶ τῆς ὀργῆς. — 33. Τῶν Μουσῶν ἐποιήσατο τὸν λόγον. καὶ γὰρ Ἡσίοδος (Theog. 79.) τὴν Καλλιόπην κυριωτέραν φησὶ, λέγων οὕτω·

Καλλιόπη δὲ προφερεστάτη ἐστὶν ἁπασάων.

μέλλων δὲ νεῶν κατάλογον ἐρεῖν καὶ βασιλέων.

Τέλος τῆς δευτέρας Ὁμήρου ῥαψῳδίας.

Ἱστορίαι καὶ ἀπορίαι τῆς Γ Ὁμήρου ῥαψῳδίας.

V. 1. αὐτὰρ ἐπεὶ] Ἐπειδὴ δὲ, ἀναστροφὴ ὁ τρόπος, ὁ δὲ αὐτὰρ σύνδεσμος συμπλεκτικὸς ἰσοδυναμῶν τῷ δέ. ταῦτα δὲ διαφέρων αὐτοῦ ἦν, ὁ μὲν αὐτὰρ ὑποτάσσεται, ὁ δὲ δε οὐχ ὑποτάσσεται.

Ib. ἡγεμόνεσσιν] Ὑπὸ τῶν ἡγεμόνων, ἢ σὺν τοῖς ἡγεμόσιν. εὐταξίᾳ δὲ μάλιστα πόλεμος κατορθοῦται.

2. κλαγγῇ] Βοὴ, ἦχος. προσληπτέον οὖν τὸ σὺν, ἵν' ᾖ σὺν κλαγγῇ καὶ βοῇ. παρὰ τὸ κλῶ κλάζω κλαγὴ καὶ κλαγγὴ, κατὰ πλεονασμὸν τοῦ γ.

Ib. ἐνοπῇ] Κραυγῇ, φωνῇ, καὶ γίνεται παρὰ τὸ ἐννέπειν ὅ ἐστι λέγειν.

13. κονίσσαλος] Κονιορτός. ἔστιν ὅτε γίνεται παράγωγον ἀπὸ μελλόντων τῶν διὰ τοῦ αλος, ὡς ἴξω ἴξαλος, οὕτως οὖν καὶ κονίσσω κονίσσαλος διὰ τοῦ ι γράφεται, ἐπειδὴ παρὰ τὸ κόνις ἐστί.

Ib. ἀελλὴς] Ἀελλώδης, κονιορτώδης, ἀελλὴς ὡς ἀδεής. ἀελλὴς, ὡς ἐξαὴς, τοῦ ᾱ ἐπίτασιν δηλοῦντος. ὡς γὰρ παρὰ τὸ ἔλπω ἀελπὴς, οὕτω καὶ παρὰ τὸ ἕλω ἀελλής.

35. ὦχρος τέ μιν] Ὠχρόασις αὐτὸν, δειλία, ἄχροος ἄχρος ὦχρος.

Ib. ὦχρος εἷλε παρειάς] Ἀρίσταρχος οὐδετέρως, ἔν τισι δὲ θηλυκῶς. ὁ δὲ Σιδώνιος διὰ τοῦ η̄ διὰ τὸ παρήϊον. ὦχρος ὡς μῶμος. τὰ γὰρ εἰς ο̄ς λήγοντα μονογενῆ δισύλλαβα παραληγόμενα τῷ ω̄ προπερισπῶνται, μὴ συγγραφομένου τοῦ ῑ διὰ τὸ ᾠδὸς, μονογενῆ διὰ τὸ ὠμὸς, ὠχρός.

Ib. παρειὰς] Σιαγόνας. ἀπὸ μέρους δὲ φησὶ τὸ ὅλον πρόσωπον. τὸ παρειὰ ὡς ἀγαθὰ, τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν Ἰωνικῶς μεταποιούμενα εἰς οὐδέτερον γένος φυλάσσει τὸν αὐτὸν τόνον. παρειὰ δὲ ὀξυτόνως Ἀρίσταρχος καὶ μετὰ τοῦ σ̄, καὶ ἐὰν μέντοι καὶ οὐδέτερα ᾖ, ὁμοτονοῦσι τῷ θηλυκῷ, ὡς "οἰκία καὶ "χοροί εἰσι," καὶ "ἡνία σιγαλόεντα." τὸ νευρὰ καὶ τὰ νεῦρα, οὐκ ἔχει ταυτὸν σημαινόμενον.

36. ἀγερώχων] Αὐθάδων, ὑβριστῶν, καὶ θρασέων, ὅτε δὲ ἐνδόξων, παρὰ τὸ γέρας, ἢ ἀπὸ τοῦ ἄγαν, ὃ δηλοῖ τὸ λίαν ἐπὶ τοῦ γέρους ὀχεῖσθαι.

39. γυναιμανὲς] Ἤτοι ἐπὶ γυναιξὶ μαινόμενε, ἢ γυναῖκας εἰς μανίαν φέρων διὰ τὸ κάλλος.

40. ἄγαμός τ' ἀπολέσθαι] Ὁ γεννηθεὶς πρὸ γάμου ἀπολέσθαι.

46. ἦ τοιόσδε ἐὼν] Ἦ τοιοῦτος φησὶν ὢν, τουτέστιν ἐπονείδιστος, οἷόν σε νῦν ὁρῶμεν δειλόν. ὁ ἢ κεῖται ἀντὶ τοῦ καὶ, διὸ ὀξυνθήσεται· καὶ τὸ τοιόσδε ἐν παραγωγῇ. ἢ τοιόσδε ἐὼν, ὁ ἢ σύνδεσμος διαζευκτικὸς μέν ἐστι, παρελήφθη δὲ τῷ ποιητῇ ἀντὶ τοῦ συναπτικοῦ, οἷον ἐστι καὶ ἄλλως,

ἐπεὶ οὐ πολύμυθος [ἔην]
οὐδ' ἀμαρτοεπὴς, ἢ καὶ γένει ὕστερος ἦεν.

ἀντὶ τοῦ ἐὰν καὶ τῷ γένει. οὕτω καὶ τὸ, "ἢ τοιόσδε ἐὼν," ἀντὶ τοῦ ἐὰν τοιοῦτος ὑπάρχων.

Ib. ποντοπόροισι] Ταῖς διὰ θαλάσσης τὴν πορείαν ποιουμέναις καὶ πλεούσαις. πόντος γὰρ ἡ θάλασσα.

47. ἑτάρους ἐρίηρας ἀγείρας] Ἄγαν εὐαρμόστους, ἢ ἐπερά-

στους φίλους, τουτέστιν ὁμοίους φίλους καὶ ἅρπαγας συναθροίσας.

49. ἐξ Ἀπίης γαίης] Ἐξ ἀλλοδαπῆς καὶ μακρὰν ἀπεχούσης γῆς. ἢ Ἀπίης τῆς Πελοποννήσου, οὕτω λεγομένης ἀπὸ Ἄπιδος τοῦ Φορωνέως.

Ib. νυὸν] Νύμφην. νυοὶ δὲ λέγονται αἱ τῶν υἱῶν γυναῖκες παρὰ τῶν πατέρων τῶν ἀνδρῶν, καὶ παρ' ὅλου τοῦ οἴκου τοῦ γεγαμηκότος.

52. μείνειας] Ὑπομείνειας. τὸ οὐκ ἂν δὴ μείνειας δύναται καὶ μετὰ ἠθικῆς πεύσεως καὶ μετὰ διαβεβαιώσεως. τινὲς δὲ οὕτω, τὸ "δὴ" ἀντὶ τοῦ εἰ, εἰ ταῦτα πάντα πεποίηκας, οὐχ ὑπίστασαι τὸν ἄνδρα τῆς γυναικός. καὶ προκρίνει Νικάνωρ τόδε.

56. δειλήμονες] Δειλοὶ ὡς πρὸς ἡμᾶς τοὺς βασιλεῖς.

62. ὀφέλλει] Αὔξει δὲ τὴν τοῦ ἀνδρὸς δύναμιν ὡς πέλεκυς ὀξὺς ὑπάρχων, καὶ διερχόμενος ἑτοίμως ὥσπερ ὁ ἀμβλὺς τοὐναντίον καταλύει.

64. χρυσῆς] Χρυσηφόρου, καλῆς. P. 101, 24. Καὶ ἄρρενα φησί. Ὑπεσχημένου τὴν ἅλωσιν Ἰλίου πῶς συνθήκας καὶ ὅρκους ποιεῖται πρὸς Τρῶας; ῥητέον οὖν ὅτι κατ' ἐνίους οὐ πιστεύει τῷ ὀνείρῳ, κατὰ δὲ ἐνίους, οὐδὲν διέφερε καὶ ἑνὸς μονομαχίᾳ νικᾷν· ἄλλως δὲ καὶ προσετέτακτο αὐτῷ καθοπλίσαι τοὺς πάντας, οὐ μάχεσθαι.

106. ὑπερφίαλοι] Ὑπερήφανοι, ἄθεοι, καὶ παραβαίνοντες τοὺς ὅρκους καὶ τὰς σπονδὰς τὰς διὰ φιαλῶν γινομένας.

P. 102, 40. Γαλόως γὰρ καὶ διαίρεσις γάλως, ὡς, "ἐξ Ἀθόω."

122. δάμαρτι] Γυναικὶ παρὰ τὸ δεδμῆσθαι καὶ ὑποτετάχθαι τῷ ἀνδρί.

125. τὴν δ' εὗρε] Ταύτην δὲ κατέλαβε, δέον εἰπεῖν ἔλαβεν. ἄρθρον προτακτικὸν ἀντὶ ὑποτακτικοῦ.

141. ὀθόνησιν] Ὀθόναις, λέγει δὲ ὑφάσμασι λινοῖς. ὀθόνη λέγεται πᾶν τὸ καλὸν οὗ τις ἐπιμέλειαν ποιεῖται. γίνεται δὲ παρὰ τὸ ὄθομαι ῥῆμα, ὃ σημαίνει τὸ ἐπιστροφὴν ποιοῦμαι. λέγονται δὲ ὀθόναι διὰ τὸ λεπτότατον ὡς ἐνταῦθα,

αὐτίκα δ' ἀργεννῇσι καλυψαμένη ὀθόνῃσιν.

P. 104, 23. Νῦν δὲ μηνίοντος ἐκείνου.

172. αἰδοῖος] Αἰδοῦς καὶ τιμῆς ἄξιος. ὅσον τῆς ὄψεως Θερσίτου χείρων ὁ λόγος, τοσοῦτον ἡδίων Ἑλένης, τὸ γὰρ τῆς δυσαρεστήσεως ἰάσατο κ. τ. λ.

Ib. ἑκυρὲ] Πενθερέ. ἑκυρὸς δὲ ἐκαλεῖτο καὶ παρὰ τοῖς ἀρχαίοις ὁ τοῦ ἀνδρὸς πατήρ.

P. 105, 16. Δίαιθος. — 18. Ὡς καὶ Κιναίθων, Νικόστρατος.

180. Δαὴρ] Ἀνδρὸς ἀδελφός. τούτου τὸ θηλυκὸν οὐ δάειρα ἀλλὰ γάλως. διὰ δὲ τοῦ δαέρος λεληθότως τὸν ἄνδρα ὀλοφύρεται.

P. 105, 49. Οὐ κατὰ πρόσωπον γινόμενος ἔπαινος, καὶ ταῖς τῶν προὐχόντων τιμαῖς, σημειώσαιο.

182. ὀλβιοδαιμον] Εὐδαιμονέστατε. ὄλβιοι γὰρ λέγονται οἱ ὅλον τὸν τῆς ζωῆς χρόνον εὐδαιμονίᾳ διάγοντες.

183. δεδμήατο] Ὑποτεταγμένοι εἰσί.

184. ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν] Πάλαι γὰρ εἰς τὴν Φρυγίαν παρεγενόμην τὴν πολλὰς ἀμπέλους ἔχουσαν. τοὺς δὲ περὶ Ἀπάμειαν τόπους λέγει, οὗτοι γὰρ πολυάμπελοι ἦσαν, τῆς λοιπῆς μόνον σιτοφορούσης.

185. αἰολοπώλους] Ποικίλους, ἱππαζομένους, πολεμικούς. ἢ ταχεῖς ἵππους ἔχοντας.

188. ἐπίκουρος] Ὁ ἀπὸ ξένης σύμμαχος, ὁ βοηθός. ἐπίκουροι γὰρ λέγονται οἱ τοῖς πολεμουμένοις βοηθοῦντες, σύμμαχοι δὲ οἱ τῶν πολεμούντων.

197. ἀρνειῷ] Κριῷ, διὰ τούτου δὲ ἐπαινεῖ τὸ πρᾶον καὶ ἀτάραχον αὐτοῦ.

Ib. ἐΐσκω] Ὁμοιῶ, ἀπεικάζω. τὰ εἰς κω ἑνὶ φωνήεντι παραλήγεται. τῷ ἐΐσκω τὸ ε πλεονάζει, ὡς ἐν τῷ, "πάντοσ' ἐΐσκω." ὡς αἰγῶν παραφύλαξ. ὃ μὲν δὲ ὅτι ὁ Ὅμηρος τὴν ὀνομαστικὴν ἀεὶ δισύλλαβον οἶδε. δύο ταῦτ' ἔχομεν παρὰ τοῖς Ἀττικοῖς μονοσύλλαβα, τὸ οὖς καὶ τὸ φοῖς.

218. σκῆπτρον] Σημειωτέον ὅτι ἕκαστος τῶν ἡγεμόνων σκῆπτρον εἶχεν ἴδιον, ὡς καὶ Ἀχιλλεὺς ἐν τῷ α' ὄμνυσι κατ' αὐτοῦ.

219. ἀΐδρεϊ] Ἀπείρῳ, ἀπειρίαν λόγων προσποιουμένῳ, ἕνεκα τοῦ μὴ ἀπάσης[1] ὑπόνοιαν ἐμποιῆσαι τοῖς Τρωσί.

[1] Leg. ἀπάτης cum Edd.

222. καὶ ἔπεα νιφάδεσσιν ἐοικότα] Καὶ λόγους πολλοὺς καὶ πυκνούς.

P. 108, 20. Πέπλος δὲ κυρίως τὸ γυναικεῖον ἔνδυμα, ἱμάτιον δὲ τὸ ἀνδρεῖον.

231. Κρητῶν ἀγοὶ] Οἱ τῶν Κρητῶν ἡγεμόνες, παρὰ τὸ ἄγειν τοὺς ὑποτεταγμένους.

238. αὐτοκασιγνήτω] Τοὺς ἐξ ἀμφοτέρων τῶν γονέων γνησίους ἀδελφούς. κασίγνητοι γὰρ λέγονται οἱ καθ' ἕτερον τῶν γονέων ἀδελφοί.

P. 108, 49. Δι' αἰσχύνην αὐτῆς.

P. 109, 5. Πολεμωνίοις[m], ἤτοι τοῖς Κιλικοῖς[n].

242. πολλ' ἅ μοι ἐστὶν] 'Αντὶ τοῦ πολλὰ ἐκεῖνα ἃ δι' ἐμὲ αὐτοῖς ἐστιν.

P. 109, 25. Φοίβης καὶ Λαείρας.

248. ἠδὲ χρύσεια κύπελλα] Καὶ χρυσᾶ ποτήρια, περιφερῆ.

250. Λαομεδοντιάδη] Λαομέδοντος παῖ Πρίαμε.

P. 109, 3. Στάμων[o] δέ.

273. ἀρνῶν ἐκ κεφαλέων] 'Απέτεμε τῶν ἀρνῶν τοὺς κορυφαίους μαλλοὺς, δηλονότι ἀπὸ τοῦ λογιστικοῦ μέρους.

277. ἠέλιός τε] 'Αντὶ τοῦ καὶ σὺ ὦ ἥλιε. ἔστι δὲ σχῆμα περὶ τὰς πτώσεις, ὀρθὴ ἀντὶ κλητικῆς.

285. τιμὴν] Πρόστιμον τοῦ πολέμου.

290. ποινῆς] 'Αντεκτήσεως, τιμωρίας. κοινῶς δὲ ποινὴ ἡ ὑπὲρ φόνου ζημία οἱονεί τις οὖσα.

292. χαλκῷ] Καταχρηστικῶς σιδήρῳ, ἐπεὶ πρότερος εὑρέθη ὁ χαλκὸς τοῦ σιδήρου.

299. πημήνειαν] Βλάψειαν, διὰ τὸ παρελθεῖν αὐτοὺς, ἀεὶ γὰρ παραβάντες τοὺς ὅρκους ἐπεχείρισαν βλάψαι τοὺς Τρῶας.

313. ἀπονέοντο] 'Απηλλάσσοντο, ἀνεχώρουν. διατί χωρίζεται ὁ Πρίαμος; καὶ οἱ μὲν φασὶ ἵνα ἀφ' ὕψους κρεῖσσον θεωρήσῃ ἀπὸ τῆς πόλεως τὴν μονομαχίαν, οἱ δὲ ἵνα φυλάξῃ τὰ τείχη. ἄλλοι δὲ τὴν 'Ομηρικὴν λύσιν κ. τ. λ.

[m] λειμωνίοις Cod. Harl. [n] Leg. κυκλικοῖς. [o] Σταμὼν Cod. Par. 2676. Στάμων Cod. 2679.

P. 112, 1. Καὶ τὸ ἰδὲ ἀντὶ τοῦ καὶ λαμβάνει. "ἐγὼ δὲ χεῖρας ἀνέσχον."

324. κορυθαίολος] Ἤτοι ὁ ποικίλος τὸν ὁπλισμὸν, ἀπὸ μέρους τὸ πᾶν, ἢ ὁ εὐκίνητος ἀπὸ τοῦ παρεπομένου, αἰολεῖν γὰρ τὸ κινεῖν. ὁ τρόπος συνεκδοχή.

334. βάλλετο] Τὸ βάλλετο εἶπεν, ἐπεὶ καὶ τὰς ἀσπίδας διὰ τελαμώνων ἐφόρουν, ὡς καὶ τὰ ξίφη.

338. παλάμηφιν] Τῇ χειρί. ἡ λέξις παράγωγος, ἡ διάλεκτος Αἰολίς.

P. 113, 13. Οἱ μὲν παρὰ τὸ κίειν ἐν πλεονασμῷ· οἱ δέ.

351. ἄνα] Βασιλεῦ, ἀποκοπὴ τὸ πάθος.

Ib. δὸς] Πάρασχε, Ἑλληνικὸν τὸ μὴ πᾶν ἐπιτρέπειν τῇ τύχῃ.

353. ὄφρα τίς ἐρρίγῃσι] Ὅπως τις εὐλαβηθῇ καὶ φοβηθῇ. ῥιγῶ ῥιγᾷς ἐπὶ τοῦ ψύχους, ῥιγῶ ῥιγεῖς ἐπὶ τοῦ φόβου.

Ib. ὀψιγόνων] Τῶν βραδέως καὶ μετὰ ταῦτα ἐσομένων ἀνθρώπων.

P. 114, 47. Ἀρετὴ γὰρ οἰκεία (νέμεσις om.)

371. πολύκεστος] Πολυκέντητος, πολύρραφος, ποικίλος. ἐντεῦθεν καὶ ὁ τῆς Ἀφροδίτης ἱμὰς προσηγορεύθη κεστός.

Ib. ἁπαλὴν] Τρυφεράν. αἰνίττεται διὰ τῆς λέξεως τὸ ἀσθενὲς τοῦ Ἀλεξάνδρου.

372. ὑπ' ἀνθερεῶνος] Ὑπὸ τὸ γένειον. εἴρηται δὲ ἀπὸ τοῦ ἐκεῖ πρῶτον ἐξανθεῖν τὸ γένειον. ἰστέον δὲ ὅτι κατὰ μὲν Ἡσίοδον ἡ Ἀφροδίτη γίνεται ἐκ τοῦ Οὐρανοῦ τῶν αἰδοίων καὶ τῆς θαλάσσης, κατὰ δὲ Ὅμηρον Διώνης.

385. ἑανοῦ] Λεπτοῦ ἱματίου, παρὰ τὸ ἕννυσθαι, ὅ ἐστιν ἐνδύεσθαι.

395. ὄρινεν] Διετάρασσεν, τουτέστιν εἰς ἔρωτα αὐτὴν ἤγαγε.

400. ἦ πή με] Πάλιν πώποτέ με. τὸ η̄ περισπαστέον κ. τ. λ.

406. ἰοῦσα] Πορευθεῖσα, ἰὼν ἡ μετοχὴ, εἶμι γὰρ τὸ θέμα. σεσημείωται γὰρ τὸ θηλυκὸν ἰοῦσα.

Ib. θεῶν δ' ἀπόειπε κελεύθους] Ἀπάρνησον δὲ καὶ ἐπιλάθου δι' αὐτὸν τὴν συναγωγὴν τῶν θεῶν.

410. κεῖσε δ' ἐγὼν οὐκ εἶμι] Εἰς ἐκεῖνον δὲ τὸν τόπον ὅπου ἐκεῖνος ἐστὶν οὐκ ἄπειμι. τὸ δὲ πάθος ἀποκοπή. ἐπίτηδες ἐν ταῖς

ἀγανακτήσεσιν οὐκ ἀλληλογεῖν, ὥς τὸ,

τίπτέ με κεῖνος ἄνωγε μέγας θεός.

P. 116, 19. Ἀλλ' ὡς λέβης τίς μείζονος δεῖται πυρός.

414. μεθείω] Ἀμελήσω, καταλείψω σε.

416. λυγρὰ] Χαλεπά· σχῆμα, ἔστι γὰρ αἰτιατικὴ ἀντὶ δοτικῆς.

425. θεὰ] Θεὰ γὰρ ἡ ὅρασις, ἐρώτων συνεργός. ἐκ γὰρ τοῦ εἰσορᾷν γίνεται ἀνθρώπους ὀργᾷν. ἡ τοῦ ἔρωτος θεὰ, καὶ θεὰ Ἀφροδίτη.

Ib. φέρουσα] Ἐνεγκοῦσα, ἔλαβε δὲ ἐνεστῶτα ἀντὶ παρεληλυθότος.

447. ἄρχε λέχος] Προηγεῖτο τῆς ἐπὶ τὴν κοίτην ὁδοῦ.

Ib. ἅμα δ' εἵπετ' ἄκοιτις] Ὁμοῦ ἠκολούθει ἡ γαμετή.

459. τιμὴν] Πρόστιμον τῆς πόλεως, ὅ ἐστι φόρον τινὰ καὶ συντέλειαν.

Ἀρχὴ τῶν ἱστοριῶν καὶ ἀποριῶν τῆς Δ Ὁμήρου ῥαψῳδίας.

V. 1. πὰρ Ζηνὶ] Παρὰ τῷ Διΐ, παρεσχημάτισται γὰρ τὸ Ζεὺς ὄνομα ὁ Ζὴν, "πὰρ Ζηνί."

Ib. ἠγορόωντο] Διελέγοντο, ἐκκλησιάζοντο, ἀπὸ τοῦ ἀγορεύειν, ἐξ οὗ ἠθροΐζοντο.

2. Χρυσέῳ ἐν δαπέδῳ] Ἀντὶ τοῦ ἐν τῷ κεχρυσωμένῳ καὶ καλῷ οἴκῳ· καταχρηστικῶς δὲ φησὶ, κυρίως γὰρ δάπεδον ἐπὶ γῆς λέγεται.

Ib. Ἥβη] Ἥρας θυγάτηρ, Ἡρακλέους δὲ γυνὴ, νῦν τὴν σωματικὴν θεὰν εἴληφεν ὁ ποιητὴς, οὐ τὴν ἀκμήν. αὐτῶν γὰρ μόνων τὸ νεάζειν καὶ ἀεὶ ἐν ἀκμῇ εἶναι, ὄντων ἀϊδίων καὶ ἀθανάτων.

P. 119, 45. Διὰ τὴν πρὸς αὐτὸν χάριν, εἰ μόνῳ δόξει τί οἰκτίζεσθαι. διατί δὲ καὶ μόνῳ.

P. 119, 50. Ὅτι ὁ μὲν Ζεὺς ὁ πρῶτός ἐστι νοῦς.

3. ἐωνοχόει] Ἔστι δὲ ὁ τρόπος κατάχρησις, κυρίως γὰρ οἰνοχοεῖν ἐπὶ οἴνου λέγεται.

4. δειδέχατ'] Ἐκ τοῦ δέχω δέξω δέδεχα δέδεγμαι δέδεκται,

καὶ Ἰωνικῶς δεδέχαται, καὶ πλεονασμῷ τοῦ ῑ δειδέχαται. "δεί-"δεκτ' Ἀχιλῆα" ἐδεξιοῦτο· δέδεκτο πλεονασμῷ τοῦ ῑ.

6. παραβλήδην] Παραβολάδην, ἀπατητικῶς, οἷον παραβαλὼν τὴν ἀρχὴν τοῦ λόγου πρὶν ἐκείνην ἀποσιωπῆσαι.

22. ἀκέων] Ἀντὶ τοῦ ἀκέουσα καὶ ἡσυχάζουσα ἦν. κεῖται δὲ ἀντὶ τῆς μεσότητος τῆς ἀκῆς, τίθησι γὰρ αὐτὴν καὶ ἀντὶ πλεονασμοῦ,

ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι.

P. 124, 7. Ὡς ἄριστον οὖν αὐτὸν ἐπελέξατο τοξότην. ὅθεν οὐχὶ ἀσεβὴς ἦν, ὡς Ἀριστοτέλης ἀπεφήνατο, ἀλλ' εὔστοχος. πρόσκαιρον δὲ βασιλέα ἡ Ἀθηνᾶ κέκληκε τὸν Ἀλέξανδρον, ἕνεκα τοῦ μᾶλλον πεῖσαι τὸν Πάνδαρον ἐλπίδι μείζονος δωρεᾶς.

P. 124, 45. Ἀλεξάνδρῳ μᾶλλον εἰ τῶν οἰκείων ἦν.

99. ἐπιβάντα] Ἐπιβιβασθέντα, ἐπιτιθέντα, ὁ τρόπος ἐστὶ κατάχρησις.

103. νοστήσας] Ὑποστρέψας, ἐπανελθών.

Ib. ἄστυ] Πόλις, καὶ τὸ πολιτικὸν ἐφέστιον φαμέν.

112. τανυσσάμενος] Ἐκτείνας. λέγει ὅθεν ἀπήρτηται ἡ νευρά.

P. 126, 26. Τοῦ βέλους, ἡ χηλὴ ὅπου ἐντίθεται ἡ νευρά.

124. κυκλοτερὲς] Εὔκυκλον, ἐπειδὴ δέ φησιν ἔτεινε τὸ τόξον ὡς κυκλοτερὲς γενέσθαι.

125. λίγξε] Ποιόν τινα ἦχον ἀπετέλεσε.

Ib. βιὸς] Βιὸς δὲ ὀξυτόνως τὸ τόξον, παροξυτόνως δὲ ἡ ζωή.

P. 129, 10. Ἢ βλαβερὸν ἀπὸ τοῦ ἴψιον, ἢ παρὰ τὸ ἴψαι. Σοφοκλῆς ἐν Ἰξίονι[p]. δίψιον κατὰ πλεονασμὸν τοῦ δ̄.

δίψιον ἄτησι βεβολημένον[q].

καὶ μαρτυρεῖ "πολυδίψιον Ἄργος ἱκοίμην," ἤτοι πολλοῖς ἔτεσι διψῆσαν. οὕτω καὶ τὸ οἴσατο ἀπὸ τοῦ οἴω ῥήματος γέγονεν, ὃ κατὰ διαίρεσιν ὀΐω. μηδέποτε δὲ καὶ τὸ δοάσατο περισσῷ κέχρηται τῷ δ̄, καὶ ὡς τὸ, δνοφερὸν ὕδωρ, παρὰ τὸ νέφος πεποίηται.

172. μνήσονται] Μνείαν ποιήσονται, ἴσως τελευτήσαντος, εὐθὺς οἱ Ἕλληνες θελήσουσιν ἀπελθεῖν ἐπὶ τὰς πατρίδας.

[p] Cod. Ἰερίονι, sed Ἰξίονι Cod. Harl. et Schol. Apoll. Rh. IV. 14.
[q] Sic et Cod. Harl. sed Sch. Apoll. Rh. loc. cit. Σ. ἐν Ἰξ. δίψιον φησὶ τὸ βεβλαμμένον.

176. ὑπερηνορεόντων] Ἤτοι τῶν ὑπερεχόντων τῇ ἠνορέῃ, τουτέστιν ἀνδρείων, νῦν δὲ τῶν ὑπὲρ δύναμιν φρονούντων, ὑπερηφάνων.

182. τότε μοι χάνοι εὐρεῖα χθὼν] Τότε γῆς χάσματι δεχθείην. οὐ γὰρ ἐπιθετικῶς λέγει αὐτὴν εὐρεῖαν, ἀλλὰ τὴν εὐρὺ τῇ διαστάσει χάσμα ποιοῦσαν.

191. φάρμακα] Ἰάματα. φάρμακα γὰρ κυρίως ἐκεῖνα λέγονται τὰ οἱονεὶ ἐπιφέροντα τὸ ἄκος, ὅ ἐστι τὴν ἴασιν. τρεῖς γὰρ φαρμάκων εἰσὶν ἰδέαι, ὡς οἱ τῶν ἰατρῶν παῖδές φασιν, ἐπίστατα[q] ὡς ἐπὶ Μενελάῳ· ἄχριστα[r] ὡς (sic) χρίεσθαι· πότιμα, ὡς ἐπὶ Ἑλένης. καὶ τρεῖς βελουλκίας· ἐξολκὴν, ὡς ἐπὶ Μενελάῳ· ἐκτομὴν, ὡς ἐπὶ Εὐρυπύλῳ· διωσμὸν, ὡς ἐπὶ Διομήδους.

192. θεῖον] Ἤτοι ἐκ θεῶν τὸ γένος ἔχοντα ἢ θαυμαστόν. ἡ δὲ τῶν κηρύκων ἱστορία προγέγραπται ἐν τῷ ἄλφα.

193. Μαχάονα] Μαχάων υἱὸς Ἀσκληπιοῦ καὶ Ἀρσιόνης ἢ Κορώνιδος, κατὰ δέ τινας Ἠπιόνης τῆς Μέροπος, κατὰ δὲ Ἡσίοδον Ξάνθης. Ἀσκληπιὸς, εἴρηται δὲ ἀπὸ τοῦ ἀσκεῖν καὶ ἤπια τὰ μέλη ποιεῖν.

194. ἰητῆρος] Ἰατροῦ, ἀπὸ τοῦ ἰᾶσθαι καὶ παύειν τὰ πάθη.

202. Τρίκης] Ἀπὸ τῆς Τρίκης πόλεως Θεσσαλικῆς, ὁ δὲ τρόπος ἀναστροφή.

219. Χείρων] Ἰστέον ὅτι ὁ Χείρων διδάσκαλος ὢν τοῦ Ἀχιλλέως, τὰ κακοήθη τῶν ἑλκῶν ἰάτρευεν. ἀμέλει ἔστιν ἀκοῦσαι ὑπὸ τῶν ἰατρῶν μέχρι τοῦ νῦν, ἡνίκα κακόηθες θεάσωνται ἕλκος, ὅτι οὗτος τῆς Χείρωνος δεῖται θεραπείας, ὥσπερ τὰ Τηλέφια. ὁ γὰρ Τήλεφος ἀρχαῖος Ἑλλήνων ὢν, ἕλκος ἔσχε δυσίατον, καὶ ἐκ τούτου ὠνομάσθη τὸ ἕλκος Τηλέφιον, καὶ ἐκ τοῦ Χείρωνος Χειρώνια, ἀπὸ τοῦ χείρονα ἰᾶσθαι νοσήματα.

220. ὄφρα τοι] Ἕως οὗτοι. ἐν ὅσῳ μὲν οὗτοι ἀμφεπένοντο περὶ τὸν Μενέλαον, ἐνήργουν καὶ ἠσχολοῦντο.

221. τόφρα δὲ] Ἐν τοσούτῳ δὲ, ὅ ἐστιν ἀνταποδοτικὸν τοῦ ὄφρα.

222. μνήσαντο] Μνήμην ἐποιοῦντο τοῦ πολέμου.

P. 134, 8. Καλούμενον ὄρος Ἀναγκαῖον. Νέστωρ 134, 10. ἢ ὡς ἔνιοι Ἀμφιδάμαντα ἀνεῖλε.

343. δαιτὸς ἀκουάζεσθον ἐμεῖο] Ἐπὶ δαῖτα καλεῖσθε τὴν ἐμὴν,

[q] Leg. ἐπίπαστα. [r] Leg. χριστὰ.

ἀπὸ τοῦ παρεπομένου, ὁ τρόπος συνεκδοχή. ὁ δὲ λόγος, πρῶτοι γὰρ καὶ ἐπὶ εὐωχίαν καλεῖσθε ὑπ' ἐμεῖο.

355. ἀνεμώλια] Ἀνεμοφόρητα, μάταια, ἀνέμοις ἐοικότα, ἐξ οὗ ἀφανῆ.

376. ἄτερ πολέμου] Χωρὶς πολεμικῆς παρατάξεως.

P. 136, 19. Ἦν γὰρ αὐτῷ δεδομένον. — 25. Νικᾷ τοὺς πάντας.

378. ἱερὰ πρὸς τείχεα Θήβης] Περιφραστικῶς τὰς Θήβας.

P. 136, 39. Ὧν μέμνηται ὁ ποιητὴς ἐν τῇ Α καὶ ἐν τῇ Ζ.

395. μενεπτόλεμος] Ὑπομονητικὸς ἐν πολέμῳ, γενναῖος.

P. 137, 28. Λέγει ὁ Σθένελος καὶ ὁ Διομήδης.

419. ἦ ῥὰ] Ἔφη δή. καὶ ἔστιν ἀντὶ τοῦ ἆρα. ἐὰν δὲ ἓν μέρος λόγου ᾖ, δηλοῖ τὴν μετ' ἐπικουρίας χάριν.

420. χαλκὸς] Χαλκὸς περιφραστικῶς τὰ ὅπλα.

439. ὦρσε] Διήγειρε, παρώρμα εἰς τὸν πόλεμον. τὸ ἑξῆς οὕτως. ὦρσε τοὺς μὲν Τρῶας δηλονότι ὁ Ἄρης, τοὺς δὲ Ἕλληνας ἡ Ἀθηνᾶ.

451. ῥέεν] Ἀντὶ τοῦ ἐρρεῖτο. ἔλαβε δὲ διάθεσιν ἐνεργητικήν.

453. ἐς μισγάγκειαν] Εἰς κοῖλον τόπον. ἔνθα ὁμοῦ συμμίσγεται τὸ ὕδωρ ἀπὸ διαφόρων τόπων.

471. οἱ δὲ λύκοι ὣς] Οἱ δὲ δίκην λύκων διὰ τὸ ἁρπακτικὸν τῶν ζώων. ὁ δὲ τρόπος ἀναστροφή.

485. αἴθωνι] Λαμπρῷ, ὀξεῖ. ἐπὰν γὰρ ὁ σίδηρος ὀξυνθῇ, λαμπρὸς γίνεται.

P. 142, 17. Περὶ τὰς πτώσεις. — ὄσσε κάλυψεν, ἤτοι τοῦδε τοὺς ὀφθαλμοὺς τὸ σκότος ἐκάλυψε.

P. 143, 34. Πρὸς τὸ διαθερμαίνεσθαι ὑπ' αὐτῆς, καὶ ἐρεθίζεσθαι αὐτὰ τῇ δριμύτητι αὐτῆς δάκνοντα πρὸς τὴν ἀπόκρισιν τῶν περιττῶν.

537. Ἐπειῶν] Ὑπὸ Ἐπειοῦ τοῦ Ἠλείων[q] βασιλῆος.

539. Ὁ νοῦς δὲ οὕτως, οὐκ ἂν ἀνὴρ ἐλθὼν εἰς τὴν μάχην καὶ ὁρῶν ἐμέμψατο τῇ μάχῃ, ὡς μὴ καρτερᾷ καὶ λίαν γενναίᾳ, ἢ ὡς ὀλίγων ἐν αὐτῇ πεσόντων. εἰ δέ τις ἄτρωτος διὰ μέσου ἐδύνατο πορευθῆναι, ἦγεν αὐτὸν ἡ Ἀθηνᾶ, λαβομένη τῆς χειρὸς καὶ τὰ ἐπιστρεφόμενα ἀπέστρεφε βέλη.

[q] Ἰλίων Cod.

Ib. ὀνόσσαιτο] Ἐκφαυλίσειε, μέμψαιτο. τοῦτο φησὶ πρὸς τὸ ἔμπροσθεν, ὅτι ὁ Ἀγαμέμνων ἐμέμψατο τοὺς περὶ Ὀδυσσέα καὶ Διομήδην, ὡς ἀμελοῦντας τοῦ πολέμου.

Ἱστορίαι καὶ ἀπορίαι τῆς τοῦ Ε Ὁμήρου ῥαψῳδίας.

V. 1. ἔνθ' αὖ] Τότε δὴ, χρονικὸν ἐπίρρημα, τὸ δὲ ἐνταῦθα τοπικόν.

Ib. Παλλὰς Ἀθήνη] Εὐκίνητος, πολεμικὴ, παρὰ τὸ πάλλεσθαι ὅ ἐστι κινεῖσθαι, ἢ παρὰ τὰς αἰτίας ἃς ἐν τῷ α εἴπομεν.

P. 144, 19. Δύνανται, οὐ θαρροῦσι δέ. ἤτουν ἀντὶ τοῦ, θαρροῦσι μὲν, οὐ δύνανται δέ. θάρσος δέ.

2. θάρσος] Ψυχῆς ἀνδρεία, πεποίθησις.

4. ἀκάμαντον] Ἀκοπίαστον, πολύν. Ζώϊλος δὲ ὁ Ἐφέσιος κατηγορεῖ τοῦ τόπου τούτου, καὶ μέμφεται τὸν ποιητὴν, ὅτι λίαν γελοίως πεποίηκεν ἐκ τῶν ὤμων τοῦ Διομήδους καιόμενον πῦρ, ἐκινδύνευσε γὰρ ἂν καταφλεχθῆναι ὁ ἥρως. ἔνιοι μὲν οὖν παρειληφθῆναι τὸ ὡς, κατὰ συνήθειαν τῷ ποιητῇ, ὡς καὶ ἐν ἑτέροις,

ὡς οἱ μὲν μάρναντο δέμας πυρὸς,

ἀντὶ τοῦ ὡς δέμας πυρός.

5. ἐναλίγκιον] Παραπλήσιον, ὅμοιον τῇ αὐγῇ.

P. 145, 16. Οὐ αἱ αὐγαί εἰσι πυρώδεις. φησὶ γὰρ

ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα
λαμπρὸν παμφαίνῃσιν.

P. 145, 21. Ἅπερ ἐνέθηκεν ὁ ποιητὴς ἐνταῦθα, τὸ ἔθνος.

9. Δάρης εἴρηται ἀπὸ τοῦ ἐκδέρειν ἃ θύει.

26. κατάγειν] Διὰ τούτου ἐμφαίνει ὅτι ἐν κοιλοτέρῳ ἦν τὸ ναύσταθμον τόπῳ.

P. 146, 6. πᾶσιν] Ἀντὶ τοῦ πάντων, ὁριστικὸν τὸ σχῆμα.

31. τειχεσιπλῆτα] Τοῖς τείχεσι προσπελάζων, πορθητά. ἐὰν δὲ διὰ τοῦ β γράφηται, ὁ τὰ τείχη καταβάλλων.

P. 147, 23. Ἐξιλάσκεσθαι τοὺς Τεύκρων δαίμονας.

P. 147, 27. Παίδων γεννήσεως.

75. ψυχρὸν ἕλε] Ψυχροποιὸν ἔλαβε σίδηρον τοῖς ὀδοῦσι.

126. σακέσπαλος] Πολεμικὸς, ἀπὸ τοῦ πάλλειν τὸ σάκος καὶ κινεῖν τὴν ἀσπίδα. εἴρηται δὲ σάκος ἐπειδὴ παρὰ πρώτοις εὑρέθη Σάκαις. Σάκαι δέ εἰσι μοῖραι Θρᾴκης.

P. 149, 26. Τυδεὺς ὁ Οἰνέως ἐν τῷ Θηβαϊκῷ.

128. ἠ μὲν θεὸν ἠδὲ καὶ ἄνδρα] Τὸν αὐτοπρόσωπον θεὸν καὶ μεταβαλλόμενον εἰς ἄνδρα τὴν ἰδέαν. ἢ τὸν θεὸν ἐπὶ τῆς ἰδίας μορφῆς καὶ πάλιν εἰς ἄνθρωπον μεταμορφούμενον.

P. 149, 7. Καὶ αὐτοῦ κῆρας ἀμύνει. κατὰ χεῖρα τιτρώσκεται ἡ Ἀφροδίτη, ὅτι χειρὶ λαβομένη παρήνει τῇ Ἑλένῃ, καὶ ἄλλως ἠρέθισται ἀκούουσα.

272. μήστωρε φόβοιο] Ἐπιστήμονας καὶ ἐμπείρους φυγῆς, ὅ ἐστι πολεμικοὺς, γενναίους, ἢ φυγὴν ἐμποιοῦντας τοῖς πολεμίοις.

333. πτολίπορθος] Πόλεις πορθοῦσα, πολεμική· ἡ γὰρ Ἐνυὼ δαίμων, ἤτοι θεά ἐστι πολεμική.

334. ὅμιλος] Πλῆθος, θόρυβος, ἀπὸ τῆς παρακολουθούσης ἐν ὄχλῳ ὁμιλίας.

339. ὑπὲρ θέναρος] Ὑπὲρ τὸ κοῖλον τῆς χειρός. λέγει δὲ εἰς τὸ μεταξὺ τοῦ λιχανοῦ δακτύλου καὶ τοῦ μεγάλου, τὸ σαρκῶδες καὶ κοῖλον τῆς χειρός.

P. 158, 35. Τοιούτων τροφῶν ἀπέχονται. καὶ μὴ πολλὰ τῶν ζώων οὐ σῖτον ἔδουσιν οὐκ οἶνον πίνουσι, καὶ οὔτε ἄναιμα, οὔτε ἀθάνατά ἐστι. δεῖ τοίνυν προσυπακούειν, τῷ οὐκ ἔδουσι σῖτον, ἀλλ' ἀμβροσίαν. οὐ πίνουσιν αἴθοπα οἶνον, ἀλλὰ νέκταρ. τὸ δὲ ἀναίμονες κ. τ. λ.

349. ἠπεροπεύεις] Ἀπατᾷς, διὰ τοῦ πυρὸς τοὺς ἄνδρας ἔρωτος ἐπιθυμεῖν ποιεῖς.

351. πύθηαι] Ἀκούσεις, γνῷς. ὁ δὲ λόγος, ἐὰν πάλιν ἔλθῃς εἰς πόλεμον, τηνικαῦτα σε κακῶς διαθῶμαι, ὥστε σε καὶ ἄλλοθί που πόλεμον ἀκούσασαν εὐλαβηθῆναι.

352. ἀλύουσα] Ἀδημονοῦσα, καὶ οἷον λύσιν μὴ εὑροῦσα τῶν κακῶν.

354. μελαίνετο] Μέλαν δὲ τὸ σῶμα αὐτῆς ἐγίνετο. ὅ ἐστιν, ἐπελειοῦτο τὸ καλὸν αὐτῆς σῶμα.

358. χρυσάμπυκας] Χρυσοκόμους, ἀπὸ μέρους, ἢ χρυσοκόμους. κυρίως γὰρ ἄμπυξ καλεῖται σειρὰ κατάχρυση, ἡ ἀπὸ μετώπου τεινομένη, ᾗ συνδοῦνται αἱ τρίχες.

P. 160, 12. Ὑπὸ τῶν Ἀλωϊάδων, καὶ διατεθῆναι εἰς Κέραμον πόλιν τῆς Καρίας, ἐν ᾗ καὶ χαλκοῦν ὄρος ἐστὶ καλούμενον

Κέραμος, καὶ ἐνταῦθα βασανισθῆναι. — 15. οἱ δέ φασιν Ἄρην, περὶ τῆς ἱστορίας τῶν ἄστρων καὶ περὶ τῶν μετεώρων διαλέγεσθαι τὸν Ὅμηρον μαθηματικὸν ὄντα, πιστὸν ἐπιδεικνύναι. ἐπειδὴ γὰρ ὁ Ἄρεως ἀστήρ. — 20. τῷ πλείονι ἀριθμῷ χρησάμενον διὰ τὸ μέτρον. χάλκεον.

P. 160, 7. Ὑπὸ πολεμίων ληφθέντες κακῶς πάθωμεν. οὕτως οὖν κατὰ τὸν φιλόσοφον Σωκράτην καιρῷ ἀνάγκης ἀρᾶσθαι ὅπλα πρὸς πολεμίους καὶ πολεμῆσαι προθύμως ὑπὸ τῶν τοιούτων ἁπάντων.

389. εἰ μὴ μητρυιὴ] Εἰ μὴ ἡ τοῦ Ἑρμοῦ μητρυιὰ Ἠερίβοια ἀπήγγειλε τῷ Ἑρμῇ, ἵν' ἐκκλέψῃ τὸν Ἄρην τοῦ δεσμοῦ.

392. τλῆ δ' Ἥρη] Ἐκαρτέρησε δὲ καὶ ἡ Ἥρα.

394. βεβλήκει] Ἀντὶ τοῦ ἔβαλε, ῥῆμα ἀπαρέμφατον ἀντὶ τοῦ ἐνεργητικοῦ.

397. ἐν πύλῳ ἐν νεκύεσσιν] Ἐν τῇ τοῦ ᾅδου πύλῃ.

P. 161, 22. Οὐ γὰρ ἐν τῇ πόλει τῶν Πυλίων λέγει.

403. ὀβριμοεργὸς] Ὁ δεινὰ ἐργαζόμενος, ἢ ὁ ἐν μεγάλοις ἔργοις ἐπιτιθέμενος, καὶ ἰσχυρὰ ἔργα διαπραττόμενος, ἰσχυροπράγμων καὶ ἰσχυρὸς ἐν τῷ ἐργάζεσθαι.

P. 161, 41. Ἔστιν οὖν αἴσυλα κατὰ παράληψιν ἑτέρου ᾱ στέρησιν δηλοῦντος κείμενα, ἀαίσυλα κ. τ. λ.

408. παππάζουσι] Πάππα φωνοῦσι, πατέρα καλοῦσιν· ἐτυμολογεῖ τὰς τῶν παίδων φωνάς.

P. 161, 42. Μετὰ ταῦτα δὲ ἀπῆρεν εἰς Ἰβηρίαν.

P. 162, 32. Καὶ γὰρ εἰ σπανίως Ἑλικώνιον τὸν Ποσειδῶνα εἴρηκεν ἀπὸ Ἑλικῶνος, ὡς Ἀρίσταρχος βούλεται. ἐπεὶ ἡ Βοιωτία. — 42. Ἐπίθετα ἐξενήνοχε τοπικά, οὐδέ ποτε ἐξ αὐτοῦ τοῦ προσώπου τοῦ ποιητικοῦ ἐξενήνοχεν, ἀλλ' ἐξ ἡρωϊκοῦ, κατὰ τὸ εἰωθὸς αὐτῷ λέγει. Ἀχιλλεύς.

479. Ξάνθῳ] Ξάνθος ἐστὶ ποταμὸς Λυκίας, ὁμώνυμος τῷ τῆς Τροίας ποταμῷ.

Ib. δινήεντι] Δίνας ἔχοντι. δίναι δέ εἰσιν αἱ τῶν ὑδάτων συστροφαί.

P. 164, 38. Περιφραστικῶς δὲ αὐτῷ τῷ λίνῳ τῷ δίκην δικτύου ὄντι.

499. ἄχνας] Τὰ λεπτὰ τῶν ἀχύρων, ἢ τὰ ἄχυρα. ἄχνη δὲ καλεῖται καὶ ὁ ἐπιπολάζων τῷ κύματι ἀφρός.

Ib. ἀλωὰς] Ἀλώνια, κυρίως τοὺς τόπους λέγει, ὅπου ὁ πυρὸς πατεῖται, τουτέστιν ἀλοᾶται· σημαίνει δὲ καὶ τὴν δενδροφόρον γῆν.

500. ξανθὴ δημήτηρ] Ὁ πυρὸς, ὁ δὲ τρόπος μετωνυμία, ἢ αὐτὴ ἡ θεὸς, ἡ γεωργικὴ ἐπιστήμη.

548. διδυμάονες] Δίδυμοι, τὰ μὴ συμφυῆ δίδυμα λέγει ὁ ποιητὴς, ὡς Ἀρίσταρχος φησί.

597. ἀπάλαμνος] Ἀσθενὴς, ἄπειρος, μηδὲν μηχανήσασθαι δυνάμενος.

613. πολυλήϊος] Πολλὰ λεῖα ἔχων, ἢ πολλὰ θρέμματα, πολυθρέμματος· λεῖα δὲ λέγεται καὶ τὰ ἐκ πολέμου λάφυρα, ἢ τὰ ἀπὸ λῃστείας.

620. λὰξ προσβὰς] Λὰξ τὸ στῆθος τοῦ ποδός, ἤγουν τὸ πλατὺ, ὁμωνύμως δὲ καὶ ἡ ἀπὸ τούτου πληγὴ λὰξ καλεῖται, ἐλάκτισε δὲ προσελθών.

623. ἀμφίβασιν] Τὴν ὑπερμάχησιν, τὴν ὑπὲρ τοῦ νεκροῦ μάχην, ἤγουν τὸν ὑπερασπισμὸν, ἢ τὸν περιβάντα τῶν νεκρῶν ὑπέρμαχον.

Ib. ἀγερώχων] Ἄγαν ἐντίμων, ἢ ἄγαν ὑβριστῶν ἢ αὐθάδων καὶ ὑπερηφάνων.

629. μοῖρα κραταιὴ] Ἡ ἀπότομος ἰσχυρὰ μοῖρα, ἡ ἐπικρατοῦσα πάντων.

639. θρασυμέμνονα] Ὑπομονητικὸν καὶ θαρσαλέον πρὸς τὸ ὑπομένειν τοὺς κινδύνους.

Ib. θυμολέοντα] Λεοντόψυχον, γενναῖον, ὡς λέοντος ἔχοντα τὴν ψυχήν.

654. κλυτοπώλῳ] Ἐνδόξους ἵππους ἔχοντι.

Ib. ὅτι κλυτή[r]] Ἐστιν ἡ ἐπιπόλησις, οἷον ἀκουστὴ, διὰ τὰς ἐπὶ τοῖς θανοῦσιν οἰμωγάς. ἢ ἔοικε τῷ ἐπιθέτῳ καὶ κατὰ τοῦ ᾅδου κεχρῆσθαι.

734. πέπλον] Γυναικεῖον ἔνδυμα, τουτέστι χιτὼν, ὃν οὐκ ἐνε-

[r] In mar. γρ. ἢ οὐ κλυτή.

δύοντο, ἀλλ' ἐπερονῶντο. ἀρθεισῶν γὰρ τῶν περονῶν καταρρέων φαίνεται ὁ πέπλος εἰς τὸ ἔδαφος.

902. Ὀπὸς τὸ γαλακτῶδες τῆς συκῆς, ἡ πιτύα, ἢ τὸ τῆς συκῆς ὑγρὸν, ὑφ' οὗ πήγνυται τὸ γάλα.

ἹΣΤΟΡΊΑΙ ΚΑῚ ἈΠΟΡΊΑΙ ΤΗ͂Σ Z ὉΜΉΡΟΥ ῬΑΨΩΙΔΊΑΣ.

V. 1. Τρώων δ' οἰώθη] Τῶν Τρώων δὲ ἐμονώθη ἡ μάχη τῆς τῶν θεῶν συμμαχίας, ἢ χωρὶς τῆς τῶν θεῶν συμμαχίας ἐγένετο ἡ φοβερὰ μάχη καὶ ὁ πόλεμος.

P. 176, 17. Μάχεσθαι συνερχομένους. τουτέστι κατὰ φυλὴν, πλησίον φυλῆς.

97. μήστωρα] Ἔμπειρον, ἢ τὸν δυνάμενον μήσασθαι τοῖς ἐναντίοις φυγὴν, ὅ ἐστιν ἐργάσασθαι.

152. μυχῷ Ἄργεος] Τῷ ἐσωτάτῳ τόπῳ τῆς Πελοποννήσου.

P. 183, 37. Ἀπὸ Φλιοῦντος εἰς Βιόϊαν[a] διὰ τῆς Κορίνθου. — 43. Ἀνθρώπων ἀποθνήσκειν. ὡς αὐτὸν ᾅδης τῷ θανάτῳ παρέδωκε, καὶ τὸν θάνατον τῶν δεσμῶν ἀπέλυσε. πρὶν ἢ δὲ ἀποθανεῖν. — 45. Τὰ νενομισμένα αὐτῷ πέμπειν εἰς ᾅδου.

161. κρυπταδίῃ] Λαθραίᾳ, καὶ μυχικῇ. ἰστέον ὅτι "ἡ γυνὴ δεῖται σωφρονίζοντος[b]." φασὶ γὰρ "ἡ γυνὴ τὸ ἀκόλαστον ἔχει, ὅπερ εἰ μὴ ἐπικόπτοιτο καθάπερ τὰ δένδρα, ὑλομανεῖ. φιλέει δὲ ἡ γυνὴ πλέον ἀνέρος. αἰδουμένη δὲ καθεύδει κέντρα ἔρωτος, ἐρωτομανέουσα καὶ αὐτή.

167. σεβάσσατο] Σεβαστὸν ἡγήσατο, ᾐδέσθη.

168. σήματα] Σημεῖα καὶ τύπους, ἐξ ὧν δηλοῖ τὴν ἐπιβουλὴν, οὐδὲ γὰρ ἦν τῶν πραγμάτων χρῆσις.

261. ἀνδρὶ δὲ κεκμηῶτι μέγα μένος οἶνος ἀέξει] Πῶς προεῖπε "μέγα μένος," νῦν δὲ "μή μοι οἶνον ἄειρε," καὶ τὰ ἑξῆς; φασὶν οὖν ὅτι ἕτερον πρόσωπον τὸ τῆς Ἑκάβης, ἕτερον δὲ τὸ τοῦ Ἕκτορος, τὸ ἀρνούμενον. οὐδὲν δὲ θαυμαστὸν εἰ παρὰ[c] τῷ αὐτῷ ποιητῇ ἐναντίοι λόγοι λέγονται ὑπὸ προσώπων διαφόρων. ὅσα μὲν γὰρ αὐτὸς ἀφ' ἑαυτοῦ καὶ ἐξ ἰδίου προσώπου φησὶν ὁ ποιητὴς, ταῦτα δεῖ εἶναι ἀκόλουθα ἀλλήλοις καὶ μὴ ἐναντία, ὅσα δὲ προσώπῳ[d]

[a] Al. Codd. Οἰνώνην, sed A. Ven. Βιώνην. [b] Hippocrat. Ep. ad Dion. [c] εἶπε Cod. [d] πρόσωπα Cod.

ἑτέρῳ περιτίθησι, οὐκ αὐτοῦ ἐστιν ἀλλὰ τῶν λεγόντων νοεῖται· ὅθεν καὶ ἐπιδέχεται πολλάκις διαφωνία, ὥσπερ καὶ ἐν τούτοις. ἡ μὲν γὰρ οὐκ εἰδυῖα τὸν κάματον τῶν ἀνδρῶν ταύτης ἐστὶ τῆς γνώμης, ὁ δὲ μάλιστα ἐπιστάμενος κ. τ. λ.

P. 190, 12. Λύεται δὲ τὸ προκείμενον καὶ οὕτως, ὅτι τὸ μένος τριχῶς νοεῖται, ἐπὶ θυμοῦ.

265. μή μ' ἀπογυιώσῃς] Βλάψῃς μου τὰ μέλη, ὑποχωλώσῃς, οἷον ἐκλύσῃς μου ἢ χαυνώνῃς μου τὰ μέλη.

268. λύθρῳ] Τῷ μετὰ κονιορτοῦ αἵματι ἢ ἱδρῶτι τινὶ μεθ' αἵματος καὶ κονιορτοῦ.

291. ἐπιπλὼς] Ἐπιπλεύσας, ἀποκοπὴ οὐ συγκοπὴ τοῦ περιπλώσας.

292. ἀνήγαγε] Τὸν εἰς τὸ Ἴλιον πλοῦν, ἀναπέπλουν[d] καὶ ἀναγωγὴν εἴρηκεν ὁ ποιητής.

299. Κισσηῒς] Κισσέως θυγάτηρ ἡ Θεανὼ, ταύτην γὰρ οἱ Τρῶες εἶχον ἱέρειαν.

305. δῖα] Ἤτοι κρατίστη, εὐγενεστάτη, εἰρωνικῶς· ἢ δεινὴ, ὡς τὸ, δῖα Χάρυβδις.

316. θάλαμον, καὶ δῶμα καὶ αὐλὴν] Τόν τε γυναικωνίτην, τὸν οἶκον, καὶ μέσαυλον.

336. ἤθελον δ' ἄχεϊ προτραπέσθαι] Τὴν λύπην τὴν ἀπὸ τοῦ δυσημερήματος ἤθελον ἀποτραπῆναι καὶ ἐκκλίναι μικρὸν τῆς μάχης, ἤγουν πρὸς μικρὸν θεραπεῦσαι διὰ τὴν ἀθυμίαν. ἔνιοι δὲ εἶξαι ἐκ τῆς συμβάσης μοι λύπης ἐκ τῆς ἥττης. ἡ γὰρ ἐκ τῆς ἥττης ἀθυμία τοὺς ἀνθρώπους εἴωθε πνίγειν.

339. ἐπαμείβεται] Ἐξ ἀμοιβῆς ἀποκρίνεται, ἐναλλὰξ πρὸς ἄλλον καὶ ἄλλον χωρεῖ, ἄλλοτε μὲν τούτῳ, ἄλλοτε ἐκείνῳ προστιθέμενος.

480. ἔναρα] Τὰ ἀπὸ τοῦ πολέμου λάφυρα. ἐναρίζειν γάρ ἐστι τὸ φονεύειν, διὰ τοῦτο καὶ οἱ νεκροὶ ἔνεροι λέγονται.

P. 199, 7. Ἐπὶ τῇ τῆς φάτνης στάσει. φάτνη ὁ τόπος ὅπου ἐσθίει τὰ κτήνη, ἐν ἄλλῳ ἡ τῶν τετραπόδων, ὥσπερ ἡ τράπεζα.

507. κροαίνων] Ἐπικροτῶν, ἐπικρούων τοῖς ποσὶ, ἢ ἐπιθυμῶν, ἢ χρεμετίζων.

d Leg. ἀνάπλουν.

Ἱστορίαι καὶ ἀπορίαι τῆς Η Ὁμήρου ῥαψῳδίας.

V. 9. *κορυνήτης*] Ἐπιθετικῶς ὁ Ἀρηΐθοος ὁ τῇ κορύνῃ μαχόμενος, τουτέστι τῷ ῥοπάλῳ. ἔστι δὲ ἐπίθετον Ἀρηϊθόου.

P. 201, 26. Ἦν γὰρ ἀψιμαχία τις δεῦρο τοῖς Βοιωτίοις πολίταις, καὶ τοῖς Ἀρκάσι.

P. 202, 19. Ἡ ἀνάπαλιν ἑτεροκλινῆ, τὴν τοῖς ἐναντίοις ἀλκὴν καὶ δύναμιν παρέχουσαν.

47. *Διὶ μῆτιν*] Ἀφ' ὧν ἕκαστος τιμᾷ, ἀπὸ τούτων τὸν ἔπαινον ἢ τὸν ψόγον ποιῶν, ὡς καὶ Ἀχιλλεὺς Ἀγαμέμνονι τὴν δειλίαν. ἅμα δὲ διδάσκει ὅτι δεῖ τὸν ἄρχοντα—

P. 204, 29. Καὶ δὴ πολλῆς οὔσης ἀκαρπίας ἐν τῇ χώρᾳ, ἔπεμπον οἱ Ἀθηναῖοι εἰς Πυθώ.

86. *χεύσωσι*] Χώσωσι, τὸ τὴν γῆν ἐπιχέαι τοῖς τεθνεῶσι. "σῆμά τε οἱ χεῦσαι" ἀπὸ τούτου τὸ χετὴ, οὐ κοινῶς ἡ γῆ ἀλλ' ἡ ἐπιχεομένη τοῖς νεκροῖς.

135. *Ἰαρδάνου*] Ἰάρδανος ποταμὸς ἐν Ἤλιδι. ἄλλοι δὲ ἐν Ἀρκαδίᾳ.

P. 215, 36. Πάσας ἀνδροκτονεῖν, καὶ μὴ τῆς βουλῆς ταύτης ἀποτυχεῖν. γενομένου δὲ κ. τ. λ.

Ἱστορίαι καὶ ἀπορίαι τῆς Θ Ὁμήρου ῥαψῳδίας.

V. 1. *κροκόπεπλος*] Κροκωτὸν ἱμάτιον ἔχουσα, κροκοείμων καὶ διαυγὴς, ἀπὸ τῆς κατὰ τὴν ἀνατολὴν χροιᾶς τοῦ ἡλίου γινομένης ἐρυθρᾶς. τοῦτο δὲ εἶπεν ὡς ἐπὶ σωματοειδοῦς θεᾶς πεποίηται λόγον.

2. *τερπικέραυνος*] Ὁ τερπόμενος τοῖς κεραυνοῖς, ἢ ὁ τρέπων τοὺς ἐναντίους κεραυνοὺς, τουτέστι καταγωνιζόμενος.

P. 219, 25. Ἐνταῦθα δὲ ἐκ τοῦ φανεροῦ τὸ κρατεῖν.

178. *ἀβλήχρ'*] Ἀσθενῆ, κατ' ἐπίτασιν τοῦ βληχρὸς, ὃ σημαίνει τὸν ἀσθενῆ.

213. *τῶν δ' ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργε*] Ὅσον ἦν ἀπὸ τῶν νεῶν διάστημα ἐπὶ τὸ τεῖχος, καὶ ἀπὸ τοῦ τείχους ἐπὶ τὴν τάφρον, ἐπληροῦτο ἀπὸ τοῦ ὄχλου. ὅσον γὰρ ἡ τάφρος ἀπεῖχε

τοῦ τείχους καὶ τῶν νεῶν, τοῦτο πλῆρες ἦν πεζῶν καὶ ἵππων. ἀμφότερα οὖν τὰ διαστήματα ἑκατέρωθεν τοῦ τείχους, τὸ μὲν πρὸς τὴν τάφρον, τὸ δὲ πρὸς τὰς ναῦς, ἐπεπλήρωτο.

352. οὐκ ἔτι νῶϊ, καὶ τὰ ἑξῆς] Οὐκ ἔτι σώους ἐῶμεν τοὺς Ἕλληνας. ὠνησιδαιμονίαν καὶ φροντίδων ποιησόμεθα καὶ ἐξ ὑστέρου.

361. Εὐρυσθῆος] Εὐρυσθέως τῶν Ἀργείων βασιλέως τοῦ ἐπιτάττοντος Ἡρακλεῖ τοὺς ἄθλους.

P. 233, 18. Ἐξ ᾅδου κομίζειν. εἶχε δὲ οὗτος τρεῖς μὲν κεφαλὰς κυνῶν, τὴν δὲ οὐρὰν δράκοντος, τὰ δὲ νῶτα παντοίων εἶχεν ὄφεων κεφαλὰς, μέλλων οὖν—τῶν ᾅδου βοῶν ἀπέσφαξεν.

373. ἔσται μὰν] Ἔσται μὴν καιρὸς, ὅπως θεάσομαι καὶ χαρήσεται ὁ Ἕκτωρ ἡμῶν ὀφθεισῶν καὶ προφανεισῶν ἀνὰ τὰς τοῦ πολέμου τάξεις, ἢ καὶ τοὺς κύνας χορτάσει τῶν Τρώων, καὶ τοὺς ὄρνεις τῶν σαρκῶν, παραπεσὼν παρὰ ταῖς ναυσὶ τῶν Ἑμλήνων.

559. πὰρ δὲ ἑκάστῳ εἵατο πεντήκοντα σέλας πυρὸς] Τῷ ἑκάστῳ συναπτέον τὸ σέλας, ἵν' ᾖ παρ' ἑκάστῳ σέλας καὶ φῶτα τοῦ πυρὸς, τουτέστι παρ' ἑκάστῳ πυρά. ἐκ τούτων ἂν τις καταμάθοι τὸ πλῆθος τῶν Τρώων, ὅτι πέντε μυριάδες ἦσαν.

Ἱστορίαι καὶ ἀπορίαι τῆς Ι Ὁμήρου ῥαψωιδίας.

V. 2. θεσπεσίη] Ἰδίως μὲν διὰ τοὺς Τρῶας, ἰδίως δὲ διὰ τὸν πεσόντα κεραυνόν.

Ib. ἑταίρη] Συνεργὸς φίλη. σημειωτέον δὲ ὅτι τὴν φυγὴν ὁ ποιητὴς τοῦ φόβου εἴρηκεν ἑταίρην.

3. βεβολήατο] Τὴν ψυχὴν τετρωμένοι ἦσαν, ἐλυποῦντο.

P. 240, 42. φύκεα φασὶ βοτάνην.

P. 241, 39. ἔχει ταύτην ἐπὶ τὰ ῥηθέντα.

43. νῆες δέ τοι] Αἱ δὲ νῆες σου ἐγγὺς τῆς θαλάσσης εἰσὶ, διὰ τοῦ πλήθους τῶν νεῶν δειλίαν αὐτὸ προσαγορεύει.

P. 246, 1. τάλαντα] Τὰ νῦν ἑξακισχίλια λέγει, παρὰ Ἀθηναίοις δὲ διαφόρως νοεῖται.

P. 246, 7. Βρέφος ἡμίονον κυοφορέουσαν. — 13. Ταῦτα δὲ χρυσίου τάλαντα.

P. 247, 24. Φησὶν ὁ Εὐριπίδης· ἐζήτηται δὲ πῶς μᾶλλον ὁ Νέστωρ οὐ πρεσβεύει κ. τ. λ.

259. γέρων] Γέρων εἴρηται παρὰ τὸ γέρας, ἵν' ᾖ παρώνυμον, παρὰ τὸ ἕτοιμον εἶναι εἰς τιμὴν ἔρων, ἢ ὁ εἰς γῆν ὁρῶν.

404. ἀφήτορος] Τοῦ Ἀπόλλωνος.

P. 259, 14. Ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως. ἢ τοῦ τῆς πυλίδος τροφέως.

443. μύθων τε ῥητῆρ' ἔμεναι] Ἀντὶ τοῦ διδάσκαλον ἐσόμενον λόγων καὶ ῥήτορα δραστηρίων λόγων ὧν δεῖ πράσσειν.

P. 261, 2. Δείσας δὲ Φοῖνιξ.

460. ἀνεψιοὶ] Οἱ ἀδελφῶν υἱοὶ, ὡς Ἀχιλλεὺς καὶ Αἴας. ἀδελφιδοὶ δὲ οἱ ἀδελφῶν παῖδες, ὡς ὁ Ὀρέστης πρὸς Μενέλαον.

499. παράβλωπες] Παρηλλαγμένοι καὶ διάστροφοι τοὺς ὀφθαλμοὺς, ἐπειδὴ οἱ ἱκετεύοντες ὑπὲρ τοῦ ἐλεεινοὶ φαίνεσθαι προσίασιν, οἰκτρὰ τὰ σχήματα αὐτῶν καὶ τὰς θέας ἔχοντες.

518. μύθον ἐλέγξῃς] Μὴ ἀτιμάσῃς ἡμῶν τῶν ὑπὲρ τῆς ἀξιώσεως λόγον καὶ πρεσβείας, διότι ἀειμνήστους ἐπὶ καλῷ ποιῶν τοὺς ὀργιζομένους ὁ θυμός.

519. μηδὲ πόδας] Μηδὲ τὴν ἐνταῦθα ἄφιξιν καὶ πορείαν.

525. Κουρῆτες] Ἀκαρνάνες[e] οἱ μὴ κειρόμενοι τὰς κόμας.

P. 272, 31. Ἀχιλλέως ἀπόκρισιν Ὀδυσσεὺς λέγει. — 34. Ἀλλ' οὗτοι, ὅτι κρείττονες ἦσαν.

Ἱστορίαι καὶ ἀπορίαι τῆς K Ὁμήρου ῥαψῳδίας.

V. 6. ἀθέσφατον] Βέλτιον τὸ ἀθέσφατον τοῖς ἑξῆς συντάττειν, ἵνα τὸν μὲν ὄμβρον πολὺν λέγῃ, τὴν δὲ χάλαζαν ἀθέσφατον, καὶ μὴ δύο καθ' ἑνὸς κεῖσθαι ἐπίθετα.

P. 273, 16. Ἐλεύκανεν, ὡς πεπαλὴ[f] καταπασθεῖσα.

29. παρδαλέῃ] Διὰ τοῦ ᾱ τὸ δέρμα, διὰ δὲ τοῦ ō τὸ ζῶον τὸ ἄρρεν, διὰ τοῦ ᾱ δὲ πάλιν ἡ θήλεια. ἱερὸν ἰχθὺν λέγεται, τὸ μέγα τινὲς, σημαίνει δὲ καὶ τὸν ἄνετον, ὡς καὶ ἱερὸν βοῦν ἀπὸ τοῦ προϊέσθαι.

77. πὰρ δὲ ζωστὴρ] Ἰστέον ὅτι οὐ ταυτὸν ζῶμα καὶ ζωστὴρ,

[e] ἀκαρράνες Cod. [f] Leg. ὥστε παλή.

ζῶμα μὲν γάρ ἐστι τὸ περιαπτόμενον τῆς μίτρας, ζωστὴρ δὲ τὸ προσαπτόμενον κατὰ τὰ ἄκρα τοῦ θώρακος, ἀπὸ τῆς ὀσφύος πρὸς τὰ κάτω. τὸ δὲ "παναίολος" ἀντὶ τοῦ λάμπων τίς κεῖται.

80. ἐπ' ἀγκῶνος] Τινὲς ἐπὶ τοῦ ἀγκῶνος ἐπάρας καὶ ἐπιβαστάξας τὴν κεφαλὴν αὐτοῦ. τὸ γὰρ ὀρθωθῆναι οὐκ ἐπὶ τῶν ποδῶν τάττει.

83. οὐθ' εὕδουσι] Ὀλιγόϋπνοι δὲ οἱ γέροντες καὶ διὰ τὸν καιρὸν καὶ τὸ γῆρας.

P. 278, 26. Ἐποίησεν οὔτε τὸν Μελέαγρον. ἅμα δέ. — 36. Διὸ σημειωτέον τὸ ναυσίκλυτος, προπαροξυνόμενον.

153. ὄρθ' ἐπὶ σαυρωτῆρος] Σαυρωτήρ τις ὤν, ὁ ἱστῶν ὄρθριον τὸ δόρυ. ἔστι δὲ τὸ συμβαλλόμενον τῷ κάτω μέρει τοῦ δόρατος σιδηρον ὅμοιον τῇ ἐπιδορατίδι, μὴ ἠκονημένον δέ.

P. 282, 12. Ἐγγὺς ὄντων αὐτῶν. ἢ ἵνα μὴ θόρυβος ἐν τῷ στρατοπέδῳ γένηται.

224. σύν τε δύ' ἐρχομένω] Συνερχομένων γὰρ δύο ὁμοῦ καὶ κοινῶς, ὁ ἕτερος πρὸ τοῦ ἑτέρου ἐνόησε τί κοινωφελὲς καὶ συμφέρον.

252. Ἐγὼ μὲν τοῦτο φθέγγεσθαι οἶμαι τὸν Ὅμηρον τοῖς στίχοις τούτοις. παρῴχηκε δὲ πλείω νὺξ τῶν δύο μοιρῶν, τριτάτη δ' ἔτι μοῖρα λέλειπται. ὅτι πλείω παρῴχηκε τῶν δύο μοιρῶν, ἤτοι τῆς πρώτης μὲν μοίρας τελειωθείσης, τῆς δὲ δευτέρας ἤδη τὸ πλεῖον τῆς διαδρομῆς περιελθούσης, καὶ ὅσον οὔπω τέλος μελλούσης θεῖναι τοῦ δρόμου αὐτῆς. ὥστε τῶν δύο μοιρῶν λείπεσθαι τί ὀλίγον, καὶ οὐ τῆς τρίτης, ἀλλὰ σώας εἰσέτι φυλαττομένης, καὶ μηδέπω τὸ τῆς διατριβῆς στάδιον ἐπεισελθούσης, ἀλλ' ὅσον οὔπω τῆς δευτέρας τελειουμένης, ταύτης ἔναρξιν γενέσθαι τῆς τὴν ἠῶ διάδοχον ἑαυτῆς διατεθειμένης τρίτης μοίρας.

Οἱ παλαιοὶ τὰς ιβ' ὥρας εἰς τρεῖς μοίρας διεῖλον. ἡ μία ἑκάστη εἶχεν ὥρας δ'. καὶ λέγει, παρῴχηκε δὲ περισσότερον τῶν δύο μοιρῶν, ἤτοι τῶν ἕκτων ὡρῶν τῆς νυκτὸς πλέω καὶ περισσότερον παρῴχηκεν. ἢ οὕτω, παρῴχηκε πλέω καὶ πλήρης, καὶ πεπληρωμένη ἡ νὺξ τῶν δύο μοιρῶν, ἤτοι παρῆλθον αἱ ὀκτὼ ὧραι τῆς νυκτὸς, ἐναπέμειναν αἱ δ' ὧραι, ἤτοι ἡ τρίτη μοῖρα. ὡς ἀστρονόμος ὁ Ὀδυσσεὺς ταῦτα ἠπίστατο.

281. εὐκλείας] Εὐκλεεῖς, ἐνδόξους, τὴν ἐσχάτην συστέλλοντες ἀναγινώσκομεν. λέγει γὰρ, "δὸς ἡμᾶς" κ. τ. λ.

305. ἐριαύχενας] Μεγαλοτραχήλους ἀπὸ μέρους. τὸ ἐρι γὰρ μόριον ἐπὶ τοῦ μεγάλου τίθεται, ὡς καὶ τὸ ζᾶ. καὶ ἐνταῦθα δὲ κ. τ. λ.

P. 291, 2. Ζεύγεσι τὰς ἁμαξιὰς μεγάλας ποιοῦσι. — 8. Ἀρκεῖ γὰρ τὸ κτίς. — 21. Ἐν ἐπιστροφῇ ἀρούντων. οἱ γὰρ.

P. 293, 36. Εἴπερ σκυλεῦσαι θέλει. αἱ συνεχεῖς δὲ πεύσεις οὐκ ἐῶσιν εἰς ψευδῆ τραπῆναι.

P. 293, 35. Αὐτὸν ἀνελεῖν, καὶ τὰ ὅπλα αὐτοῦ ἀφελέσθαι.

P. 295, 18. Ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προσελθεῖν.

P. 295, 20. Λέλεγες, ἔθνος Θρακικὸν, μᾶλλον δὲ Καρικὸν, λέγει δὲ τοὺς ἐν Ποδέᾳ πόλ. — 33. ἅ φασι Τράλλεις om. — 34. πρὸς Θύμβρης] Πρὸς τὸ Θυμβραῖον πεδίον, ὅ φασι Τράλλεις. Θύμβρα κ. τ. λ.

430. ἀγέρωχοι] Αὐθάδεις καὶ θρασεῖς. ἔστι δὲ ὅτε δηλοῖ ἡ λέξις καὶ τοὺς ἄγαν ἀνδρείους καὶ ἐντίμους, ἐκ τοῦ ἄγαν αὐτοὺς ἐπὶ τοῦ γέρως ὀχεῖσθαι, ὅσοι ἐκ Μουσῶν τίκτονται, Ὀρφεὺς ἐκ Καλλιόπης, ἢ ὥς τινες Εὐτέρπης, Ῥῆσος Τερψιχόρης [g].

495. τὸν τρισκαιδέκατον] Ὅτι νῦν τοῖς δώδεκα Θρᾳξὶν ἐπαριθμεῖται, τὸν Ῥῆσον τρισκαιδέκατον λέγων, πάλιν δὲ χωρήσας τὸν Ῥῆσον κατ' ἐξοχὴν, τοῖς δώδεκα ἑταίροις ἐπαριθμεῖται τὸν Δόλωνα.

496. κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη] Κακὸς ὄνειρος ὁ Διομήδης ἐπέστη αὐτῷ, ὅτι νυκτὸς καθεύδοντα αὐτὸν ἀνεῖλε.

532. Ζητεῖται πῶς πρῶτος αὐτὸς αἰσθάνεται. ῥητέον ὅτι πρῶτος αἰσθάνεται ἀγωνιῶν, διὰ τὸ αὐτὸν εἰσηγητὴν γεγονέναι τῆς κατασκοπῆς. ὡς οὖν γνώμην διδοὺς εἰς τὸ ἐκπεμφθῆναι τοὺς ἄνδρας, οὐ μόνον ἠγωνία ὑπὲρ αὐτῶν, ἀλλὰ καὶ τῇ ψυχῇ συναπεδήμει αὐτοῖς.

P. 300, 1. Τρῶάς τε καὶ Ἕκτορα. διὰ τὸν κάματον θεραπείας αὐτῶν τοῦ σώματος ἔδει ποιεῖν, ἄλλως τε καὶ μέλλοντες ἐπὶ τὸν πόλεμον ἐξιέναι. ἐπὶ πάντων δὲ τοῦτο νοητέον κατὰ τὸ σιωπώμενον. τὸ ἱερὸν ἔσφαξαν τῇ Θεῷ.

[g] τεοψιχώρης Cod.

Ἱστορίαι καὶ ἀπορίαι καὶ Ἑρμηνεῖαι τῆς Λ Ὁμήρου ῥαψῳδίας.

V. 1. Τιθωνοῖο] Τιθωνὸν τὸν ἥλιον λέγει τιτωνόν τινα, διὰ τὸ ἀκοπίαστον εἶναι τὸ στοιχεῖον.

P. 301, 29. Οἱ δὲ ἀστραπὴν, οἱ δὲ ξίφος, οἱ δὲ δόρυ. (οἱ δὲ Ἶριν om.)

27. κυάνεοι δὲ δράκοντες] Οἱ δράκοντες περὶ τὸν τράχηλον ὑπῆρχον διὰ τὸ σκέπειν τὰ καίρια. ὅτι δὲ ἐξ ἑκατέρου μέρους ἦσαν οἱ δράκοντες τρεῖς περὶ τὸν θώρηκα. εἰκάζει δὲ αὐτοὺς τόξοις διὰ τὴν ἐπικύρτωσιν.

40. ἀμφιστεφέες] Ἐξ ἑνὸς σώματος τοῦ δράκοντος τρεῖς ἐμπεφύκεισαν κεφαλαὶ, ἀλλήλαις συμπεπλεγμέναι.

Ib. Κύκλῳ περικείμεναι, ἢ ἀμφοτέρωθεν ἐστεμμέναι.

52. ἱππῆες δ' ὀλίγον μετεκίαθον] Προέφθασαν οἱ πεζοὶ τοὺς ἵππους ἐπὶ τῇ τάφρῳ, διὰ τὸ τοὺς ἡνιόχους καὶ ἑαυτοὺς καθοπλίζειν καὶ τοὺς ἵππους. οἱ δὲ ἀναβάται ἑαυτοὺς μόνον καθώπλισαν, διὸ καὶ προέφθασαν.

54. αἵματι μυδαλέας ἐξ αἰθέρος] Συμβαίνει ἐν τοῖς μεγάλοις πολέμοις αἷμα πλεῖστον ἐκχεῖσθαι εἰς τοὺς ποταμοὺς, ὥστε τὰς ἐξ αὐτῶν ἀναδιδομένας νεφέλας αἱματοειδεῖς εἶναι, καὶ δρόσους ἀποτελεῖν αἵματος πλήρεις. ἐζήτηται πῶς ἐνεδέχετο αἷμα ἔχειν τὰς νεφέλας; καὶ φασὶν οἱ λέγοντες τὸ ἀμφίβολον, ὅτι ὡς ἐπὶ μεγίστῳ πολέμῳ πολλῶν ἀναιρουμένων, τὸ αἷμα τούτων ἐπλήρου τοὺς πλησίον ποταμοὺς, ἀφ' ὧν αἱ νεφέλαι λαμβάνουσαι τὸ ὕδωρ, αἱματοειδεῖς δρόσους ἔπεμπον.

Ἀγγελίην, δύο σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὸ ἄγγελμα, ὡς ἐν τῷ

ἀγγελίην εἴποιμι περίφρονι Πηνελοπείῃ,

καὶ τὸν ἄγγελον, ἤγουν τὸν πρέσβιν, ὡς ἐνταῦθα

ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσσῆϊ.

146. χεῖρας ἀπὸ ξίφεϊ τμήξας] Τὰς μὲν χεῖρας ἀπέτεμεν ὡς χρυσὸν λαβούσας παρὰ Ἀλεξάνδρου, τὴν δὲ κεφαλὴν, ὅτι καὶ ἐκείνων πατὴρ τὴν τῶν Ἑλλήνων κεφαλὴν ἀναιρῆσαι τὸν Μενέλαον συνεβούλευσε.

P. 307, 40. Περισπᾷ οὖν τὸ ᾶ δεῖλε. ἐν δὲ τῇ Ὁμηρικῇ προσῳδίᾳ.

270. μογοστόκοι Εἰλειθυίαι] Αἱ τοὺς μόγους ἐπικουφίζουσαι τῶν τικτουσῶν, ἤγουν τοὺς πόνους, "Εἰλείθυιαι," αἱ θεαὶ, αἱ τῶν τικτουσῶν ἔφοροι, Διὸς καὶ Ἥρας θυγατέρες, αἱ γένναι.

357. ὄφρα δὲ Τυδείδης δούρατος ᾤχετ' ἐρωὴν] Ἐπὶ τὴν ὁρμὴν τοῦ δόρατος ὥστε ἀνελέσθαι αὐτό· ἐν ὅσῳ ὁ Τυδείδης ἐπορεύθη λαβεῖν τὸ ἑαυτοῦ δόρυ, ἐκεῖθεν ὅπου τῆς γῆς ἐφάνη αὐτὸ πεσὸν, ἀπέλυε γὰρ αὐτὸ κατὰ τῶν πολεμίων, καὶ πάλιν ἐλάμβανεν, ἐν τοσούτῳ ἠγέρθη καὶ ὁ Ἕκτωρ.

371. ἀνδροκμήτῳ ἐπὶ τύμβῳ] Ἐφ' ᾧ ἀνὴρ κεκμηκὼς ἔκειτο, ἤγουν νεκρὸς, ἢ ὑπὸ ἀνδρὸς κατεσκευασμένῳ. παλαιὸν τοὺς ἀρίστους θάπτοντες, στήλας ἐποίουν ἐπάνω τῶν τάφων αὐτῶν.

385. τοξότα λωβητὴρ, κέρα ἀγλαὲ] Διὰ τόξων λωβήμενος καὶ βλάπτων, ἐξ οὗ δειλὲ, καλλωπιζόμενος τῇ τοξικῇ ἢ τῇ τριχώσει, κέρας γὰρ οἱ παλαιοὶ τὴν τρίχωσιν ἐκάλουν.

P. 322, 16. Καρδία καὶ φλεβῶν ἧπαρ. διάφραγμα ἐστὶ τὸ διορίζον τὰ θρεπτικὰ μόρια τῶν ἀναπνευστικῶν. καὶ θρεπτικὰ μὲν ἧπαρ, πλὴν, ἀναπνευστικὸν δὲ, πνευμάτων, καρδία, θώραξ. δῆλον οὖν, ὡς τὰ μὲν νεῦρα παρ' ἐγκεφάλῳ τὴν ψυχικὴν δύναμιν, αἱ δ' ἀρτηρίαι τῆς καρδίας τὴν σφυγμικὴν, αἱ δὲ φλέβαι ἐξ ἥπατος τὴν φυσικὴν λαμβάνουσι.

P. 324, 22. Ἡ λέξις ὁτὲ μὲν τὸ ἄλευρον ἀπὸ τοῦ κατασείεσθαι καὶ ἀλεῖσθαι. — 23. Ὁτὲ δὲ τὸν αἰγιαλὸν ἀπὸ τοῦ περικαταρήσεσθαι αὐτῷ.

685. τοὺς ἴμεν, οἷσι χρεῖος ὀφείλετ' ἐν Ἤλιδι δίῃ] Θαυμαστὴ, ἱερὰ, ἐν αὐτῇ γὰρ ἐτιμᾶτο ὁ Ὀλύμπιος Ζεύς· οὗ καὶ πανήγυρις περὶ τριετῆ χρόνον ἤγετο τὰ Ὀλύμπια, ἔνθα ἠγωνίζοντο οἱ ἀπὸ τῆς Ἑλλάδος πάντες. ἔστι δὲ ἡ πόλις Πελοποννήσου.

750. εἰ μὴ σφῶε πατὴρ] Ποσειδῶν ἐνταῦθα λέγει σώζειν αὐτοὺς, ὡς ἐμπείρους ὄντας τῆς θαλάσσης ἐμπειρίας, καὶ διὰ τοῦτο ἐξέφυγον τὰς χεῖρας τοῦ Νέστορος. οὕτω γὰρ ὁ Ποσειδῶν ἔσωσεν αὐτούς.

Ἱστορίαι ἀπορίαι καὶ ἑρμηνεῖαι τῆς M̄ Ὁμήρου ῥαψῳδίας.

P. 336, 3. Λόγῳ. θάνατον δὲ ὑπὸ τῶν Ἑλλήνων.

V. 117. Δευκαλίδαο] Δευκαλίωνος παῖς. γίνονται δὲ ἐκ Πύρρας καὶ Δευκαλίωνος, ἣν ἐκ Διὸς ἔνιοι γεγενῆσθαι λέγουσιν, ὥς φησιν Ἀπολλόδωρος, Ἕλλην μὲν πρῶτος, δεύτερος δὲ Ἀμφικτύων, ὁ μετὰ Κραναὸν βασιλεύσας τῆς Ἀττικῆς· θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς Ἀέθλιος.

167. οἱ δ' ὅτε σφῆκες μέσον αἰόλοι] Ποικίλαι τὰ μέσα τοῦ σώματος, εἰσὶ γὰρ ἐπτερωμένοι καὶ ξανθοί.

201. ἐπ' ἀριστερὰ λαὸν ἐέργων] Ὑποχωροῦσαι σημαίνων, συμφέρον γάρ ἐστιν. ἀριστερὰ μὲν οὖν σημεῖα.

229. εἰδείη τεράων] Ἐπιστήμων εἴη παρατηρήσεων, σημείων.

385. ὁ δ' ἀρνευτῆρι ἐοικὼς] Καὶ οὗτοι γὰρ ἐπὶ κεφαλὰς ἑαυτοὺς ῥίπτουσι. λέγει δὲ τὸ σῶμα συνεκδοχικῶς περὶ τοὺς ἄρνας, οὗτοι γὰρ κυβιστῶσι, τινὲς δὲ τῷ δελφίνι, οἱ γὰρ ἄρνες ἐπὶ κεφαλὰς ἵενται ὅταν γαλήνη γένηται.

Hic desinunt Scholia in Homerum.

COD. REG. 2767.

Hic in Catalogo sic describitur: "Codex bombycinus, quo continetur Homeri Ilias. Passim inter lineas glossæ, conjecta vero ad "marginem Scholia, numero quidem pauca, sed ab Editis diversa, "nec indigna quæ lucem publicam aspiciant. Desideratur Libri "primi initium. Is Codex sæculo decimo tertio exaratus videtur." Horum autem Scholiorum pars major ex Eustathio videntur deprompta. Alios autem Scholiastas et quidem antiquiores excerptorem ad manum habuisse credo, atque ideo cum cæteris ad hunc Poetam spectantibus Parisiensibus Grammaticis, hæc typis committenda esse duxi.

ILIAD. A.

V. 156. *καρπὸν ἐδηλήσαντο*] Δηλῶ δηλήσω τὸ βλάψω, δηλώσω δὲ τὸ φανερὸν ποιήσω. νοῶ νοήσω τὸ εἰς νοῦν λαμβάνω, νώσω δὲ τὸ ἐμβαλῶ νοῦν. πολεμῶ πολεμήσω τὸ μαχέσομαι, πολεμώσω δὲ τὸ κινήσω ἕτερον εἰς μάχην. σταθμῆσαι τὸ ζυγοστατῆσαι, σταθμώσασθαι δὲ παρὰ Ἡροδότῳ τὸ στοχάσασθαι. κηλῶ κηλήσω τὸ θέλξω, κηλώσω δὲ οὐ σεμνόν· ἐξ οὗ καὶ κηλωστὰ τὰ πορνεῖα παρὰ Λυκόφρονι. βοῶ βοήσω τὸ φωνήσω, βοώσω δὲ τὸ εἰς βοῦν μεταβαλῶ. ζηλῶ ζηλήσω, τὸ φθονῶ, ζηλώσω δὲ τὸ μιμοῦμαι.

159. *τιμὴν*] Οἱ Ἕλληνες πολιορκοῦντες τὴν Τροίαν, τιμωρίαν ταύτην τοῖς βασιλεῦσιν ἀντικαταλλάσσονται τῆς ὑπὸ Τρώων πεπλημμελημένης εἰς τὴν τῆς Ἑλένης ἁρπαγήν.

Ἔστι γὰρ τιμωρία παρὰ τὸ τιμὴ αἴρειν ποθὲν ὑπέρ τινος, ἢ ἀείρειν, ὅθεν καὶ ὁ τιμάορος, ὅ ἐστι τιμωρός. ἐκ δὲ τοῦ ἄρνυσθαι καὶ τὸ μισθαρνεῖν, τὸν μισθὸν δηλαδὴ ἄρνυσθαι.

170. *σὺν νηυσὶ κορωνίσιν*] Ἰστέον ὅτι ἀπὸ τοῦ ζώου τῆς κορώνης, εὐλύγιστον ἐχούσης τὸν τράχηλον, ἡ τῶν θυρῶν κορώνη μετήνεκται, ὥσπερ καὶ ἀπὸ τοῦ κόρακος ὁ κόραξ, τουτέστι τὸ κοράκιον

ἀπὸ τῆς τῶν θυρῶν ταύτης κορώνης διὰ τὸ ἐπικαμπὲς τοῦ ὀργάνου, ἴσως δὲ καὶ ἀπὸ τοῦ ζώου. καὶ κορωνίδες λέγονται νῆες, οὐ μόνον ὡς κατὰ τὴν κορώνην μέλαιναι, ἀλλὰ καὶ ὡς τὰ ἄφλαστα κατὰ πρώραν καὶ πρύμναν οἷα (lacuna in Cod.)

171. ἀφύξειν] Ἀφύξειν τὸ ἀνταειν δηλοῖ. ἤνεκται δὲ ἀπὸ τοῦ φύω φύσω ἀφύσσω, ἀφύξω, τὸ τῆς συμφυΐας ἀποστερῶ.

175. μητιέτα] Μητιέτης γίνεται μητιέτα. μῆτις γὰρ ἡ βουλὴ, καὶ ἐκ τοῦ ἀκακήτης ἀκάκητα, ὁ εἰρηνικὸς καὶ μὴ κακοποιῶν. ἔστι δὲ Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τύπος τοῦ σχήματος. τὸ γὰρ ἱππότης ἱππότα καὶ τὸ μητιέτης μητιέτα καὶ τοξότης τοξότα, ἀπὸ τοῦ (lacuna in Cod.)

180. Μυρμιδόνεσσιν] Ἡ δὲ ἱστορία γεωρύχους τοὺς Αἰγινίτας καλεῖ, κοιλαίνοντας τὴν γῆν, δίκην σπηλαίων· καὶ ὑπὸ μὲν τὰς καταδύσεις οἰκοῦντας, τὸ δὲ ἀναβαλλόμενον χῶμα εἰς εὔχρηστον καρποῖς γῆν διαπεταννύοντας, διὰ τὸ τὴν νῆσον τὸ μὲν ἄνω τραχεῖαν εἶναι, ἀγαθὴν δὲ τὰ ἔνερθεν. διὰ τοῦτο τοίνυν τὰ τοιαῦτα ποιοῦντας, μύρμηξιν εἰκάζοντες οἱ ἰδόντες, διὰ τὸ τῆς διαίτης ὡς εἰπεῖν μυρμηκόβιον, μυρμηδόνας ἐπεκάλουν αὐτούς. ἐκεῖθεν δὲ ὕστερον μετοικισθέντας τινὲς τῷ Αἰακῷ εἰς Φθίαν συναπήγαγον ἑαυτοῖς καὶ τὴν κλῆσιν.

182. Χρυσηΐδα] Ἡ Χρυσηῒς Ἀστυνόμη πρότερον ἐκαλεῖτο, ἡ δὲ Βρισηῒς Ἱπποδάμεια. πατρωνυμικῶς δὲ οὕτως καλεῖ. ἦσαν δὲ ἀδελφοὶ ὁ Χρύσης καὶ ὁ Βρίσης, ὡς ἐν χρονογραφίαις φέρεται.

188. ἦτορ] Ἦτορ ἡ ψυχὴ, ἀπὸ τοῦ αὔω τὸ πνέω, πνεῦμα γὰρ νοερὸν ἡ ψυχή.

189. λασίοισι] Λάσιον τὸ πυκνὸν καὶ συνετὸν, μεταληπτικῶς δὲ τοῦτο. λάσιον γὰρ τὸ πυκνόν· πυκνὸν δὲ τὸ συνετόν· λάσιον ἄρα τὸ συνετόν. οὕτω καθίσταται σαφὲς καὶ τὸ "οὐκ ἔσθ' ὅπως "ἀληθῆ λέγεις." τὸ ὅπως μὲν γὰρ, ἔστιν ὅτε ἀντὶ τοῦ ὡς. τὸ ὡς δὲ πολλάκις ταυτὸν τῷ ὅτι. μεταληπτικῶς οὖν τὸ ὅπως ἀντὶ τοῦ ὅτι. ὅμοιον δὲ καὶ τὸ ὅπως ἀντὶ τοῦ καθὰ, ὡς τὸ "φελλοὶ δ' ὅπως" παρ' Αἰσχύλῳ. ὅπως μὲν γὰρ ἀντὶ τοῦ ὡς αὐτὸ δὲ ἐστὶν οὐ παραβολικῶς, ἀντὶ τοῦ καθάπερ, ὅθεν τὸ ὅπως ἀντὶ τοῦ καθά.

189. μερμήριξεν] Μερμήριξε τὸ μερίζεσθαι εἰς διαφόρους βουλὰς, ἐξ οὗ καὶ ἡ μέριμνα· ἐτράπη δὲ τὸ ε εἰς η διὰ τὸ μέτρον.

ἡ δὲ ἄρχουσα ἐκ τοῦ ἀναδιπλασιασμοῦ καὶ προσθήκης τοῦ ρ, ὥσπερ καὶ τὸ μαρμαίρω καὶ τὸ δαρδάπτω, καὶ τὸ καρκαίρω· μέρμηραι δὲ παρὰ παλαιοῖς αἱ βουλαί.

191. ἐναρίζοι] Ἐναρίζειν καὶ ἐναίρειν τὸ κουρσεύειν, ὅθεν καὶ ἔναρα τὰ σκῦλα. ἰστέον ὅτι ὅπλα ἐφόρουν οἱ παλαιοὶ ἐν ταῖς ἀγοραῖς, καὶ ὅτι οὐκ ἀγαθὸν ἦν ἐνόπλους ὄντας βουλεύεσθαι· μικρῷ γὰρ ἂν μέγα συνέβη κακὸν, Ἀχιλλέως χρησαμένου τῷ ξίφει κατὰ τοῦ Ἀγαμέμνονος· διὸ καὶ ἐκωλύθη παρὰ τοῖς ὕστερον ἡ ἁπλῶς ὅπη τύχῃ ὁπλοφορία, διὰ τὰ ἐξ αὐτῆς κακά· εἰ γὰρ κατὰ τὸν ποιητὴν

αὐτὸς ἐφέλκεται ἄνδρα σίδηρος

ἰδίᾳ που κείμενος, τί οὐκ ἂν ποιήσῃ φορούμενος; καὶ δηλονότι τοῦτο καὶ ὅσοι τῶν βαρβάρων διὰ βίου ὁπλοφορεῖν μεμελετήκασι, παρ' οἷς οὐδέποτε φόνοι ἐπιλείπουσι. φέρεται δὲ καὶ περὶ Ζαλεύκου τούτου Λοκροῦ ἱστορία, ὡς νομοθετήσοι μὲν ὁ ἀνὴρ μηδένα φορεῖν ὅπλα ἐν βουλευτηρίῳ· ἐπεὶ δέ ποτε πολέμου ἔνοπλος ὢν εἰσῆλθε κατ' ἀνάγκην εἰς τὴν βουλὴν, ὑπέκρουσε μέν τις ὡς ἤδη τὸν νόμον ὁ Ζάλευκος λέλυκεν· ὁ δὲ οὐ λύσειν ἔφη, ἀλλὰ κυρώσειν, καὶ ἅμα τῷ ξίφει δοὺς ἑαυτὸν ἀπέρρηξε τῆς ζωῆς, ὅπερ ἦν ποινὴ τῷ παραβάντι τὸν νόμον.

197. ξανθῆς δὲ κόμης] Ξανθὸς ἐκ τοῦ ἄνθος, δύναται δὲ εἶναι καὶ ἀπὸ τοῦ ἐξανθεῖν, ἀπελεύσει τοῦ κατ' ἀρχὴν ε.

238. οἵ τε θέμιστας] Θέμιστας Δωρικῶς τὰς δικαιοσύνας· ὡς γὰρ χάρις, χάριτος, οὕτω καὶ θέμις, θέμιτος, ἐξ οὗ τὸ θεμιτὸν καὶ ἀθέμιτον, καὶ πλεονασμῷ τοῦ σ θέμιστος, ἐξ οὗ καὶ Θεμίστιος κύριον, καὶ ἀθεμίστια ἐν Ὀδυσσείᾳ τὰ ἄδικα.

243. ἀμύξεις] Τὸ ἀμύσσειν κυρίως τὸ ξέειν, ὡς καὶ αἷμα ῥυΐσκεσθαι, οἱονεὶ αἱμύσσειν μετὰ δασείας, καὶ ἀποβολῇ τοῦ ι ἀμύσσειν μετὰ ψιλῆς· τὸ δὲ τὴν ψυχὴν ἀμύσσειν μεταφορικόν ἐστιν ἀπὸ τοῦ σώματος.

263. οἷον Πειρίθοόν τε] Ἱστορία Πειρίθ. ὁ Ἰξίονος γένος μὲν ἦν Ἀθηναῖος κ. τ. λ. V. Didym. usque ad τῆς Πελοποννήσου, post quæ Noster ita: ἡ δέ τινι ἀναστρεφομένη μεταβαλόντι τὴν φύσιν εἰς ἵππον Διῒ ἐμίγη, καὶ τὸν προειρημένον ἐγέννησε Πειρίθουν, ὃς ὠνομάσθη ἀπὸ τοῦ περιθεῖν ἵππῳ κ. τ. λ. sicut Didym.

264. Καινέα τ'] Ἱστορία· Καινέα· Καινεὺς Ἐλάτου μὲν ἦν παῖς κ. τ. λ. usque ad ἤρεισαν εἰς γῆν, post quæ Schol. fin.

268. Φηρσὶν ὀρεσκῴοισι] Ἱστορία· Φηρσὶ, λέγει δὲ τοῖς κενταύροις· Ἰξίων[a] ὁ Φλεγύου παῖς Δίαν τὴν Ἰολέως γήμας, ἐλθόντα τὸν κηδεστὴν ἐπὶ τὰ ἕδνα δόλῳ καταπρήσας, μανεὶς καὶ ὑπὸ θεῶν καθαρθεὶς τὸν φόνον κ. τ. λ. V. Didym. Lacuna est in MS. post νεφέλην.

366. Κίλικες, ἔθνος Βάρβαρον τῆς ὑπὸ Πλάκιον Θήβης· τούτων ἦρχε τῶν Κιλίκων Ἠετίων κ. τ. λ. usque ad διὰ τὸν πόλεμον. (Λυρνησσὸν in Nostro.)

399. ὁππότε μιν] Ἱστορεῖ· ὁ Ζεὺς παραλαβὼν τὴν ἐν οὐρανῷ διοίκησιν περισσῶς τῇ παρρησίᾳ ἐχρῆτο κ. τ. λ. secundum Didymum.

416. ἧσθαι·] Λέγει γὰρ τὴν Θέτιν παρὰ Διὸς μαθεῖν τὰ περὶ Ἀχιλλέως, ὅτι εἰ μὲν μείνει ἐν τῇ Φθίᾳ, μὴ συμπλεύσας τοῖς Ἕλλησιν εἰς τὴν Ἴλιον, πολλὴ μὲν αὐτῷ ἔσται ζωὴ, ἄδοξος δέ· εἰ δὲ συνέλθῃ αὐτοῖς, ἔσται ὀλιγοχρόνιος μὲν, ἀλλ' ἀοίδιμος καὶ εὐκλεής· ὡς προειδυῖα ἦν ἡ Θέτις τοῦτο, ἣν αὐτὸν παραθεμένη εἰς τὸν Λυκομήδους παρθενῶνα, ὡς κόρην ἐν τῇ Σκύρῳ κ. τ. λ.

418. ἐν μεγαροῖσι] Ἐν τοῖς οἰκήμασι.

419. τῷ τερπικ.] Τῷ τερπομένῳ ἐν τοῖς κεραυνοῖς.

421. παρήμενος] Καθήμενος.

Ib. ὠκυπόροισι] Ταχείαις κατὰ τὸν πόρον.

422. μηνύι'] Ὀργίζου.

Ib. πάμπαν] Διόλου.

Τὰ ὑπὸ τοῖς νέφεσι μέρη· τὰ γὰρ ἄκρα τοῦ Ὀλύμπου ὑπερφερῆ καὶ ὑπερνεφῆ ἐστιν, οὔτε νίφεται, οὔτε κατομβρεῖται, κατ' αὐτὸν τὸν ποιητὴν λέγοντα·

> Οὔλυμπόνδ' ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ
> ἔμμεναι, οὔτε ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ
> δεύεται, οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη
> πέπταται ἀννέφελος λευκὴ δ' ἐπιδέδρομεν αἴγλη· Od. Z. 44.

ἀγάννιφον οὖν ἤτοι τὸν πάνυ κατανιφόμενον fin.

436. εὐνὰς] Τὰς ἀγκύρας ἤγουν τὰ σιδηρᾶ παρὰ τὸ εὐνάζειν

[a] Ἠρίων Cod.

καὶ ἡσύχως ἔχειν ποιεῖν τὴν ναῦν, χαλώμενα εἰς τὸ ὕδωρ. τρία δὲ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὡς ὅταν λέγῃ, εὐνῇ ἐνὶ μαλακῇ· τὴν ἄγκυραν, ὡς νῦν κ. τ. λ. ut Didym. nisi quod in fine Schol. ἴθι habet pro ὅθι.

449. χερνίψαντο] Οὐλοχύται, κριθαὶ μετὰ ἁλῶν ἃς ἐπέχεον τοῖς ἱερουργουμένοις ζώοις, ἤτοι πολυπληθείας χάριν ἢ μνήμην ποιούμενοι τῆς ἀρχαίας βρώσεως· ὡς γάρ φησι Θεόφραστος ἐν τῷ περὶ εὑρεμάτων, πρὶν οὕτω σώας αὐτὰς ἤσθιον, ὅθεν οὐλὰς αὐτὰς ὁ ποιητής φησι.

459. αὖ ἔρυσαν] Εἰς τ' οὐπίσω ἀνέκλασαν κ. τ. λ. V. Did. Κριθαὶ ἐκλήθησαν διότι αὐτῶν εὑρεθεισῶν διεκρίθησαν τῶν ἀλόγων ζώων οἱ ἄνθρωποι, τῆς τῶν δρυκάρπων ἀπαλλαγέντες τρυφῆς καὶ τοῦ βαλανηφαγεῖν, καὶ διὰ τοῦτο αὗται προσήγοντο εἰς εὐχαριστίαν· ἐντεῦθεν καὶ ὁ κρίβανος, οἱονεὶ κριθῆς βαῦνος· καλοῦσι δὲ βαῦνον μέχρι ἐπ' ἄρτι Πελοπονήσιοι τὸν τοῦ πυρὸς τόπον, ὃν καὶ παριστίαν λέγομεν ἰδιωτικῶς· ὃν καὶ κλίβανον διὰ τοῦ λ̄ φασὶν, ὁμοίως τὸ κεφαλαργία κεφαλαλγία· οὖλαι δὲ ἤτοι ὅλαι· σῶαι γὰρ ἠσθίοντο πρὶν γενέσθαι τὰ τοῦ ἀλέτου, καὶ προσλήψει τοῦ ῡ οὖλαι.

461. ὠμοθέτησαν] Ὠμοθετεῖν τὸ τοῖς μηροῖς ὠμὰ πάντοθεν ἀκρωτηριάζοντας κρεάτων ἐπιτιθέναι τμήματα.

464. ἐπάσαντο] Τὸ ἄπαστος καὶ τὸ πάσασθαι τὸ γεύσασθαι ἀπὸ τοῦ πῶ τὸ κτῶμαι, πόθεν καὶ πῶϋ τὸ ποίμνιον καὶ πηὸς, συγγενὴς ὁ ἐξ ἀγχιστείας ἐπίκτητος, καὶ πολυπάμμων ὁ πολυθρέμμων ἢ πολύκτητος.

Ὅρος ἐστὶ λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος.

Ἡ τοῦ πέμβουλον[b] λέξις ἐστὶν Αἰολικὴ, καθάπερ καὶ ἡ χρῆσις πέμπε· οἱ γὰρ Αἰολεῖς τὰ ε̄ φασὶν, ὅθεν καὶ πεμ (lac.) κατὰ πεντεμετρεῖν, ἐξ οὗ ἀναπεμπάζειν μεταφορικῶς τὸ ἀναμετρεῖν· ἔοικε δὲ τὸ παρὰ τοῦ κυ (lac.) πώβολον δακτύλοις πτυου (lac.) ἐπετύκοντο· τεύχω τὸ κατασκευάζω, ὁ δεύτερος ἀόριστος ἔτυχον, Ἰωνικῶς ἔτυκον, ἐκ τούτου μέσος ἀόριστος Ἰωνικῶς τετυκόμην.

474. Μέλποντες] Ἀπὸ τοῦ εἰπεῖν τὸν ποιητὴν, ὅτι "ὁ δὲ

[b] Leg. πεμπωβόλου.

"φρένα τέρπετ' ἀκούων," διδάσκει ἡμᾶς ὅτι πλέον τῶν θυσιῶν κ. τ. λ. ut Did.

482. στείρῃ] Τῇ τρόπιδι τῆς νηὸς κ. τ. λ. in fine Schol. desunt ξύλα τῆς νεώς.

486. ὑπὸ δ' ἕρματα] Ἕρματα, στηρίγματα· διὰ τί; τὰ γὰρ βραχέα πρὸ τοῦ ρ̄ ἐπαγομένου τοῦ μ̄ δασύνεται, πλὴν τοῦ ἄρμενον καὶ Ἀρμένιος.

492. πτόλεμόν τε] Πόλεμος ὁ πολλοὺς ἀμῶν ἤτοι θερίζων· αὕτη δὲ ἀπὸ τοῦ αὔω τὸ βοῶ, εἰς ἣν ἐγείρονται πολλαὶ βοαὶ καὶ θόρυβοι.

Ἱστορία· Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς τοῦ Νηρέως, ἐδίωκεν αὐτὴν, βουλόμενος βιάσασθαι· γενόμενος δὲ ἐπὶ τὸ Καυκάσιον ὄρος ἐκωλύθη ὑπὸ Προμηθέως, φήσαντα τὸν ἐκ Θέτιδος γενόμενον ἀμείνονα ἔσεσθαι τοῦ ἰδίου πατρός. Δείσας οὖν ὁ Ζεὺς περὶ τῆς ἐν οὐρανῷ βασιλείας, καὶ κρατήσας αὐτὸς μὲν τῆς προειρημένης, ἀπέρχεται· εἰς τιμὴν δὲ τῆς παιδὸς Αἰακοῦ, κ. τ. λ. In fine Schol. non legitur πάντας.

Τοῖς παλαιοῖς ἔθος ἦν, ὁπηνίκα ἱκέτευον κεφαλῆς λαμβάνεσθαι καὶ χειρὸς δεξιᾶς, ἢ γονάτων· κεφαλῆς μὲν μέσου γενιάδος κατὰ Εὐριπίδην, ἢ ἀνθερεῶνος καθ' Ὅμηρον·—ἐν αὐτῷ γὰρ τὸ λογιστικόν· δεξιᾶς δὲ διὰ τὸ πρακτικὸν, γονάτων δὲ διὰ τὸ βαδιστικὸν καὶ κινητικὸν, καὶ ἤθελον συμβολικῶς τοὺς ἱκετευομένους παρακαλεῖν, διὰ μὲν τῆς κεφαλῆς εἰς τὸ κατανεῦσαι, διὰ δὲ τῆς δεξιᾶς, εἰς τὸ πρᾶξαι, διὰ δὲ γονάτων εἰς τὸ κινηθῆναι πρὸς ἃ ζητοῦνται, ἢ καὶ ἐπικλασθῆναι τὴν ψυχὴν καὶ καμφθῆναι οἷς ἱκετεύονται.

Ἀλλ' ὅτε δὴ] Ἐκ τοῦ χρόνου δηλαδὴ τῆς ἀπελεύσεως τῶν θεῶν δωδεκάτη ἡμέρα ἐγένετο, καὶ τότε δὴ οἱ θεοὶ, οἱ ἀεὶ ὄντες, ἐπὶ τὸν οὐρανὸν ὑπέστρεφον ὁμοῦ πάντες, ὁ δὲ Ζεὺς αὐτῶν προηγεῖτο· ἡ δὲ Θέτις τῶν ἐντολῶν οὐκ ἐπελάθετο, πρωϊνὴ δὲ ἀνέβη ἐπὶ τὸν μέγαν οὐρανὸν καὶ τὸν Ὄλυμπον· εὗρε δὲ τὸν μεγαλόφθαλμον υἱὸν τοῦ Κρόνου χωρὶς τῶν ἄλλων θεῶν καθεζόμενον ἐν τῇ ἀκροτάτῃ κορυφῇ τοῦ πολλὰς ἐξοχὰς ἔχοντος Ὀλύμπου· καὶ δὴ ἔμπροσθεν αὐτοῦ ἐκαθέσθη, καὶ τῶν γονάτων αὐτοῦ ἐπελάβετο τῇ ἀριστερᾷ· τῇ δὲ δεξιᾷ ἐκ τοῦ γενείου κρατήσασα, παρακαλοῦσα εἶπε πρὸς τὸν υἱὸν τοῦ Κρόνου, τὸν Δία, τὸν βασιλέα· ὦ Ζεῦ πάτερ, ἐάν

ποτε δή σε ἐν τοῖς ἀθανάτοις θεοῖς ὠφέλησα ἢ ἐν λόγῳ ἢ ἐν ἔργῳ, τοῦτό μου τὸ ἐπιθύμημα τελείωσον· τίμησόν μου τὸν υἱὸν, ὅστις ταχυθάνατος τῶν ἄλλων Ἑλλήνων ὑπάρχει· τοῦτον γὰρ νῦν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων ἄτιμον ἐποίησεν· ἀφελόμενος γὰρ τὴν τιμὴν αὐτὸν κατέχει· ἀλλὰ σὺ αὐτὸν τίμησον, ὦ οὐράνιε μητιέτα καὶ βουλευτικώτατε Ζεῦ· ἐπὶ τοσοῦτον δὲ τοῖς Τρωσὶν ἐπίθες κράτος ἕως ἂν οἱ Ἕλληνες τὸν ἐμὸν υἱὸν τιμήσωσιν, αὐξήσωσι δὲ αὐτὸν τῇ τιμῇ. οὕτως εἶπε· ταύτῃ δὲ οὐδαμῶς προσεῖπεν ὁ τὰς νεφέλας συναθροίζων Ζεὺς, ἀλλ' ἥσυχος ἐπὶ πολὺν χρόνον ἐκάθητο. ἡ δὲ Θέτις, ὡς ἐπελάβετο τῶν αὐτοῦ γονάτων, οὕτως εἶχεν ἐπικρατοῦσα, καὶ ἐκ δευτέρου αὐτὸν ἀνηρώτησεν, ἀληθὲς δέ μοι ὑπόσχου καὶ κατάνευσον καὶ συγκατάθου, ἢ ἀπάρνησαι, ἐπειδὴ φόβος ἔπεστί σοι, ἵνα γνωρίσωμεν καλῶς, ὁπόσον ἐγὼ ἐν πᾶσι τοῖς τε θεοῖς ἀτιμοτάτη θεός εἰμι καὶ ἄδοξος· πρὸς ταῦτα δὲ μεγάλως στενάξας εἶπεν ὁ τὰς νεφέλας συναθροίζων Ζεύς· ὄντως δὴ χαλεπὰ ἔργα γενήσονται, ὅτε με κελεύεις ἐναντιωθῆναι τῇ Ἥρᾳ, ὅτε με παροξύνει τοῖς ὀνειδιστικοῖς λόγοις· αὐτὴ δὲ καὶ ματαίως ἐμὲ ἀεὶ ἐν τοῖς ἀθανάτοις θεοῖς κακολογεῖ, καὶ δή μοι λέγει ἐν τῇ μάχῃ τοῖς Τρωσὶ βοηθεῖν· ἀλλὰ σὺ μὲν ἀρτίως εἰς τοὐπίσω πορεύθητι, μή σε νοήσῃ ἡ Ἥρα· ἐμοὶ δὲ ταῦτα ἐν ἐπιμελείᾳ γενήσεται, ὅπως ἐκπληρώσω· ἀλλ' ἄγε δὴ σοὶ τῇ κεφαλῇ κατανεύσω, ὅπως θαρρήσῃς· τοῦ γὰρ τὸ κατανεύειν τῇ κεφαλῇ ἐξ ἐμοῦ τοῖς ἀθανάτοις θεοῖς μέγα σημεῖον· οὐ γὰρ τὸ ἐμὸν σύνταγμα παλλισύλλεκτον, οὐδὲ ἀπάτην ποιοῦν, οὐδὲ ἀτελείωτον ὑπάρχει, ὅπερ ἂν τῇ κεφαλῇ μου ἐγὼ κατανεύσω. ἔφη καὶ ταῖς μελαίναις αὐτοῦ ὀφρῦσιν ἐπένευσεν ὁ υἱὸς τοῦ Κρόνου· ἀθάνατοι δὲ τρίχες ἐπεσείσθησαν τοῦ θεοῦ τοῦ βασιλέως, ἀπὸ τῆς ἀφθάρτου μου κεφαλῆς· τὸν δὲ μέγαν οὐρανὸν διέσεισεν· οὗτοι δὲ ἤτοι ἡ Θέτις καὶ ὁ Ζεὺς, οὗτοι βουλευσάμενοι ἐχωρίσθησαν· καὶ ἡ μὲν Θέτις εἰς τὴν ἅλα ἀπὸ τοῦ λαμπροῦ οὐρανοῦ, ὁ δὲ Ζεὺς πρὸς τὸ ἴδιον οἴκημα.

528. ἐπ' ὀφρῦσι] Ὀφρὺς ἀπὸ τοῦ ὄπτω τὸ βλέπω καὶ τοῦ ῥύω τὸ φυλάσσω, τροπῇ τοῦ π̄ εἰς φ̄· φυλάττει γὰρ τὴν ὄψιν ἔκ τε ἄλλων καὶ τῶν ἱδρώτων.

529. χαῖται] Χαῖται ἀπὸ τοῦ χῶ καὶ τοῦ ἀΐττω· χεῖται γὰρ αἴσσουσα ὧδε καὶ ἐκεῖ, μάλιστα τοῖς δρομιχαίταις.

542. οὐδέ τι πώ μοι] Τὸ πώμοι ὀξυτόνως ἐγκλινόμενον καθὰ δηλοῖ καὶ τὸ οὔπω καὶ τὸ οὐ γάρ πω· τὰ γὰρ ἐγκλινόμενα, εἴποτε τόνον κληρονομήσουσι, ὀξὺν αὐτὸν ἔχουσιν, οἷον φημί σοι, σοί φημι· διὸ καὶ τὸ πώποτε καλῶς δι' ὀξείας ἐκφέρεται τάσεως, ὡς καὶ τὸ πώμαλα. οἱ γὰρ περισπῶντες αὐτὸ, δυσαπολογήτως ἔχουσιν εἰς ἀπόδοσιν αἰτίας· τὸ γὰρ ἐν ἁπλότητι μὴ περισπώμενον, πῶς ἂν καὶ ἐν συνθέσει περισπασθήσεται;

581. ἐξ ἑδέων] Ἐκ τοῦ ἕξω ἕδος· δηλοῖ δὲ οὐ μόνον τὸ ἔδαφος, ἀλλὰ καὶ τὴν καθέδραν· γίνεται δὲ τὸ στυφελίζειν ἀπὸ τοῦ στύφειν καὶ ἐλελίζειν καὶ ἑλίσσω. καὶ δηλοῖ τὸ στρυφνῶς καὶ ἐστυμμένως συστρέφειν.

584. κύπελλον] Κύπελλον, ποτηρίου εἶδος, ἐπὶ τὸ εἴσω κύπτον οὕτω λεγόμενον, ὡς ἀπὸ τοῦ ἔκυπτον δευτέρου ἀορίστου· τὸ δ' αὐτὸ καὶ ἀμφικύπελλον λέγεται, οἱονεὶ πανταχόθεν ἐπὶ τὰ ἶσα κεκυφός· πολλάκις γὰρ ἡ ἀμφι πρόθεσις τὸν κύκλω σημαίνει, ἄλλοι δὲ τὸ οἰνηρὸν φασὶ ποτήριον, εἰς ὃ χέεται πηλὸς ἢ οἶνος.

Ἱστορία· Ἡρακλῆς ἐξ Ἰλίου ἀνακομιζόμενος μετὰ τὴν γενομένην ὑπ' αὐτοῦ πόρθησιν τῆς Ἰλίου κ. τ. λ. V. Didym.

591. ἀπὸ βηλοῦ] Βηλοῦ, οὐρανοῦ, ἀπὸ γὰρ τοῦ βεβηκέναι τοὺς θεοὺς ἐπ' αὐτῷ, καὶ τοὺς ἀστέρας ἐκβαίνειν κ. τ. λ. V. Didym.

Σίντιες οἱ Λήμνιοι ἀπὸ τοῦ σίνεσθαι καὶ βλάπτειν, ὄντες πειραταὶ, ἢ ὅτι δοκοῦσιν αὐτοὶ κ. τ. λ.

598. γλυκὺ νέκταρ] Νέκταρ ἀπὸ τοῦ κτῶ τὸ κτῶμαι καὶ τοῦ νε στερητικοῦ μορίου, οἱονεὶ τὸ ἄκτητον, ὃ οὐδενὸς θνητῶν γίνεται κτέαρ ἢ κτῆμα· ἡ δὲ ἀμβροσία ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ βροτὸς, ἣν οὐδεὶς βροτὸς ἔχει, πλεονάσαντος τοῦ μ πρὸ τοῦ ρ, δι' ὄγκον φωνῆς ὡς ἐν πολλοῖς γίνεται, ἢ μάλιστα ἐκ τοῦ ὑπερβαίνειν ῥοῆς ἢ ὑπεράνω εἶναι φθορᾶς.

604. μουσάων] Τέσσαρες γὰρ τέχναι ἀνατίθενται τῷ Ἀπόλλωνι· μουσικὴν, τοξικὴν, ἰατρικὴν καὶ μαντικήν· ὁ δὲ λόγος ὥσπερ τῆς εὐωχίας.

609. Ζεὺς δὲ] Κρόνου καὶ Ῥέας ἐγένοντο υἱοὶ ἄρσενες, Ζεὺς, Ποσειδ. κ. τ. λ.

611. χρυσίθρονος Ἥρη] Χρυσίθρονος, ἡ χρυσοῦν θρόνον ἔχουσα βασιλικὸν, μᾶλλον δὲ, ἐπειδὴ τὰ πρὸς τὸν αἰθέρα μέρη τοῦ ἀέρος γειτνιῶντα τῷ ἡλίῳ καὶ ἀκτινοβολούμενα ὑπ' αὐτοῦ φησὶν ὁ ποιητὴς ἀλληγορικῶς τὴν Ἥραν χρυσίθρονον.

B.

Argum. ...... γὰρ τῆς Θέτιδος ἱκεσίας τῶν ἄλλων θεῶν τε καὶ ἀνθρώπων ὕπνῳ σχολαζόντων πρὸ ὀφθαλμῶν ποιούμενος τιμῆσαι τὸν .... ὄνειρον Ἀγαμέμνονι πέμπει, κελεύων αὐτῷ ἐκβαλεῖν πάντας τοὺς Ἕλληνας εἰς τὴν μάχην, καὶ συμβουλεύων αὐτῷ δηλαδὴ καὶ τὸν Ἀχιλλέα παρακαλέσαι· ὁ δὲ οὐ συνιεὶς τὸν ὄνειρον, τοῖς ἄρχουσιν αὐτὸν διηγεῖται, καὶ μετὰ τοῦτο εἰς ἐκκλησίαν ἡγεῖσθαι τὸν Ἀχιλλέα ἐπιτιθέμενον, καὶ σὺν αὐτῷ πάντας συναθροίσας τοὺς Ἕλληνας, ὑπόπτως πρὸς αὐτοὺς διακείμενος, διὰ τὸ τὸν Ἀχιλλέα ἡγεῖσθαι αὐτοῦ τῇ ἀρχῇ προσωκειοῦσθαι τὸ πᾶν πλῆθος πειράζων, φεύγειν αὐτοὺς εἰς τὰς πατρίδας κελεύει· οἱ δὲ οὐ συνιέντες ἐπὶ καθέλκειν τὰς νῆας εἰς τὰς πατρίδας πλέειν χωροῦσιν εὐθὺς κ. τ. λ. usque ad ἐπικούρων. Inde pergit: Οὐκ ἄρα οὖν αἴτιος ἐγένετο Ζεὺς τῆς ἀπάτης, Ἀγαμέμνονος μὴ ποιήσαντος τὸ κελευσθὲν παρ' ἐκείνου. εἰ γὰρ αὐτῷ ὁ ὄνειρος πανσυχίῃ ὅ ἐστι σὺν πάσῃ τῇ στρατιᾷ εἶπε κατὰ Τρώων διεξελθεῖν, αὐτὸς δὲ χωρὶς Ἀχιλλέως τῶν Μυρμιδόνων διεξῆλθεν, οὗτοι δὲ ἦσαν ἡ μεγίστη βοήθεια καὶ δύναμις τῶν Ἑλλήνων;—

V. 6. οὖλον ὄνειρον] Οὖλον ὄνειρον νῦν τὸν ὀλέθριον· δηλοῖ δὲ καὶ τὸν προσηνῆ κ. τ. λ. usque ad χαῖρε.

34. μελίφρων] Μελίφρων ὕπνος ἀνήῃ, ἢ ἀπὸ τοῦ ἀνῶ, ἀνῆς, ἀνῆ, πλεονασμῷ τοῦ η, ἢ ἀπὸ τοῦ ἀνείη εὐκτικοῦ, τροπῇ τῆς διφθόγγου εἰς η· ἐκ τοῦ τοιούτου δὲ ῥήματος καὶ ἄνετοι βόες οἱ ἄφετοι.

43. νηγάτεον] Νηγάτεον, οἱονεὶ νεήγατον ἢ παρὰ τὸ νη στερητικὸν ἢ τοῦ γατὸν τὸ γεγενημένον, ἵνα δηλοῖ τὸ ἀγέννητον καὶ οἷον εἰπεῖν ἀχειρότευκτον· ὥσπερ γὰρ ἐκ τοῦ τείνω τατὸς, οὕτω καὶ ἐκ τοῦ γείνω γατὸς καὶ νηγάτεος.

44. λιπαροῖσιν] Λιπαροὺς πόδας λέγει οὐ τοὺς διὰ τρυφὴν, ἀλλὰ διὰ τὴν γυμνασίαν τοιούτους· ἀπὸ μέρους δὲ νοητέον καὶ τὸ πᾶν, ὡσ...... δι' ἀεξίας τῶν βασιλέων· εἰ δὲ λιπαρὸν κρήδεμνον λέγει δηλοῦται τροπικῶς λειότης τε καὶ στιλ......[c]

73. Σημαίνει ὅτι δὴ ἀντὶ τοῦ ὅπου σὺν τῷ ῑ γράφουσιν οἱ τεχνικοὶ, καθάπερ καὶ τὸ πῆ καὶ ὅπη, καὶ ἄλλη ἀντὶ τοῦ ἀλλαχοῦ· τὸ δὲ ᾗ θέμις ἐστὶ, δίχα προσγραφομένου τοῦ ῑ, καθάπερ καὶ τὸ "φηνέος οὐκ ἀπαλάμνος," ἀντὶ τοῦ ὡς νέος οὐκ ἀπάλαμνος, οὐκ ἄναλκις καὶ τὸ μὴ τύψῃς, καὶ τὸ ῆ, οἷον νὴ τὴν Ἀθηνᾶν, καὶ τὸ ῆ σχετλιαστικὸν καὶ θαυμαστικὸν, καὶ τὸ ἀνῆ ἀνακλητικὸν, ὡς τὸ "ὠὴ τίς ἐν πύλαισι τυγχάνων κυρεῖ·" ἠμαθόεις δὲ Πύλος ἢ ἡ γῆν ἀμαθώδη ἔχουσα, ἤτοι ὑπόξηρον· τοιοῦτον γὰρ ἡ Ἄμαθος, ἢ περὶ ἣν ποταμὸς ῥέει καλούμενος Ἄμαθος.

79. ἡγήτορες] Ἡγήτορες καὶ μέδοντες οἱ βασιλεῖς· ...... διὰ μὲν τοῦ ἡγήτορες τὸ ἡγεμονικὸν, διὰ δὲ τοῦ μέδοντες τὸ βουλευτικόν.

88. πέτρης ἐκ γλαφυρῆς] Ἰστέον ὅτι πέτρης γλαφυρῆς καὶ ὁ παρησιο[d] γλάφυ πετρῶεν ταὐτὸν δηλοῦσι, καὶ ὅτι ἐνταῦθα μὲν ἐπὶ αὐτοφυοῦς πράγματος ἥρμοσε τὸ γλάφειν, ἐξ οὗ τὸ γλαφυρὸν, κυρίως δὲ ἐπὶ χειρομήκτων[e] τὸ τοιοῦτον τίθεται ῥῆμα κατὰ ὀνοματοποιΐαν, ὡς καὶ τὸ γράφειν, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ "εὐνὰς "διαγλάψασα," ὅ ἐστι κοιλάνασα· οὕτω καὶ τὸ σκάπτειν ἀπροσφυὲς ἐποίησεν ὅμως σκάφος λέγεσθαι ὅπερ ...... μᾶλλον ἁρμόττει, ὡς τὸ "σκάφος οὐκέτι οἰνέον," οἰκειότερον δὲ μᾶλλον ἐπὶ νηὸς τὸ γλαφυρὸν, καὶ ἡ κοιλότης, δι' ἣν καὶ κοῖλαι νῆες λέγονται. ἀεὶ δὲ νέων ἔρχεσθαι τὰς μελίσσας λέγει, διὰ τὸ πολὺ πλῆθος, ἵνα λέγῃ, ὅτι οὕτω πολλαὶ ἦσαν, ὥστε συνεχῶς προϊοῦσαι νεωστὶ ἐδόκουν ἐξέρχεσθαι· οἱ δὲ νέων τὸ ἔαρ νοοῦσι, ὃ καὶ ἄλλως γηραιὸν διὰ τὸ τὰ ἄνθη δοκεῖ.

103. Ἑρμῇ διακτόρῳ] Ἑρμῇ διακτόρῳ, διάγοντι τὰς ἀγγελίας τὰς τῶν θεῶν, ἢ διακτόρῳ καὶ σαφεῖ κατὰ τὸ λέγειν, ἢ τῷ διαγγέλλοντι τὰς ἐργασίας. Ἀργειφόντῃ ἀργῷ καὶ καθαρῷ φόνου κ. τ. λ.

c Leg. στιλπνότης. d Leg. παρ' Ἡσιόδῳ (Opp. II. 151.)
e Leg. χειροκμήτων.

104. Ἑρμείας κ. τ. λ.] Ἱπποδάμεια κ. τ. λ.

105. Πέλοψ] Πέλοψ ἐκ προτέρας γυναικὸς κ. τ. λ.

106. πολύαρνι] Ἀτρεὺς ὁ Πέλοπος κ. τ. λ.

107. αὐτὰρ] Ἀτρεὺς βασιλεύων τῆς Πελοποννήσου κ. τ. λ.

112. σχέτλιος] Σχέτλιον τὸν Δία καλεῖ ὡς σχετλιοποιὸν καὶ τοῦ σχετλιοποιεῖν πολλοῖς γενόμενον αἴτιον· τὸ δὲ καὶ ἄλλως οὐχ ὑβριστικὸν ἔστιν σχέτλιος πολλοῖς δῆλον· σχέτλιος γὰρ ἔοικε λέγεσθαι, ὁ πλέον τοῦ δέοντος καὶ ἐφ' οἷς οὐ καιρός ἐστι προθυμούμενος καὶ ὡς εἰπεῖν ὁρμητίας, ὥσπερ δὲ τὸ ...... παρὰ τῷ ποιητῇ ἐπιφωνηματικὸν ἐπὶ τοῖς μὴ κατὰ βαθείαν σύνεσιν γινομένοις, οὕτω καὶ τὸ σχέτλιος ἐπιφωνεῖται, ὡς ἐπὶ πολὺ τραχυτέροις καὶ αὐθεκάστοις προσώποις· ἔστι δὲ ὅτε σχέτλιος καὶ ὁ πολλὰ ἀνασχόμενος καὶ τλάς· σημείωται δὲ ὡς πρός τινα ὑποσχόμενον, εἶτα διαπατήσαντα λεχθείη ἂν τὸ

> σχέτλιος· ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσε,
> νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο καί με κελεύει·

ὅτι δέ ἐστιν οὐ μόνον κακὴ ἀπάτη, ἀλλὰ καὶ ἀγαθὴ, Αἰσχύλος δηλοῖ εἰπών·

> ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός·

εἴη δ' ἂν ἀπάτη ἀγαθὴ, ἡ ἐν καιρῷ, καὶ οὐδὲ ἐπὶ βλάβης. τῇ δὲ τοιαύτῃ γνώμῃ συγγενὲς καὶ τὸ Ἡροδότου τὸ "ἔνθα χρή τι ψεῦδος "λέγεσθαι, λεγέσθω·" οὕτω καὶ δόλιος Ὀδυσσεὺς κατὰ ἔπαινον, καὶ πᾶς δὲ ὁστισοῦν στρατηγός.

142. ὣς φάτο] Ἰστέον ὅτι προσπαθῶς ἔχει ὁ ποιητὴς τῷ ἐννέα ἀριθμῷ, διά τε ἄλλας αἰτίας, καὶ ὅτι τετράγωνός ἐστι καὶ τέλειος. ἐκ τελείου τριὰς γινόμενος, πολυπλασιασθεὶς εἰς ἑαυτόν.

157. Ὢ πόποι, αἰγιόχοιο] Αἰγιόχοιο—τοῦ τὴν αἰγίδα ἔχοντος· αἰγὶς δέ ἐστιν ὅπλον Διὸς Ἡφαιστότευκτον· Ζεὺς Κρόνου καὶ Ῥέας γενόμενος ἐν Κρήτῃ ἐπεκλήθη αἰγίοχος, διὰ τὸ αὐτόθι τραφῆναι, ἢ ὥς τινές φασι, διὰ τὸ αἶγα ἀνελόντα, τὴν μὲν δορὰν ἀμφιάσασθαι, τὰ δὲ κέρατα εἰς τόξον προσπῆξαι· ὅθεν καὶ Αἰγιδόκον τόπον τινὰ ἐν Κρήτῃ καλεῖσθαι. Ἱστορεῖ Εὐφορίων[f].

169. μῆτιν ἀτάλαντον] Ἰστέον ὅτι τὸν Ὀδυσσέα ἀτάλαντον λέγει εἶναι, τῷ Διῒ κατὰ τὴν βουλὴν ὅμοιον, ὡς εἴ τις εἴποι, ὅτι

[f] ὁ φορέων Cod.

νοῦς ἦν αὐτόχρημα· Ζεὺς γὰρ ἐνταῦθα ὁ νοῦς, δι' οὗ τὸ ζῆν ἐν τοῖς ἀνθρώποις ἐστίν· ἀτάλαντος δὲ ὁ ἰσόσταθμος, ἀπὸ τοῦ α̅ τοῦ δηλοῦντος τὸ ἴσον, ὡς ἐν τῷ ἀδεής, καὶ τοῦ τάλαντον· τάλαντον ὅ φαμεν τὸν σταθμόν.

171. ἄχος] Ἄχος κατὰ παλαιοὺς ἡ ἄφωνος ἀνία, ἀπὸ τοῦ α̅ στερητικοῦ καὶ τοῦ χαίνειν.

180. ἀγανοῖς] Ἀγανοὶ λόγοι οἱ προσηνεῖς, παρὰ τὸ α̅ ἐπιτατικὸν καὶ τοῦ γάννυσθαι· οἷς τίς ἄγαν γάννυται, ἤγουν χαίρει, ὅθεν καὶ γάνος ἡ χαρά. ἔστι δὲ καὶ γανὸν τὸ καλὸν καὶ ἡδὺ καὶ προσηνές. ἔστι δὲ καὶ κατὰ ἀντίφρασιν τὸ χαλεπόν. καὶ ἄγανον προπαροξυτόνως τὸ κατεαγός.

200. δαιμόνιε] Αὕτη ἡ λέξις τῶν μέσων ἐστὶ, καὶ δηλοῖ ἀμφότερα, ὅτε μὲν ἐπὶ ἐπαίνου λεγομένη οἷον, θεῖε, μακάριε, μέγιστε, ἢ ἀγαθὲ καὶ ἄριστε. ὅτε δὲ ἐπὶ ψόγου, οἷον ἄφρον καὶ μάταιε, ἢ χείριστε, φαῦλε.

251. νόστον] Νόστος ἀπὸ τοῦ νέω ῥήματος πλεονάσαντος τοῦ σ̅, πρὸς ἀντιδιαστολὴν τοῦ νότος ὁ ἄνεμος.

265. ἰδνώθη] Ἰδνωθῆναι τὸ συγκαμφθῆναι, καὶ γίνεται ἀπὸ τοῦ τὸ ἰνίον δονηθῆναι. μετατεθέντος τοῦ δ̅ ὀπίσω τοῦ ο̅. ἔστι δὲ ἰνίον τὸ ὀπίσω τῆς κεφαλῆς, οὗ συμπίπτοντος ἐπὶ τὰ κάτω, καὶ συσπωμένου πρὸς τοῖς ὤμοις, ἰδνοῦσθαι λέγεται ὁ τοῦτο πάσχων.

267. σμῶδιξ] Ὁ ὕφαιμος μώλωψ, ὑποτρέχοντος γάρ φησιν αἵματος κατ' ὀλίγον, ἐξώδηκεν. ἢ ἀπὸ τοῦ μῶλος ἡ κακοπάθεια, τροπῇ τοῦ λ εἰς δ̅. δύναται δὲ καὶ ἀπὸ τοῦ σιμοῦ γενέσθαι καὶ τοῦ οἴδημα, συγκοπῇ καὶ ἐκτάσει τοῦ ο̅ τῆς διφθόγγου, ἵν' ᾖ σιμώδιξ, ἤγουν σιμοῦ καὶ κοίλου μέρους σωματικοῦ οἴδησις καὶ ὄγκωσις.

309. σμερδαλέος] Σμερδαλέος νῦν ἐπὶ δράκοντος, καὶ δηλοῖ τὸν ἐκπληκτικὸν, ἀπὸ τοῦ σμέρδω τὸ βλέπω, καὶ ὁ δράκων δὲ ἀπὸ τοῦ δέρκω τὸ βλέπω. λέγεται δὲ καὶ ἐπὶ τοῦ ἁπλῶς καταπληκτικοῦ ἡ λέξις, οἷον ὅτε εἴπῃ σμερδαλέον κονάβισσαν. τὸ δὲ σμερδαλέον καὶ σμερδνὸν λέγεται. καθίσταται δὲ ἡ λέξις οὕτως. μερίζω καὶ ἐν συγκοπῇ μέρζω, καὶ Δωρικῶς μέρδω, τὸ πανταχοῦ μερίζω καὶ διαπετεννύω τὴν ὄψιν, καὶ μετὰ τοῦ ζα̅ ἐπιτατικοῦ, καὶ κατὰ συγκοπὴν τοῦ ζ̅, μέρδω, κατὰ τοὺς παλαιοὺς γραμμα-

τικοὺς, ἐφ' ὧν καὶ τὸ $\overset{\zeta}{\sigma}$μύρνα καὶ τὸ σ̄ μικρὸν διὰ τοῦ ζ̄ κατήρχετο, καταργηθέντος παρὰ τῶν ὕστερον τῇ τοῦ σ̄ ἀντιθέσει.

334. κονάβησαν] Κόναβος ὁ ἦχος. ἰστέον δὲ ὅτι ὁ κόναβος καὶ τὸ κοναβεῖν καὶ τὸ κοναβίζειν διφορεῖται, ἢ γὰρ ἦχος ἐστὶ ξύλων ξηρῶν πεπληγότων, ἢ σωμάτων ξηρῶν, ὡς τὸ χθὼν κονάβιζε.

336. Γερήνιος] Γέρηνα πόλις παρὰ τὴν Πελοπόννησον, ἤτοι πόλις Μεσσηνιακὴ, ἡ λεγομένη καὶ Γερηνία. λέγεται δὲ ἡ πόλις αὕτη καὶ ἑνικῶς Γέρηνον, ὡς Ἡσίοδος,

Νέστωρ οἶος ἄλυξεν, ἐν ἀνθεμόεντι Γερήνῳ.

356. ὁρμήματα στοναχάς τε] Ὁρμήματα λέγει τὴν ἐξ ἀρχῆς τῆς Ἑλένης ἑκουσίαν ἐξ ἁρπαγῆς ἔλευσιν αὐτῆς εἰς Τροίαν. στοναχὰς δὲ τὸν ἐπὶ τούτοις μετάμελον.

362. κρίνας ἄνδρας] Ἐζήτηται διατί ταύτην τὴν τάξιν μὴ πρὸ πολλῶν ὑπετίθετο ὁ Νέστωρ, ἤτοι ὅτι πάλαι μὲν Ἀχιλλεὺς, φίλος ὢν τῶν Ἑλλήνων ἤρκει πρὸς τὸ συνέχειν τοὺς βαρβάρους, καὶ καλῶς ἐκείνῳ θαρρῶν οὐκ ἐποίει τοῦτο, νῦν δ' αὐτοῦ μηνίοντος, εἰκότως ἀσφαλεστέραν διάταξιν εἰσάγει.

374. ἀλοῦσα] Ἰστέον ὅτι Ὅμηρος ὑπερτίθησι τὴν φρόνησιν τῆς ἀνδρίας, ἐν τῷ εἰπεῖν

εἴθε μοι τοιοῦτοι δέκα συμφράδμονες εἶεν Ἀχαιῶν.

ὡς καὶ Εὐριπίδης,

σοφὸν ἓν βούλευμα τὰς πολλὰς χεῖρας νικᾷ.

οἶμαι δὲ ἐντεῦθεν εἶχε τὰς ἀφορμὰς καὶ ὁ βασιλεὺς ἐκεῖνος ὃς ῥοιὰν σχίσας, καὶ ἐρωτηθεὶς τί ἂν τῶν τιμίων ἔχειν βούλοιτο κατὰ ποσότητα τῶν τῆς ῥοιᾶς κόκκων, Μεγαβύζους εἶπεν αὐτῷ τοσούτους εἶναι. μέγας δὲ ἦν ἀνὴρ ὁ Μεγάβυζος καὶ λόγου πολλοῦ ἄξιος. ἰστέον ὅτι εὐεπίφοροι οἱ ἀτυχοῦντες κατὰ θεοῦ, ὡς τὸ

ἀλλά μοι Ζεὺς ἄλγε' ἔδωκε.

ἀνάβλησιν λέγει ὁ ποιητὴς τὴν ἀναβολήν. ἰστέον δὲ ὅτι οἴδασι μὲν ἀνάβλησιν οἱ βλῆσιν λέγοντες ἀφ' ἧς τὸ βλησείδιον, πλὴν κοινότερον ἡ ἀνάβλησις ἀναβολὴ λέγεται. ὅθεν καὶ ἀμβολιεργός.

408. αὐτόματος] Αὐτόματος ὁ αὐτόκλητος καὶ ἀφ' ἑαυτοῦ μεμαὼς, οἱ δὲ νεώτεροι φασὶν αὐτόματα τὰ κατὰ τύχην, ἀπὸ τοῦ μάτην, ὡς ὄντα[g] μάτην οὕτω γινόμενα κατὰ τύχην.

[g] ἑαυτὰ Cod.

418. πρηνέες] Πρηνὲς καὶ ὕπτιον διαφέρει· πρηνὲς γὰρ κυρίως τὸ ἐπὶ πρόσωπον, ὕπτιον δὲ τὸ ἀνάπαλιν. λέγεται δὲ καὶ διὰ τοῦ η̄ πρηνὲς, ἐξ οὗ καὶ πρηνίξαι τὸ ἐπὶ πρόσωπον ῥίψαι, εἴτε ἄνθρωπον εἴτε πόλιν. νικᾷ δὲ πρανὲς λέγεσθαι διὰ τοῦ ᾱ, ὡς ἀπὸ τοῦ παρανεύειν ἢ μᾶλλον παραναίειν, ὅ ἐστι κολυμβᾶν, παραναίουσι γὰρ ἐοίκασιν οἱ πρηνεῖς κείμενοι.

436. ἐγγυαλίξει] Τὸ εἰς χεῖρας δώσει, γυῖα γὰρ πολλαχοῦ αἱ χεῖρες λέγονται, ὅθεν γυνίζω τὸ χειρίζω, καὶ πλεονασμῷ τῆς ᾱλ̄ συλλαβῆς γυαλίζω καὶ ἐγγυαλίζω τὸ ἐγχειρίζω, ἤγουν εἰς κοίλην χεῖρα θήσεις, κατὰ τὸ "ἔμβαλε κοίλαις," καὶ "γύαλα "θώρηκος" καὶ "κοίλης δὲ πέτρας" κατὰ τοὺς ποιητὰς τὰ κοιλώματα.

438. ἀγειρόντων] Συναθροιζόντων διὰ ἐλλείψεως τοῦ ὑπαρκτικοῦ ῥήματος, τοῦ ἔστωσαν, ἵνα λέγῃ, ἔστωσαν τῶν ἀγειρόντων, ἔστωσαν τῶν τυπτόντων, ἅπερ συναλειφέντα καὶ στενωθέντα ἐλλειπτικῶς, ἐγενόντων, ἀγειρόντων, ἀντὶ σοῦ ἀγειρέσθωσαν.

448. ἑκατὸν θύσανοι] Τὸ ρ̄ θύσανοι δύνανται νοεῖσθαι ἀντὶ τοῦ πολλοί. πλεκτοὶ δὲ οἱ θύσανοι ὡς εἰκὸς καὶ διὰ τὸ ἠερέθεσθαι θύοντες, ὅ ἐστι σειόμενοι. "ἑκατόμβοιος" δὲ ὁ ρ̄, ἤτοι πολλῶν βοῶν ἄξιος.

450. παιφάσσουσα] Παιφάσσειν τὸ ἐνθουσιωδῶς καὶ ἐπιφανῶς ὁρμᾶν. γίνεται δὲ ἐκ τοῦ φῶ τὸ φαίνω φάσσω, καὶ κατὰ ἀναδιπλασιασμὸν φαφάσσω, καὶ διὰ τὴν ἐπαλληλίαν παφάσσω, καὶ παιφάσσω ἐπενθέσει τοῦ ῑ.

455. ἀΐδηλον] Ἀΐδηλον πῦρ, ἢ πολυφανὲς παρὰ τὸ ἰδεῖν, ὥσπερ καὶ τὸ ἀείδελον, ἢ ὡς ἀφανιστικὸν καθ' ὁμοιότητα τοῦ ᾄδου, ἢ ὡς εἰς πολὺ διαθέον, παρὰ τὸ μὴ ἵζειν, τραπέντος τοῦ ζ εἰς δ̄ κατὰ συνήθειαν.

460. δουλιχοδείρων] Δολιχὸν γίνεται ἀπὸ τοῦ διόλου ἵκεσθαι, τραπέντος τοῦ ψιλοῦ εἰς δασύ.

461. Ἀσίῳ ἐν λειμῶνι] Λειμών τις ἐν Ἀσίᾳ λεγόμενος δι' αὐτὸ τοῦτο Ἄσιος, περί που τὸν Καΰστρον ποταμὸν, περὶ ὃν χῆνες τε καὶ γέρανοι νέμονται. ἄλλοι δὲ νοοῦσιν Ἄσιον λειμῶνα τὸν ἰλυώδη, ἄσις γὰρ τὸ ἐξ ὕδατος ξηρὸν παρὰ τὸ ἄζω.

470. κατὰ σταθμὸν] Σταθμὸς νῦν ἡ ἀγροτικὴ κατοικία, ὅ ἐστιν

ἔπαυλις. λέγεται δέ ποτε καὶ ἐπὶ ζυγοῦ τοῦ τὰ βάρη ταλαντεύοντος, καὶ ἐπὶ παραστάτου οἰκίας, ὅτε μέντοι καὶ ἐκ τοῦδε τοῦ τόπου εἰς τόνδε σταθμοὶ τοσοίδε λέγονται, τοπικὸν ἐκεῖ διάστημα δηλοῖ ὁ σταθμός.

470. ποιμνήϊον] Τὸ ποιμνήϊον πλεονασμὸν ἔχει τοῦ ῆ, ὡς τὸ πολεμήϊον. τὸ "ἠλάσκουσι" δηλοῖ τὸ πλανᾶσθαι, ἐκ τοῦ ἀλῶ· καλῶς δὲ εἴρηται ἐπὶ μυιῶν, πλανῶνται γὰρ ἀεὶ πετόμεναι. "γλάγος" δὲ γάλα ἀγανὸν, ὅ ἐστιν ἡδὺ, γάλα δὲ παρὰ τὸ καλὸν, ἢ διὰ τὸ ἐγκύοις[h] ἄλεσθαι· ἀπ' αὐτοῦ δὲ καὶ γλὰξ βοτάνη γαλακτοποιὸς ταῖς θηλαζούσαις.

481. ταῦρος] Ταῦρος λέγεται ἢ γαῦρος τίς, ἢ ὡς τείνων τὴν οὐρὰν, λόγῳ ἰδιότητος, ἐξ οὗ τείνειν ταῦρος καὶ τὸ ὑπὸ τὸν ὄχεον[i], ὅθεν καὶ λάσταυρος ὁ λάσιος τὸν τοιοῦτον ταῦρος. ἔστι δὲ καὶ Ταῦροι ἔθνος, καὶ ὅτι ταυροπόλος ἡ Ἄρτεμις, οὐ μόνον ἀπὸ τοῦ ἔθνους τῶν Ταύρων, ἀλλὰ καὶ ἀπὸ τοῦ ζώου. ἐξ οὗ καὶ ταυρηδὸν ἐμβλέπειν τὸ θυμικῶς ἐντρανίζειν, καὶ ἀταυρώτη γυνὴ ἡ ἄζυξ.

507. πολυστάφυλον Ἄρνην] Φασὶ τινὲς πολυστάφυλον Ἄσκρην, οὐκ εἰδότες τὴν περὶ ταύτης τοῦ Ἡσιόδου μαρτυρίαν, ἢ καὶ πατρὶς αὐτῷ γέγονε, λέγει γὰρ,

Ἄσκρη, χεῖμα κακὴ, θέρει δ' ἀργαλέη, οὐδέποτ' ἐσθλή.

Γ.

V. 17. παρδαλέην] Ἰστέον ὅτι διαφέρει πόρδαλις πάρδαλις καὶ παρδαλίς. καὶ πόρδαλις μέν ἐστὶν ὁ ἄρρην, πάρδαλις ἡ θήλεια, παρδαλὶς δὲ ὁ τούτων σκύμνος. καὶ παρδαλὴ τὸ δέρμα τῆς παρδάλεως.

Ib. καμπύλα] Καμπύλα κοινῶς πάντα τὰ τόξα, καὶ ἀγκύλα, καὶ ῥαιβὰ παρὰ Λυκόφρονι, καὶ σκολιὰ καὶ παλίντονα. τοῦτο δὲ δοκεῖ παρὰ Ἡροδότῳ σκέψιν ἔχειν, λέγων ὅτι τόξα παλίντονα Ἀράβιοι εἶχον, καὶ δίδωσιν ὑπονοεῖν ὡς οὐ πᾶν τόξον παλίντονον ἐστὶν, ἀλλὰ τὸ εἰς πλέον ὀπίσω τῇ ἀνέσει ῥαιβούμενον καὶ οἷον καμαρούμενον.

18. δοῦρε δύω] Δόρυ ἁπλῶς τὸ ξύλον, ὡς τὸ,

οὐ γάρ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης,

[h] ἐκ γύων Eustath. [i] ὀσχεὸν Eustath.

ἤγουν φυτὸν δέρμα ἔχον καὶ πεφυκὸς ἀποδέρεσθαι. τὸ δὲ στρατιωτικὸν δόρυ λέγεται μὲν καὶ αὐτὸ οὕτω διὰ τὸ ἐκδαρῆναι τοῦ φλοιοῦ, ἀπὸ μέρους δὲ τοῦ ξύλου δηλαδὴ, πολεμικὸν ὅπλον δηλοῖ· ὅτε δὲ εἴπῃ δόρυ κεκορυθμένον χαλκῷ, τηνικαῦτα μάλιστα τὸ πολεμιστήριον τεῦχος δηλοῖ.

26. θαλεροί τ' αἰζηοί] Ἀντίκειται τὸ θαλεροὶ αἰζηοὶ τῷ τοῦ Ἡσιόδου, ἐκεῖνος γὰρ τεσσαρακονταετὴς αἰζηός τις εἴρηκεν, ἤτοι ἁπλῶς ἀνὴρ, ὥστ' οὐκ ἂν εἴη οὕτω θαλερός. γίνεται δὲ αἰζηὸς κατὰ παλαιοὺς, παρὰ τὸ ἀεὶ ζέειν, ὁ θερμὸς, καὶ ὡς νεανίας ἀκμάζων τῇ ἡλικίᾳ. ἢ παρὰ τὸ α̅ στερητικὸν καὶ τοῦ ἵζειν, ἤγουν κάθησθαι, ὁ μὴ εἰδὼς ἵζεσθαι καὶ ἀργεῖν, ἀλλ' ἀεὶ σπουδαῖος καὶ ἐγρηγορώς.

31. κατεπλήγη] Τὸ πληγῆναι ἐπὶ σώματος, καταπλαγῆναι δὲ ἐπὶ ψυχῆς, ὅθεν καὶ ἔκπλαγος, καὶ κατὰ μετάθεσιν ἔκπαγλος.

35. ὦχρος] Ἔστι καὶ εἶδος ὀσπρίου ὦχρος. βαρύνεται δὲ ὁ ὦχρος ἢ εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. τὸ γὰρ ἐπίθετον ὠχρός ἐστιν ὀξυτόνως, ἢ παρὰ τὸ ἄχροος, ὑπερτεθὲν καὶ συναιρεθέν.

39. ἠπεροπευτὰ] Ἠπεροπευτὴς ὁ ἀπατεὼν, ὅπερ γίνεται κατὰ τοὺς παλαιοὺς ἐκ τοῦ ἥμερος καὶ τοῦ ὄψ ὀπὸς ἡ φωνὴ, ἵν' ᾖ ἠπεροπευτὴς οἱονεὶ ἡμεροπευτὴς, ὁ δι' ἡμέρου ὀπὸς ὑπαγόμενος τινά.

51. δυσμενέσιν μὲν χάρμα] Καὶ τοῖς μὲν ἐχθροῖς χαρὰν, σοὶ δὲ αὐτῷ ὄνειδος καὶ κατήφειαν.

54. κίθαρις] Κίθαρις λέγεται παρὰ τὸ κινεῖν ἔρωτα, ἢ κεύθειν ἔρωτας.

95. ἐγένοντο σιωπῇ] Τὸ σιωπᾶν καὶ τὸ ἀκὴν εἶναι ὅμοια. γίνεται δὲ ἀπὸ τοῦ α̅ στερητικοῦ μορίου καὶ τοῦ χαίνειν, ἀχὴν καὶ Ἰωνικῶς ἀκὴν, ἵν' ᾖ ἀκὴν ἔχειν, τὸ μὴ χαίνειν ὥστε λαλεῖν ἀλλὰ σιωπᾶν.

106. ὑπερφίαλοι] Φιάλη λέγεται τὸ ποτήριον ἐν ᾧ ἔπινον οἱ παλαιοὶ τὸν οἶνον, εἰς πίστωσιν καὶ βεβαίωσιν τοῦ ἐν αὐτοῖς συνισταμένου ὅρκου. ἐξ αὐτοῦ οὖν λέγεται ὑπερφίαλος ὁ ἐπίορκος, ὡς μὴ φυλάξας τὸν ὅρκον τὸν διὰ φιάλης βεβαιωθέντα καὶ συνιστάμενον.

126. δίπλακα] Τινὲς τὸ δίπλακα δίμιτον νοοῦσι, μᾶλλον δὲ ὁ μὲν ἱστὸς καὶ ἐργαλεῖον δηλοῖ, δίπλαξ δὲ ἡ ἱστουργουμένη ὑφή.

ἵνα λέγῃ ὅτι περὶ μέγαν ἱστὸν, μεγάλην δίπλακα ὕφαινεν. "μαρμαρέη" δὲ ἡ λάμπουσα ἐκ τοῦ μαρμαίρω, ἐξ οὗ καὶ ἡ μάρμαρος λίθος, οὗ κτητικὸν μαρμάρειος, τὸ θηλυκὸν ἡ μαρμάρεια, καὶ ἐκβολῇ τοῦ ῑ καὶ τροπῇ τοῦ ᾱ εἰς η μαρμαρέη.

149. Σκαιῇσι πύλῃσι] Σκαιαὶ πύλαι. αὗται δὲ προσαγορεύονται καὶ Δαρδάνειοι. ἐκλήθησαν δὲ Σκαιαὶ ὅτι ἐν τοῖς ἀριστεροῖς μέρεσι τῆς πόλεως κεῖνται. οἱ δὲ φασὶν ὅτι ἀπὸ τοῦ σκαιῶς βουλεύεσθαι τοὺς Τρῶας· τὸν γὰρ δούρειον ἵππον κατ' αὐτὰς ἐδέξαντο τὰς πύλας.

151. τεττίγεσιν ἐοικότες] Ἰστέον ὅτι διὰ τὸ ἀεὶ τοὺς τέττιγας ἐκ δένδρεσι καθημένους ᾄδειν, καὶ οὐκ ἀπὸ γῆς, ἀπειλήσας τίς δενδροτομήσειν ἄλλου γῆν, ἠπείλησε ποιήσειν τοῖς ἐχθροῖς τοὺς τέττιγας χαμόθεν ᾄδειν. ἴσθι δὲ καὶ ἡ θήλεια τέττιξ οὐκ ᾄδει, κατὰ τὸ

γύναι γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.

ὡσαύτως καὶ αἱ θήλειαι ἀηδόνες ᾄδουσιν.

158. αἰνῶς] Τὸ αἰνῶς ἀντὶ τοῦ λίαν μεταληπτικῶς ἐστὶ, τὸ αἰνῶς γὰρ ἀντὶ τοῦ δεινῶς. τὸ δεινῶς δὲ πολλάκις ἀντὶ τοῦ λίαν, ἄρα καὶ τὸ αἰνῶς ἀντὶ τοῦ λίαν.

172. αἰδοῖος] Ὅτι αἰδοῖος μὲν ὁ ἐφελκόμενος τὴν ἐξ ἑτέρων αἰδῶ καὶ ἄξιος αἰδοῦς. αἰδήμων δὲ ὁ ἄλλους αἰδούμενος. αἰδύλος μέντοι παρὰ τοῖς ὕστερον ἀντιφραστικῶς ὁ θρασύς.

174. γνωτοὺς] Γνωτὸς ὁ ἀδελφὸς δίχα τοῦ σ̄. οὕτω καὶ ἀλλόγνωτοι λέγονται τινὲς καὶ πολύγνωτοι. καθ' ὁμοιότητα δὲ τὸ

γνωτὰ καὶ οὐκ ἄγνωτά μοι.

τὸ γὰρ μετὰ τοῦ σ̄ λέγειν γνωστὰ, οὐκ ἀπὸ τοῦ γνῶ γνώσω γίνεται ἀπαθῶς, ἀλλ' ἐπενθέσει τοῦ σ̄.

182. ὀλβιόδαιμον] Ὄλβιος ὁ τὸν ὅλον βίον, ἤγουν τὴν ζωὴν, ἐν εὐδαιμονίᾳ διάγων. τινὲς δὲ ὄλβιον φασὶ κυρίως, τὸν ἀπὸ γεωργίας πλούσιον, οὗ ἐν ὀλαῖς ἤτοι κριθαῖς ὁ βίος, ἃς καὶ οὐλὰς ἡ ποίησις λέγει.

196. κτίλος] Κτίλος μὲν ὁ χειροήθης καὶ ἥμερος, ἀπὸ τοῦ κίω τὸ πορεύομαι, ὁ τῶν ἄλλων προπορευόμενος, ἐξ οὗ καὶ ὁ κτιλώμενος ὁ συνήθης τινὶ, καὶ κτιλῶ ῥῆμα παρὰ Ἡροδότῳ εἰπόντι

"ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων," ἤγουν εἰς γυναῖκας ἔσχον πραΰναντες. Πορφύριος δὲ καὶ κύριον ὄνομα οἶδε Κῖλον τινὰ, ὃν Διὸς ἀπόγονον λέγει.

212. ἀλλ' ὅτε δὴ μύθους] Τὸ παντοίους δόλους εἰδὼς καὶ μήδεα πυκνὰ οὐκ ἔστιν ἄκρατος ἔπαινος Ὀδυσσέως, εἴπερ οὐχ ἁπλῶς δόλους οἶδεν, ἀλλὰ παντοίως, ὧν εἷς καὶ ὁ κατὰ Παλαμήδους ψεκτέος πάντως. πρὸ γὰρ τοῦ στρατεῦσαι τοὺς Ἕλληνας εἰς τὴν Τροίαν ἦλθον πρέσβεις Ὀδυσσεὺς καὶ Μενέλαος ἀπαιτοῦντες τὴν Ἑλένην, ἐν οἷς τῶν ἄλλων αὐτοὺς μεθ' ὕβρεως διωξάντων, μόνος Ἀντήνωρ ξενίζει φιλοφρόνως.

214. παῦρα] Βραχύλογοι γὰρ οἱ Λάκωνες ἀεὶ, δηλοῖ δὲ εὐφυέστερον ὡς ἀπὸ Μενελάου τὸν παρὰ τοῖς ῥήτορσι καλούμενον ἄνετον τόπον, ἐπὶ μὲν Μενελάου τὸ σύντομον, ἐπ' ἐκείνου γὰρ εἶπε παῦρα μὲν, ἐπὶ δὲ Ὀδυσσέως προσέθηκε τὸ

καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίησι,

τουτέστι πολλὰ καὶ πυκνά.

222. ἔπεα νιφάδεσσιν] Τοῦτο δὲ λέγει ἢ διὰ τὸ τάχος τῶν νοημάτων, ἢ διὰ τὸ καθαρὸν τοῦ λόγου· ναὶ μὴν καὶ διὰ τὸ φρίκης γέμον.

236. δοιὼ] Ὁ Ζεὺς ὁμοιωθεὶς κύκνῳ, τῇ Λήδᾳ συνεγένετο, μὴ βουλομένῃ πρότερον αὐτῷ συγγενέσθαι. ἔτεκεν οὖν ᾠὰ δύο, καὶ ἐκ μὲν τοῦ ἑνὸς ἐγένετο ἡ Ἑλένη, ἐκ δὲ τοῦ ἑτέρου ὁ Κάστωρ καὶ ὁ Πολυδεύκης. λέγεται γοῦν ὡς καὶ τὸν ἑαυτῶν πατέρα τὸν Δία ζητήσαντες ἀθανάτους αὐτοὺς ποιῆσαι, οὐκ ἔτυχον τοῦ αἰτήματος, ὅθεν καὶ μυθεύονται ἡμέραν ἐξ ἡμέρας ἑκάτερον αὐτῶν ζῆν, τοῦ Διὸς αὐτοῖς τοῦτο χαρισαμένου.

262. δίφρον] Δίφρος τόπος τοῦ ἅρματος, ὁ τοὺς ἀναβάτας φέρων, λέγεται δὲ παρὰ τὸ δύο φέρειν, οἱονεὶ δυόφορος, καὶ τροπῇ καὶ συγκοπῇ δίφρος. ἀπ' αὐτοῦ δὲ καὶ τὸ ὅλον ἅρμα δίφρος λέγεται. ὡς ἀπὸ τοῦ βωμὸς ὁ ναὸς, καὶ ἀπὸ τῆς ἑστίας πᾶς οἶκος, καὶ ἐκ τοῦ ὅρμος ὅλος ὁ λιμήν.

267. ἐς μέσσον Τρώων] Ἰστέον ὅτι τὸ ἐς μέσον τὸ στενὸν δηλοῖ, τὸ μεταξὺ τῶν δύο στρατευμάτων, καὶ ἐπιμένει τῇ τοιαύτῃ λέξει ὁ ποιητὴς, διὰ τὸ μὴ ἔχειν ὄνομα καιριώτερον. τοῦτο δὲ οἱ

μεθ' Ὅμηρον μεταίχμιον φασὶν, οἱονεὶ μεσαίχμιόν τι ὂν, Ἀττικῇ τροπῇ τοῦ σ̄ εἰς τ̄, ὡς καὶ μετόριον μεθόριον. ἀπ' αὐτοῦ δὲ καταχρηστικῶς μεταίχμιον τὸ μέσον δύο τινῶν.

273. τάμνε τρίχας] Ἰστέον ὅτι κατὰ τὴν Σοφόκλειον μοῦσαν εἰποῦσαν

κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς
γένους ἅπαντος ῥίζαν ἐξημημένος
αὔτως Aj. 1178.

ἤγουν οὕτως ὅπως περ τόνδε ἐγὼ τέμω πλόκαμον, ἐλέγετό τε καὶ ὁ Ὁμηρικὸς Ἀγαμέμνων, ὡς οὕτως ἐκθερισθεῖεν τοῦ βίου οἱ παρασπονδήσαντες, ὡς ἐγὼ τέμνω τὰς τοῦδε τοῦ ἱερείου τρίχας.

305. ἐγὼν εἶμι] Διατί χωρίζεται ὁ Πρίαμος; καὶ οἱ μέν φασιν ἵνα ἀφ' ὕψους κρεῖσσον θεωρήσῃ ἀπὸ τῆς πόλεως τὴν μονομαχίαν, οἱ δὲ ἵνα φυλάξῃ τὰ τείχη. ἄλλοι δὲ τὴν Ὁμηρικὴν λύσιν προΐσχοντο, ὅτι "οὔπω τλήσομαι ὀφθαλμοῖσιν ὁρᾶσθαι" ὅπερ ἄμεινον.

Ib. προτὶ Ἴλιον] Εἰς τὴν πόλιν ὁ Πρίαμος τοὺς ἄρνας ἔχων τεθυμένους ἄπεισιν, ἵνα αὐτοὺς περιστείλῃ· ἔθος γὰρ ἦν τὰ ἐπὶ τοῖς ὅρκοις γινόμενα ἱερεῖα, γῇ περιστέλλειν. τοὺς δὲ ἐπήλυδας τῇ θαλάσσῃ ῥίπτειν. διαχωρίζεται ὁ Πρίαμος, καὶ οἱ μὲν φασὶν, ὅτι ἀφ' ὕψους ἵνα θεωρήσῃ κρεῖσσον τὴν μονομαχίαν ἀπὸ τῆς πόλεως. οἱ δὲ ἵνα φυλάξῃ τὰ τείχη. ἄλλοι δὲ τὴν Ὁμηρικὴν λύσιν παρεδέξαντο τὸ "οὔπω τλήσομεν ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι."

317. ἀφείη χάλκεον ἔγχος] Λέγει δὲ τὸν Ἀλέξανδρον λαχεῖν ὥστε πρῶτον ἀφιέναι τὸ δόρυ κατὰ τοῦ Μενελάου, ὡς ἂν περιφανεστέρα ἡ αὐτοῦ νίκη γένοιτο.

359. λαπάρην] Λαπάρη δι' ἧς ὁ κενεὼν δηλοῦται, παρὰ τὸ λάπτω τὸ κενῶ, ὡς καὶ ὁ κενεὼν ἐκ τοῦ κενῶ, ὁ λαπαχθὴς τόπος καὶ κενὸς ὀστῶν. ὅτι δὲ ἐκ τοῦ λάπτω εἴρηται καὶ τὸ ἀλαπάζω, προείρηται. ἀπ' αὐτοῦ δὲ καὶ λάπαθος φυτὸν εὔθετον εἰς γαστρὸς ὑπαγωγήν.

362. ἀνασχόμενος] Τὸ ἀνασχόμενος οὐχ ὁ ὑπομείνας ἀλλ' ὁ ὑψοῦ τείνας τὴν χεῖρα. φησὶ γὰρ

ἐρυσάμενος ξίφος ἀργυρόηλον,
πλῆξεν ἀνασχόμενος κόρυθος φάλον.

Ib. κόρυθος φάλον] Φάλος δὲ κόρυθος, ἀσπιδίσκιον, ἢ ἀστερίσκος τίς προμετωπίδιος λευκὸς καὶ λαμπρός. ἐκ τοῦ φάλιον τὸ λευκὸν, αὐτὸ δὲ παρὰ τὸ φάειν λίαν, ὅθεν καὶ φαλακρὸς ὁ τὸ κάρα φάλις ἤτοι λαμπρὸς, καὶ πέτρα φαληριῶσα παρὰ τῷ Λυκόφρονι, ἡ Λευκὴ νῆσος, καὶ κύματα παρ' Ὁμήρῳ "φαληριόεντα" τὰ λευκά.

371. πολύκεστος ἱμὰς] Ἢ παρὰ τὸ κεντῶ βαρύτονον, ἢ παρὰ τὸ κεντῶ διὰ τὸ πολυρραφῆ εἶναι, ὥσπερ παρὰ τὸ ἔω τὸ πληρῶ ἐστὸς καὶ μεστὸς, ὁ πλήρης. "ὀχεὺς" δὲ οὐ μόνον ἐπὶ μοχλοῦ θύρας ὡς ἀλλαχοῦ, ἀλλὰ ἰδοὺ καὶ ἱμὰς ὁ συνεκτικὸς τῆς περικεφαλαίας, ἀπὸ τοῦ ἔχω.

385. ἑανοῦ] Ἑανὸς κυρίως πέπλου γυναικείου φορήματος ἐστὶν ἐπίθετον, ἀπὸ τοῦ ἕω τὸ ἐνδύω, ἐξ οὗ καὶ τὸ εἷμα, ἵνα δηλοῖ τὸ ἄξιον τοῦ ἐνδύσασθαι.

391. δινωτοῖσι] Ἤγουν περιεστραμμένοις, τετορνευμένοις καὶ στρογγύλοις. δῖνος γὰρ ὁ τόρνος.

411. πορσανέουσα λέχος] Πορσαίνειν λέχος τὸ συγκοιτάζεσθαι, πρός τινα ῥηθὲν, ὁμοιώτατον τῷ, "ἐμὸν λέχος ἀντιόωσαν." γίνεται δὲ τὸ προσανέουσα λέχος, ὡς ἀπὸ τοῦ προσαίνω ῥήματος, ποιητικὰ δὲ καὶ ἄμφω καὶ δηλοῦσι τὸ παρέχειν καὶ εὐτρεπίζειν, ἀπὸ τὸ πόρω πόρσω. οὕτω δὲ καὶ τὸ ὀϊζυε ἀπὸ τοῦ ὀϊζύω, ἐξ οὗ καὶ ὁ ὀϊζυρὸς, ὡς ὁ ἰσχυρὸς ἐκ τοῦ ἰσχύω.

419. ἑανῷ ἀργῆτι] Ἀργὴς ἑανὸς ὥσπερ καὶ κεραυνὸς ὁ λευκὸς, ἀργὸν γὰρ τὸ λευκὸν, ὅθεν καὶ ἐπάργενον πάθος ὀφθαλμῶν, τὸ . . κοινῶς λεγόμενον λεύκωμα. φαεινὸς δὲ ὁ λεπτὸς καὶ διαφανὴς, ὡς καὶ μάστιξ φαεινὴ, ἔστι δὲ ὁ ἑανὸς καὶ κασσιτέρου ἐπίθετον.

427. Τὸ "ὄσσε πάλιν κλίνασα," ἐστὶ τὸ ἀποστρέφειν, καὶ οἷον εἰπεῖν στραβίζειν, ἐπεὶ καὶ ἐκ τοῦ στρέφειν γίνεται καὶ ὁ στρεβλὸς καὶ ὁ στραβὸς, κατὰ τὴν καὶ ἀλλαχοῦ κειμένην συγγένειαν τοῦ β καὶ τοῦ φ.

Δ.

V. 2. χρυσέῳ ἐν δαπέδῳ] Πῶς τὸν οὐρανὸν πολύχαλκον λέγει καὶ πάλιν χρυσοῦν, ὡς τὸ, "χρυσέῳ ἐν δαπέδῳ;" ἰστέον δὲ ὅτε

οὗτος μὲν στερεὸν λέγειν βούλεται, τότε πολύχαλκον φησὶν, ὅτε δὲ καθολικὸν, χρυσοῦν.

Ib. Ἥβη] Ἡρακλέους γυνὴ, Ἥρας δὲ θυγάτηρ.

11. παρμέμβλωκε] Μελῶ μελήσω μεμέληκα, καὶ κατὰ τροπὴν τοῦ η̅ εἰς ω̅ μεμέλωκα, καὶ ἀποβολῇ τοῦ δευτέρου ε̅, καὶ πλεονασμῷ τοῦ β̅, μέμβλωκα.

64. ἐπιτεῖλαι] Ἀντὶ τοῦ ἐπίτειλον, ὅ ἐστι πρόσταξον, διὸ προπερισπώμενον δεῖ ἀναγινώσκειν. ἐπιτεῖλαι εὐκτικόν ἐστι προσώπου τρίτου.

101. Λυκηγενέϊ] Ἢ τῷ κατὰ καιρὸν γεννηθέντι, ὅτε λέγομεν λυκόφως εἶναι, ἢ τῷ τοῦ Λυκίων γένους ἐφόρῳ.

109. ἑκκαιδεκάδωρα] Δῶρα ποιητικῶς τὸ τῶν δ̅ δακτύλων μεστὸν ἐπιτιθεμένου ἄνωθεν τοῦ μεγάλου δακτύλου.

111. κορώνην] Κορώνη ἐστὶ τὸ ἄκρον εἰς ὃ δέδεται ἡ νευρά. κορώνην νῦν τὸ ἐπικαμπὲς ἄκρον τοῦ τόξου λέγει, ὅθεν ἀπήρτηται.

141. ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ] Αἱ ἐκ Καρίας καὶ αἱ Λυδαὶ γυναῖκες ἀγαθαὶ ἦσαν βάπτειν ἐλεφάντων ὀστᾶ φοινικῷ χρώματι. καὶ ὁ τοιοῦτος ἐλέφας ἐν θαλάμῳ τοῖς βασιλεῦσιν ἄγαλμα ἔκειτο. οὔπω γὰρ ὁ χρυσὸς ἐτυράννει τῶν ἄλλων ὑλῶν. ἰστέον δὲ ὅτι ἐλέφαντα μὲν ἔλεγον τὸ ἐλεφάντινον ὀστοῦν, τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος. φοίνικα δὲ τὸ φοινικὸν χρῶμα τὸ ἐκ καρποῦ φασὶ πρίνου, ὃ μάλιστα πολὺ ᾄδεται συνάγειν Τροιζηνία, καὶ γίνεται ἀπὸ τοῦ φόνος τὸ αἷμα.

149. ἐξ ὠτειλῆς] Διαφέρει δὲ ὠτειλὴ οὐλῆς, ὠτειλὴ μὲν λέγεται αὐτὸ τὸ τραῦμα, οὐλὴ δὲ ὁ τύλος τοῦ θεραπευθέντος τραύματος.

167. ἐρεμνὴν] Τὴν σκοτεινὴν ἀπὸ τοῦ ἔρεβος. οὕτω δὲ καὶ ἀπὸ τοῦ σέβω γίνεται τὸ σεμνὸν, τροπῇ τοῦ β̅ εἰς μ̅.

185. οὐκ ἐν καιρίῳ] Ἰστέον ὅτι καιρία μὲν πληγὴ, εἰς ἣν ὁ πλήξας οὐκ ἀπώλεσε τὸν καιρὸν ἐν κενοῖς, ἀκαιρία δὲ τὸ ἀνάπαλιν.

187. μίτρη] Μίτρη δὲ ἐλέγετο τὸ ἐσώτερον τῆς λαγόνος εἴλημα στερεοῦν, χαλκῷ ἔξωθεν περιειλημμένον.

190. ἐπιμάσσεται] Ἐπιμάσσεσθαι λέγεται τὸ ἀποσπογγίζειν, ἀπὸ τούτου δὲ καὶ τὸ ἐκμάσσεσθαι. καὶ ἄλλως ἐνταῦθα τὸ ἐπιμάσσεσθαι τὸ δι' ἐπαφῆς θεραπεῦσαι. μάσσεσθαι γὰρ καὶ τὸ

ἅπτεσθαι, δοκεῖ δὲ οὐ φαῦλον εἶναι εἰπεῖν τὸ ἐπιμάσσεσθαι, ἀντὶ τοῦ ἐκμυζήσειν, ὃ κεῖται μετ' ὀλίγον ἐν τῷ, "αἷμ' ἐκμυζήσας." ἰστέον δὲ ὅτι ἐκ τοῦ μάσσειν, καὶ τὸ ἐκμαγεῖον γίνεται, καὶ τὸ χειρόμακτρον, καὶ ἡ μαγδαλία, ἥτις ἦν ζύμωμα τί ἐν ᾧ ἀποματτόμενοι τὰ ἐκ τῶν βρωμάτων λιπαρὰ λίπη οἱ παλαιοὶ ἔρριπτον κυσὶν, ὅθεν καὶ παροιμία ἐπὶ τῶν λίχνων καὶ παρασίτων, τὸ, "κύων ζῶν ἀπὸ μαγδαλίας·" καὶ ὅτι τὸ μάττειν ἀντὶ τοῦ φυρᾶν ἄρτους τίθεται, ὅθεν καὶ ἡ μάζα καὶ ἡ μαγὶς, καὶ ὁ μάϊος δὲ ἀπὸ τοῦ τοιούτου τινὸς γίνεται ῥήματος, καὶ μάλιστα ἐκ τοῦ ἀνωτέρω ῥηθέντος.

191. φάρμαχ'] Ἰστέον ὅτι τρεῖς ἰδέαι φαρμάκων παρ' Ὁμήρῳ, ἐπίπαστον, ὡς νῦν ἐπὶ Μενελάῳ, "ἤπια φάρμακα εἰδὼς, πάσσεν" ὁ Μαχάων· χριστὰ, οἷον ἐπιτήδεια εἰς τὸ χρίεσθαι· καὶ πιστὰ κατὰ τὸν Αἰσχύλον, τουτέστι πότιμα, ὡς ἐπὶ Ἑλένης ἐν Ὀδυσσείᾳ τῷ κρατῆρι ἀναμιξάσης φάρμακα.

193. Μαχάονα] Δύο ὄντων ἐπιφανῶν Ἕλλησιν ἰατρῶν, Ποδαλείριος μὲν ἀνθηρόπους ἐτυμολογεῖται, ὃς περὶ δίαιταν ἐπονεῖτο. Μαχάων δὲ περὶ τὰ τραύματα, Τρίκης καὶ αὐτὸς ἄρχων πόλεως Θετταλικῆς, ἣν ὡς καὶ ἐν Βοιωτίᾳ ἐγράφη, ἄρτι Τρίκαλα φαμὲν καλουμένην, καὶ αὐτὴν ἱππόβοτον, ὡς ὁ ποιητὴς λέγει, ἐπεὶ καὶ Ἄργος ἱππόβοτον λέγομεν, οὐ μόνον τὴν Πελοπόννησον ἀλλὰ καὶ τὴν Θετταλίαν. ἦν δὲ στρατιωτικώτερος ὁ Μαχάων, ὡς καὶ ἡ κλῆσις καλεῖ αὐτόν. ἄμφω δ' Ἀσκληπιάδαι ἦσαν, ἤτοι παῖδες Ἀσκληπιοῦ. Ἀσκληπιὸς δὲ Χείρωνος μαθητὴς, Χείρων δὲ εὑρετὴς ἰατρικῆς καὶ λυρικῆς, υἱὸς Φιλύρας[k] καὶ Κρόνου, εἷς τῶν κενταύρων, ἐξ οὗ Χιρώνεια ἕλκη τὰ δυσαλθῆ.

194. Ἀσκληπιοῦ] Ἀσκληπιὸς γίνεται, ἢ διὰ τὸν Ἄσκλην τὸν Ἐπιδαύριον ὀφθαλμιῶντα ἰάσασθαι, ἤπιος ἐκείνῳ φανεὶς, ἢ πλεονασμῷ τοῦ λ̄, παρὰ τὸ ἀσκεῖν ἠπίους τοὺς νοσοῦντας, ὅ ἐστιν ἐπιμελείας ἀξιοῦν. ἢ παρὰ τὸ μὴ σκελετεύεσθαι αὐτοὺς ἐᾷν, ἠπίως προσφερόμενος.

216. ζῶμα τε] Χαλκῆ λεπὶς, ἣν ζώννυται περὶ τὸν κενεῶνα χάριν πλείονος ἀσφαλείας.

223. βρίζοντα] Ἰστέον ὅτι τὸ βρίζειν ἀπὸ τοῦ νυστάζειν,

[k] φιλήρας Cod.

κυρίως δὲ τὸ βαρέως ἢ μετὰ τὴν βορὰν ἵζειν. ἡ δὲ λέξις καὶ ἐν Ὀδυσσείᾳ.

242. σέβεσθε] Ἰστέον ὅτι τὸ σέβεσθε, ἀντὶ τοῦ αἰδεῖσθε ἢ ἐκπλήττεσθε, ἐφ' οἷς δηλαδὴ ποιεῖτε, οὔπω γὰρ ἐπὶ τιμῆς ἡ λέξις ἔκειτο. ὅθεν καὶ σέβας ἡ ἔκπληξις, ἔντε ἄλλοις καὶ ἐν τῷ "σέβας "μ' ἔχει εἰσορόωντα."

250. στίχας] Ἰστέον ὅτι τὸ στὶξ ἐξ ἀνδρῶν φ̅ κατὰ παλαιοὺς, οὐλαμὸς δὲ τάξις ἐκ μ̅ ἀνδρῶν, φάλαγξ δὲ ἀπὸ ρκ̅, πύργος δὲ ἐκ τξ̅. τάξις δὲ αὕτη τετραγωνοειδὴς πυκνουμένη· γίνεται δὲ ἡ μὲν στὶξ ἀπὸ τοῦ στείχω, διὰ τὸ τῆς πορείας εὔτακτον, οὐλαμὸς δὲ παρὰ τὸ οὖλον τὸ συνεστραμμένον, ἵν' ᾖ στρατοῦ συστροφὴ, φάλαγγες παρὰ τὸ φαλάγγια, ὥς φασὶν οἱ παλαιοὶ τὰ ξύλα· ἐπειδὴ ξύλοις οἱ παλαιοὶ καὶ κορύναις καὶ ῥοπάλοις ἐμάχοντο, διὰ τοῦτο οἶμαι καὶ οἱ ναῦται τὰ ὑποτιθέμενα ταῖς ναυσὶ ξύλα φαλάγγια λέγουσι.

277. μελάντερον] Στικτέον μετὰ τὸ μελάντερον, εἶτα ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον, ἠΰτε πίσσα, ἵν' ᾖ τῷ αἰπόλῳ πόρρω διατελοῦντι, μελάντερον αὐτῷ τὸ νέφος φαίνεται, καὶ ὅμοιον πίσσῃ. μελάντερον ἀντὶ τοῦ μέλαν, συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ.

279. σπέος] Ἀπὸ τοῦ σβέω ἐτυμολογεῖται παρὰ τοῖς παλαιοῖς, ἵν' ᾖ σβέος τί, διὰ τὸ τῶν σπηλαίων σκοτεινὸν καὶ ἀφώτιστον, ἐξ αὐτοῦ δὲ ἔοικε συγκεκόφθαι τὸ σπέος.

295. ἀλάστορά τε] Ἰστέον ὅτι Ἀλάστωρ ὑποστράτηγος Νέστορος, ὡς οἱονεὶ ἄλαστος ἤγουν μὴ πάσχων λήθην. παρὰ τοῖς ὕστερον καὶ Ζεὺς Ἀλάστωρ, ὃν ἐλάνθανεν οὐδέν. ἢ ὁ τοῖς ἄλαστα πάσχουσιν ἐπαμύνων κατὰ τοὺς παλαιούς. κοινῶς μέντοι ἀλάστωρ ὁ ἁμαρτωλὸς, ἢ ὁ φονεὺς, διὰ τὸ ἄξιον εἶναι ἀλᾶσθαι ἢ πλανᾶσθαι καὶ ἐξελαύνεσθαι. καὶ δαίμονες ἀλάστορες οἱ κακύνοντες.

300. ἀναγκαίῃ πολεμίζει] Ἐπὶ γὰρ τοῦ μετώπου τάσσει τὴν φάλαγγα οὐ κατὰ βάθους.

315. ὁμοίϊον] Τὸ ὁμοίϊον σημειοῦνται οἱ παλαιοὶ ἐπὶ φαύλου λαμβάνεσθαι. Ἀπίων δὲ καὶ Ἡρόδοτος φασὶν ὅτι οἱ γλωσσογράφοι ὁμοίϊον κατὰ διαίρεσιν φασὶ τὸ κακόν· οἷον "γῆρας "ὁμοίϊον τείρει," καὶ "νεῖκος ὁμοίϊον ἔμβαλε μέσον," καὶ "θανα-

"τον ὁμοίϊον." τὸ μέντοι εἰπεῖν "γῆρας ὁμοίϊον," τὸ ὁμοίως πᾶσιν ἐπικείμενον τοῖς ἐπιτεινομένοις εἰς τὸ ζῆν.

P. 139, v. 319. Πύλιοι καὶ Ἀρκάδες......οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο. Ἱστορεῖ Ἀρίηθος.

327. Πετεῶο] Ἡ εὐθεῖα ὁ Πετεὼς, ἡ γενικὴ τοῦ Πετεῶ ἰσοσυλλάβως Ἀττικῶς καὶ πλεονασμῷ τοῦ ο Πετεῶος, καὶ γίνεται παρὰ τὸ πέτεσθαι ὡς πτηνὸν διὰ τὸ ὠκύπουν.

342. ἀντιβολῆσαι] Τὸ ἀντιβολεῖν ἀεὶ παρ' Ὁμήρῳ τὸ συναντᾷν, καὶ ὡς εἰπεῖν ἀντιβάλλειν καὶ ἐπιτυγχάνειν, παρὰ δὲ τοῖς νεωτέροις καὶ τὸ παρακαλεῖν.

355. ἀνεμώλια] Ἰστέον ὅτι ὥσπερ σόος σῶς, καὶ πρόορα πρῶρα, καὶ ὁμοορόφιος ὁμωρόφιος, καὶ τὸ οἰκίδιον τῳκίδιον, οὕτω καὶ ἀνεμοόλια ἀνεμώλια, τὰ ἀνέμοις οἷον ὀλλύμενα καὶ ὡς εἰπεῖν ἀνεμόφθορα.

359. περιώσιον] Ὥσπερ ἐκ τοῦ θαυμάζω θαυμάσω θωϋμάσιον, οὕτω καὶ τοῦτο ἐκ τοῦ περιαύω περιαύσω τὸ φωνῶ, ἵν' ᾖ περιωΰσιον, τὸ ἐξάκουστον τῇ ἐκφωνήσει, καὶ ἐξελεύσει τοῦ υ περιώσιον. Τὸ ὦ οὗτος καὶ ὦ αὕτη, ἀντὶ τοῦ ὦ φίλε καὶ ὦ φίλη, ὡς τῶν οὕτω καλούντων δεικτικῶς τιθέντων τὸ οὗτος καὶ τὸ αὕτη ὡς ἑαυτοὺς ὑποδεικνύντων, καὶ μονονουχὶ λεγόντων ὦ ἐγὼ, ὡς ταυτὸν ὂν ἐπὶ φίλου εἰπεῖν, ὦ σὺ καὶ αὖ ἐγώ.

361. δήνεα] Τὰ βουλεύματα ἀπὸ τοῦ δὴν, ὃ δηλοῖ τὸ ἐπὶ πολὺ, ἀφ' οὗ καὶ δηναιὸς ὁ πολυχρόνιος. χρόνου γὰρ χρεία τοῖς ὀρθὰ βουλευομένοις, κατὰ γὰρ τὴν τραγῳδίαν,

φρονεῖν οἱ ταχεῖς οὐκ ἀσφαλεῖς.

363. μεταμώλια] Τὰ μάταια καὶ μὴ ὀνοῦντα, ὅ ἐστι μηδὲν ὠφελοῦντα, ἵν' ᾖ ἐκ τοῦ μη στερητικοῦ μορίου καὶ τοῦ ὀνῶ, ἔχει κρᾶσιν ἡ λέξις τοῦ ο καὶ η εἰς ω μέγα. εἰ δὲ καὶ μεταμώλια γράφεται, εἴη ἂν ὁ σχηματισμὸς Ἀττικὸς, Ἀθηναῖοι γὰρ ἔστιν ὅτε ἀντὶ τοῦ ν λ τιθέασιν, ὁποῖον καὶ τὸ νίτρον καὶ ὁ πνεύμων, ἃ ἐκεῖνοι λίτρα φασὶ καὶ πλεύμονα ὡς δηλοῖ καὶ τὸ ὑπὸ τοῦ κωμικοῦ ἐν τῷ "ψευδολίτρου κονίας" καὶ ἐν τῷ "πλεύμονος ἀνθάψεται." καὶ ἐν τῷ "νεόγιλον," καὶ ἐνταῦθα γὰρ τὸ λ ἐκ τοῦ νεογνὸν μετετράπη.

412. τέττα] Προσφώνησις τιμητικὴ νεωτέρου φίλου πρὸς παλαι-

ότερον. ἔστι δὲ καὶ φιλεταιρικὴ[1], ἀμετάφραστος καὶ ἀμετάβλητος. ὥσπερ ἐκ τοῦ βάπτω βαπτίζω βάπτης, οὕτω τεττίζω τέττης καὶ ἡ κλητικὴ τέττα. ἐὰν δὲ ἓν μέρος λόγου ᾖ, δηλοῖ τὴν ἐπικουρίαν χάριν.

426. ἄχνην] Ἄχνη παρ' Ὁμήρῳ τὸ λεπτότατον τοῦ κύματος ὅπερ ἐν ταῖς ἔξω προσρήξεσιν ἀπαφρίζεται. Σοφοκλῆς δὲ ἄχνην τὴν δρόσον ἔφη, ὡς τὸ

θάλλει δ' οὐρανίας ὑπ' ἄχνης ὁ καλλίβοτρυς νάρκισσος.

οὐδ' αὐτὸς προσφυῶς γράψας, διὰ τὸ μηδὲ τὰς τοῦ ὑετοῦ σταγόνας συνεχεῖς εἶναι ἀλλὰ διεχεῖς, ὅθεν καὶ ἡ ἄχνη ὠνόμασται ἀέχη τίς οὖσα, καὶ κατὰ κρᾶσιν καὶ πλεονασμῷ τοῦ ν̄ ἄχνη· Εὐριπίδης δὲ μιμησάμενος καὶ αὐτὸς τὸ ἁλὸς ἄχνη, "οἰνωπὸν "ἄχνην" λέγει τὴν ἐν λοιβαῖς καταχεομένην τῆς γῆς· τοῦ δὲ ἀέχνη ἄχνη, ταυτότης μὲν ἐν τῷ ἀεχὴν ἀχὴν ὁ πτωχὸς, ὁμοιότης δέ τις ὡς τὸ ἀέχω ἄχω παρὰ Σοφοκλεῖ.

434. γάλα λευκὸν] Λευκὸν δὲ διὰ τὸ μὴ ἀποτελεῖν σκιὰν αὐτὴν τὴν φύσιν εἶναι.

453. ἐς μισγάγκειαν] Ἄγκος διὰ τοῦ κ̄ ὁ βαθὺς καὶ φαραγγώδης τόπος, παρὰ τὸ ἀνακεῖσθαι, τὸ γὰρ ὑψηλὸν οὐκ ἀνάκειται ὑπτιάζον, ἀλλ' ὑπερανάκειται, ὅθεν ἑρμηνεύει "κοίλης ἔντοσθε χα"ράδρης." ἂν δὲ εἰς τοιοῦτον ἄγκος πολλὰ συμβάλλουσιν ὕδατα, μισγάγκεια τὸ τοιοῦτον λέγεται ἡ σύρροια.

472. ἐδνοπάλιζεν] Τὸ ἐδνοπάλιζε, τὸ ἐδόνει, ἔπαλλεν, ἢ ἐδόνει ταῖς παλάμαις.

482. ἐν κονίῃσι] Κονία καὶ κόνις παρὰ τῷ ποιητῇ τὰ αὐτὰ δύνανται, ὡς καὶ ὁ κονίσσαλος. παρὰ δὲ τοῖς ὕστερον ἡ μὲν κονία καὶ ἄλλο τί σημαίνει, ὡς ἡ ἀπ' αὐτοῦ σύνθετος ἐλαιοκονία δηλοῖ· ἡ δὲ κόνις καί τι ζωΰφιον ἐστὶ μικροφυὲς, κατὰ ἄτομον κόνιν, ἀφ' ἧς οἱ φθεῖρες γεννῶνται, ἧς ἡ κλῆσις διὰ τοῦ δ̄, κόνις κόνιδος, κοινότερον παρὰ τῷ Ἀριστοτέλει, πρὸς διαστολὴν τῆς ἑτέρας κόνιος τῆς δηλούσης τὸν κονιορτόν.

502. κόρσην] Ταυτὸν κόρση καὶ κρόταφος, ὃν ἐκ τοῦ κόρσης ἐτυμολογοῦσι τινὲς, οἱ μεταθέντες τὸ ρ̄ ποιοῦσι κόρσην, εἶτα ἐξ αὐτῆς παράγουσι διὰ τοῦ ᾱ καὶ φ̄ διεξοδικώτερον, τὸν κρόταφον, ἵν' ᾖ κρόσαφος καὶ Ἀττικῶς κρόταφος. ὅτι δὲ γίνονται τοιαῦται

[1] φιλαιτερικὴ Cod.

παραγωγαὶ διὰ τοῦ $\overline{\alpha}$ καὶ $\overline{\phi}$ δηλοῖ καὶ τὸ χρυσάφιον ἐκ τοῦ χρυσὸς παραχθὲν, καὶ ξυλάφιον ἀπὸ τοῦ ξύλον, καὶ ἐδάφιον ἀπὸ τοῦ ἕδος. ἀπὸ δέ γε τῆς κόρσης γίνεται καὶ ἡ κόρρη τροπῇ τοῦ $\overline{\sigma}$ εἰς $\overline{\rho}$, ὁμοίως καὶ τὸ πυρσὸς πυρρὸς, ταρσὸς ταρρὸς, καὶ κατὰ κόρρης δὲ τύψαι τινὰ, τὸ κατὰ κόρσης ἤτοι κατὰ κροτάφου. ἐστὶ παρὰ Ἀττικοῖς δὲ κόρρη ἡ γνάθος. Ἀριστοτέλης δὲ κρόταφόν φησι τὸ μεταξὺ ὀφθαλμῶν, ὤτων καὶ κορυφῆς. ὅτι δὲ ἀπὸ τοῦ κορύσσειν τάφον ἐτυμολογητέον, δηλοῦσιν οἱ παλαιοὶ, συντελεῖ δὲ εἰς τοῦτο καὶ Θεόκριτος εἰπὼν,

ἀπὸ κροτάφων πελόμεσθα
πάντες γηραλέοι, καὶ ἐπισχερῶ, Id. XIV. 68.

ἤτοι κατὰ τάξιν καὶ ἐφεξῆς ἐς γένυν ἕρπει λευκαίνων ὁ χρόνος.

539. ἀνὴρ ὀνόσαιτο μετελθὼν] Ὁ νοῦς ἐστὶν οὗτος, οὐκ ἂν ἀνὴρ ἐλθὼν εἰς τὴν μάχην καὶ ὁρῶν ἐμέμψατο τῇ μάχῃ, ὡς μὴ καρτερὰ καὶ μάλα γενναία, ἢ ὡς ὀλίγων ἐν αὐτῇ πεσόντων. εἰ δέ τις ἄτρωτος διὰ μέσου ἐδύνατο πορευθῆναι, ἧς αὐτὸν ἡ Ἀθηνᾶ λαβομένη τῆς χειρὸς, καὶ τὰ ἐπιφερόμενα ἀπέστρεφε βέλη.

E.

V. 6. Ὠκεανοῖο] Ὠκεανὸς κατὰ μὲν ἀλληγορίαν κύκλος ἐστὶ διχάζων ἐννοηματικῶς τὴν οὐράνιον σφαῖραν, κατὰ ἰσότητα τοῦ τῆς γῆς ἐπιπέδου καὶ τέμνων διχῇ κατ' ἐπίνοιαν αὐτὸν εἴς τε τὸ ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν ἡμισφαίριον, καὶ διὰ τοῦτο ὁρίζων λεγόμενος. ἐκ τοῦ τοιούτου Ὠκεανοῦ κύκλῳ περιειληφότος τὴν γῆν οἱ ἀστέρες ἀνέρχονται καὶ εἰς αὐτὸν αὖθις δύονται, διὸ καὶ οὕτω καλεῖται ὡς δι' αὐτῶν τῶν ἀστέρων, ὠκὺ ἄνω γινομένων. ἡ δὲ ποίησις Ὠκεανὸν λέγει ποταμὸν περιρρέοντα κύκλῳ τὴν γῆν, καὶ ἡ ἔξω θάλασσα Ὠκεανὸς λέγεται.

15. δολιχόσκιον ἔγχος] Τὸ μακρὰν σκιὰν ἀποτελοῦν ἤτοι τὸ μακρόν.

59. Φέρεκλον] Τὸ Φέρεκλον καὶ τὸ Ἁρμονίδεω ὀνόματα οἰκεῖα ναυπηγοῖς. ὁ γὰρ νῆα τεκταινόμενος κλᾶται φερόμενος τὰ ξύλα καὶ εὖ συναρμόττει αὐτά. οὕτω δὲ πρὸ ὀλίγου Δάρητα τινὰ ἔλεγεν ἱερέα, καὶ υἱὸν αὐτοῦ ἱστόρει Φηγέα, ἐκδαίρειν γὰρ ἀεὶ τὰ θυόμενα, καὶ φηγοῖς καίειν, ὅ ἐστι ξύλοις.

66. γλουτὸν] Γλουτὸς κατὰ τοὺς παλαιοὺς τὸ σφαίρωμα τῆς κοτύλης κατὰ τὸν μηρὸν, Ῥοῦφος δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, ἐφ᾿ ὧν καθίζομεν, πυγὰς εἰπὼν, ἐπάγει "ἄλλοι δὲ γλουτοὺς καλοῦσι, διὸ καὶ οἱ ἐτυμολόγοι παρὰ τὸν γλοιὸν ἐτυμολογοῦσιν αὐτοὺς, διὰ τὸ ἐν αὐτοῖς τρυφερὸν καὶ ἁπαλὸν καὶ γλοιῶδες. κατὰ δέ τινας λαγόνα φασὶν ὁ γλουτὸς σημαίνει." Ὅμηρος δὲ καθὰ πρὸ βραχέων διεσάφησε τὸ μετάφρενον ἐκ τοῦ ἀντικρὺ τόπου, ὅς ἐστι τὰ στήθη, οὕτω πως καὶ τὸν γλουτὸν εἰπὼν,

βεβλήκει γλουτὸν κατὰ δεξιὸν, ἡ δὲ διαπρὸ
ἀντικρὺ κατὰ κύστιν ὑπ᾿ ὀστέον ἤλυθ᾿ ἀκωκή.

δοκεῖ γὰρ λέγειν ἀντικρὺ, ἑτέρωθεν τοῦ ῥηθέντος γλουτοῦ κεῖσθαι τὴν κύστιν. ἢ ἀπὸ τοῦ κεύθω γενομένη ἔξωσε τὸ ε̄ ὁμοίως τῷ πεύθω πύστις ἡ μάθησις, καὶ ἑτέροις πολλοῖς. ἰνίον λέγεται τὸ μετὰ κορυφὴν ὄπισθεν τῆς κεφαλῆς. ἄλλοι δὲ ἰνίον φασὶ τὸ κοῖλον τοῦ τένοντος, ἢ τὸ πλατὺ καὶ παχὺ νεῦρον, τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα.

80. μεταδρομάδην] Ἰστέον ὅτι τὸ ἐπιτροχάδην ἐπὶ γλώσσης λέγεται, τὸ δὲ μεταδρομάδην ἐπὶ ποδῶν.

83. πορφύρεος] Πορφύρεον Ομηρος λέγει θάνατον, οὐ μόνον τὸν ἐξ αἵματος ἢ τὸν μέλανα, ὡς καὶ κῦμα πορφύρεον, ἀλλὰ καὶ τὸν ἐκ μιᾶς πληγῆς, ὡς καὶ Αἰλιανός φησι, ἱστορῶν τοὺς πορφύρεας μιᾷ καταφορᾷ χειρὸς τὴν ζῶσαν πορφύραν συντρίβειν, ἵνα καλὸν οὕτω τὸ βάμμα τῆς πορφύρας γένηται. ὅθεν καὶ θάνατος πορφύρεος, ὁποῖον ἂν πάθοι πορφύρα, μιᾷ καὶ αὐτὴ θανατουμένη πληγῇ. γνωστὸν δὲ ἐξ ἱστορίας ἐστιν ὅτι πορφυρεύς τίς δολιευσάμενος ἐν βαφῇ καὶ ἀπαγόμενος εἰς θάνατον κατ᾿ ἔθος, προὐκαλέσατο ποθὲν εἰς ἀστεῖον σκῶμμα ἐκ τῶν Ὁμήρου τὸ,

τὸν δ᾿ ἔλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

21. ἐπιβρίσῃ] Τὸ ἐπιβρίσῃ πάνυ ἀσφαλῶς εἴρηται, ὅταν γὰρ κοῦφοι ὦσιν ὑπὸ θερμότητος οἱ ἄνω ἀτμοὶ, οὐχ ὕει, ἐπιλειπούσης δὲ αὐτῆς πιλοῦνται, καὶ βρίθοντες καταφέρονται. τὸ δὲ πλήθειν ταυτόν ἐστι τῷ πλημμυρεῖν. ἐκ τοῦ πλήθω γὰρ ῥήματος ἤτε παρὰ τῷ γεωργῷ πλήμη γίνεται, καὶ ἡ ἐξ αὐτῆς πλημμύρα.

100. ἀντικρὺ] Τὸ ἀντικρὺ γίνεται παρὰ τὴν ἀντὶ πρόθεσιν καὶ

τὸ κάρα, ἵνα ᾖ κυρίως ἀντικαρὺ, καὶ ἐν συγκοπῇ ἀντικρὺ, τὸ κατέναντι, οὗ πρὸς ὁμοιότητα ἐρρέθη τὸ ἀντιπρόσωπον.

"Παλάσσεσθαι" δὲ λέγει τὸ μολύνεσθαι ἢ πλεονασμῷ τῆς λα συλλαβῆς τὸ ἐπιπάσσεσθαι, ἐξ οὗ καὶ ἡ παιπάλη, ὡς καὶ ὁ κωμικὸς,

καταπατώμενος γὰρ παιπάλη γενήσομαι.

102. κέντορες ἵππων] Τὸ κέντορας ἵππων ταυτόν ἐστι τῷ ἐλατῆρας ἢ τῷ ἱπποδάμους. ὥπερ ὁ   τι σύνθετον ὅθεν ἱπποκένταυρος, ὁ κεντῶν δηλονότι κυνηγετικῶς τοὺς ταύρους. ὅθεν καὶ ὁ κωμικὸς,

βλασφημίᾳ κενταύρους ἔπαιζε.

τοὺς αἰσχρῷ ἔρωτι κεντοῦντας ταῦρον. σημείωσαι δὲ ὅτι ὁ ἵππος πρὶν ἐψιλοῦτο τοῖς παλαιοῖς, καὶ διὰ τοῦτο ἐν ταῖς συνθέσεσιν οὐ λέγομεν λεύχιππος, ἀλλὰ λεύκιππος.

128. ὄφρ' εὖ γινώσκῃς] Καὶ πῶς εἶχεν ὁ Διομήδης διακρῖναι ὅτι αὕτη μέν ἐστιν ἡ Ἀφροδίτη, οὗτος δὲ Ἄρης; ἢ γὰρ ἀσώματοι, καὶ πῶς αὐτοὺς ἑώρα, ἢ ἐν σώματι; καὶ πῶς αὐτοὺς θεοὺς διέκρινεν εἶναι; λύει οὖν μυθικῶς τὸ μυθικὸν, ὅτι φωσφόρος οὖσα ἡ Ἀθηνᾶ ἀφεῖλε τῶν ὀφθαλμῶν αὐτοῦ τὴν ἀχλὺν καὶ δέδωκε διακρίνειν θεόν τε καὶ ἄνδρα. εἴη δὲ ἂν Ἀφροδίτη μὲν, ἡ τῶν Τρώων θηλύτης καὶ ὁ κατὰ πόλεμον γυναικισμὸς, καὶ ἡ βλακεία ἣν μέρη τινὰ Τρωϊκὰ εἶχον. ὁ δὲ Ἄρης νοηθείη ἂν θυμὸς ἀλόγιστος καὶ φρονήσει μὴ διοικούμενος· ὧν ὁ Διομήδης περιεγένετο, Ἀθηνᾷ, τῇ καὶ νίκῃ καὶ φρονήσει συγκροτούμενος. σαφὴς δὲ ἡ ἀλληγορία· ὁ γὰρ συνετὸς στρατηγὸς ῥᾶον διακρίνει, τοὺς κατὰ τὸν μανιώδη Ἄρην θρασέως μαχομένους καὶ ἀλογίστους, ἢ ἄλλως χαύνως καὶ μανικῶς, καὶ εἶπεν ἀνθρωπίνως, καὶ τοὺς ἄλλως δὲ μαχομένους, θειότερόν τε καὶ ὑπὲρ ἄνθρωπον. τάχα δὲ καὶ σπέρμα ὁρισμοῦ φιλοσοφίας ἐνταῦθα κεῖται. θεωρητικῶς μὲν γὰρ ὁ Διομήδης περιλαλεῖται, ὁ δὲ τοιοῦτος οἶδε θεὸν καὶ ἄνδρα. ὅτι ἡ φιλοσοφία γνῶσις θείων καὶ ἀνθρωπίνων.

138. χραύσῃ] Τὸ χραῦσαι λέγεται τὸ ἐπιπολῆς ξέσαι εἰς αὐτὸν τὸν χροῦν τοῦ σώματος, καὶ γίνεται ἐπενθέσει τοῦ υ ἀπὸ τοῦ χράω, ὡς τὸ "ἔχραε κήδειν" καὶ

μητέρι μοι μνηστῆρες ἐπέχραον.

οὕτω καὶ ἐκ τοῦ λάω οἷον "ἀσπαίροντα λαών," κατὰ μεταπλασμὸν λαύω, ἐξ οὗ καὶ τὸ ἀπολαύω καὶ λαυκανία ὁ λαιμὸς, καὶ ἄω αὔω τὸ πνέω καὶ φωνῶ, καὶ ψάω ψαύω, καὶ ἐλάω ἐλαύω, ἐξ οὗ τὸ ἐλαύνω.

158. χηρωσταὶ] Τάγμα ἦν ἐν ταῖς πόλεσιν οἱ χηρωσταὶ διοικοῦντες τοὺς ἀκληρονομήτους, ἤγουν τοὺς χηρεύοντας διαδόχων, ἢ καὶ ὧν αἱ γυναῖκες ἔμενον χῆραι, καὶ τῶν ἐπιτρόπων δεόμεναι, οἳ καὶ ὀρφανισταὶ ἐκαλοῦντο, ὡς ὀρφανῶν προϊστάμενοι.

203. ἀνδρῶν εἰλομένων] Πάνδαρος ἀναλωμάτων φειδοῖ τοῦ συμφέροντος ἀμελεῖ. τὸ δὲ "εἰλομένων" ταυτόν ἐστι τῷ εἰλουμένων. διαφορεῖ γὰρ, ὁποῖον καὶ τὸ στερόμενος καὶ στερούμενος καὶ ἐπιμελόμενος ἐπιμελούμενος. τὸ δὲ "ἄδδην" ἀντὶ τοῦ δαψιλῶς. Νικίας μὲν ψιλοῖ διπλασιάζων τὸ δ̄ διὰ τὸ μέτρον, ὁμοίως τῷ κύον ἀδδεὲς, Ἀρίσταρχος δὲ δι' ἑνὸς δ̄ καὶ βραχέος καὶ δασέος, δασύνει δὲ ὁ αὐτὸς καὶ τὸ,

ἇδε δ' Ἕκτορι μῦθος ἀπήμων,

καὶ τὸ

ἇδος τέ μιν ἵκετο θυμοῦ.

ἀντὶ τοῦ κόρος, καὶ τὸ Ἄδωνις, καὶ τοῦτο γάρ φησι παρὰ τὸ ἥδω. ὁ μέντοι ἀδολέσχης ψιλοῖ. φασὶ δὲ καὶ τὸ ἀδράφαξις δασύνεται, ἔστι δὲ εἶδος λαχάνου τὸ κοινῶς χρυσολάχανον, ὅπερ ἡ πλείων χρῆσις διὰ τοῦ τ̄ ἀτράφαξις λέγει, ὡς καὶ ὁ κωμικὸς δηλοῖ ἐν τῷ

ψευδατραφάξιος πλέων.

σκοπητέον δ' ἐν τοῖς εἰρημένοις εἰς τὸ ἀδεῖν, ἤγουν εἰς τὸ ἀρέσκειν δασύνεται ἀπὸ τοῦ ἥδειν, δοκεῖ γὰρ καὶ αὐτὸ δασεῖαν ἔχειν, ὡς δηλοῖ ἡ αὐθάδεια, νοουμένη ὡς ἡ αὐτοαρέσκεια. σημείωσαι δὲ ὅτι ἐκ τοῦ "ἔδμεναι ἄδην" τὸ ἀδηφαγεῖν ἐπενοήθη παρὰ τοῖς ὕστερον.

208. ἀτρεκὲς] Ἀτρεκὲς αἷμα τὸ ἀληθὲς καὶ μὴ ψευδόμενον τὴν ὄψιν κατὰ τὰ ἐρυθροβαφῆ, ἃ φορήματα ἦσαν Λακώνων ἐπικρύπτοντα τὴν ἐν πολέμῳ ῥῦσιν τοῦ αἵματος. χρῆσις δὲ αὐτοῦ τὸ "ἀτρεκὲς αἷμα ἔσσευα," ὅ ἐστιν ἐκίνησα, "βαλὼν, ἤγειρα δὲ "μᾶλλον" ἤτοι ἐρέθισα.

216. ἀνεμώλια] Ἀπὸ τοῦ ἐν τῷ πολέμῳ ὄλλυσθαι, ἀνεμοόλια, καὶ κατὰ κρᾶσιν ἀνεμώλια.

223. κραιπνὰ] Κραιπνὸς ὁ ταχὺς, καὶ οἷον ποδώκυς καὶ ἠνε-

μόεις. ἔστι γὰρ κάπω τὸ πνέω, ἐξ οὗ κάπος τὸ πνεῦμα, ὅθεν καὶ καπνὸς, ὡς εἰπεῖν φασὶν ἠνεμόεις, καὶ πλεονασμῷ τοῦ ρ̄ καὶ ῑ κραιπνός. δύναται δὲ εἶναι καὶ παρὰ τὸ κάρα καὶ τὸ πνέειν ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ ῑ καραπνὸς, εἶτα κραπνὸς καὶ κραιπνός. καθ' ὁμοιότητα τοῦ καραπάλη κραιπάλη, ἵν' ᾖ κραιπνὸς ἄνθρωπος ἢ ἵππος, ὁ ἐν τῷ σπουδῇ τρέχειν πνευστιῶν καὶ πολὺ ἆσθμα πνέων ἐκ κεφαλῆς, περὶ ἣν στόμα καὶ ῥίνες, δι' ὧν τὸ τοιοῦτον ἆσθμα πρόεισιν.

226. ἡνία σιγαλόεντα] Τὰ τεχνικῶς καὶ ἐς κάλλος εἰργασμένα, ἐφ' οἷς οὐκ ἔχει ἄν τις εἰπεῖν τί, ἀλλ' ἕστηκεν ἄφωνος, σιγῇ ἀφοσιούμενος τὰ τοῦ θαύματος. οἱ δὲ σιγαλέονα φασὶν ἐλλείψει τοῦ τ̄, τὰ κατεστιγμένα ποικίλματα, ἢ τὰ ἀμάλακτα, τοὺς λεγομένους μάσθλητας, καὶ διὰ τοῦτο σιγηλοὺς καὶ μὴ θορυβοῦντας φόβῳ ἤχου κατὰ τοὺς ἀδεψήτους ἱμάντας, ὅθεν ἀστείως καὶ ἀμύγδαλά τις ἔφη σιγαλόεντα, τὰ μὴ ψοφητικὰ ἐν τῷ κλᾶσθαι, ἀλλὰ πιεσμῷ δακτύλων ἐνδιδόντα εἰς θραῦσιν.

245. ἀπέλεθρον] Ἀπέλεθρος ὡς ἀπὸ τῆς ἀπείρονος γῆς κατὰ ἐπίτασιν, ἢ πολυπέλεθρος, ἢ κατὰ στέρησιν, ἡ μὴ δυναμένη πλέθρῳ ὑποπεσεῖν. ἔστι δὲ πλέθρον μέτρον γῆς πήχεων ξϛθ', ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται.

271. ἀτίταλλε] Ἤγουν ἔτρεφεν, ὡς αὐτὴ ταλάσσειν, ὅ ἐστι τάλανα τοῖς πόνοις εἶναι καὶ τλήμονα, ἀτάλλειν καὶ κατὰ ἀναδιπλασιασμὸν ἀτιτάλλειν, ἤγουν ἀναπαύειν καὶ τρέφειν.

287. ἤμβροτες, οὐδ' ἔτυχες] Παροιμιῶδες ἐστὶν ἐπὶ τῶν ἁμαρτανόντων τῆς προθέσεως. δηλοῦσι δὲ ἐκ παραλλήλου τὸ αὐτὸ νόημα. γίνεται δὲ ἢ ἐκ τοῦ ἀβρότω τὸ ἀποτυγχάνω, πλεονασμῷ τοῦ μ̄, ἢ ἀπὸ τοῦ ἥμαρτες τροπῇ τοῦ ᾱ εἰς σ̄, καὶ μεταθέσει τοῦ ρ̄ καὶ πλεονασμῷ τοῦ β̄, ὡς ἐπὶ τοῦ γαμβρὸς καὶ μεσημβρία.

289. ταλαύρινον] Ὑπομονητικὸν, διὰ τὸ ἀτειρές. ἔστιν οὖν ἐκ τοῦ τάλας καὶ τοῦ ῥινὸς, ἤγουν ξίφος δυσδάμαστον, ἐστομωμένον, ταλάρινος, καὶ πλεονασμῷ τοῦ ῡ Ἀττικῶς ταλαύρινος.

292. πρυμνὴν] Πρυμνὸν τὸ ἔσχατον, καὶ γίνεται ἀπὸ τοῦ περῶ περύω περυμνὸν, καὶ ἐν συγκοπῇ πρυμνὸν, ὅθεν καὶ νηὸς πρύμνη, βαρυνομένη αὔτη, πρὸς διαστολὴν πρυμνὴ ἡ ἐσχάτη. ἐντεῦθεν καὶ τὸ πρυμνόθεν ἐπίρρημα.

315. πτύγμα] Τὸ περίπτωμα καὶ δίπλωμα τοῦ τὴν χεῖρα σκέποντος μέρους τοῦ πέπλου ᾧ τὸν Αἰνείαν ἡ Ἀφροδίτη ἐκάλυψεν.

333. Ἐνυὼ] Δαιμόνιόν τι πλάττεται μάχιμον, ἀπὸ τοῦ ἔνω ἐνύω τὸ φονεύω, ἢ ἀπὸ τοῦ ἐναύειν τὸ φωνεῖν, ἀφ᾽ οὗ καὶ αὐτὴ ὁ πόλεμος καὶ Ἐνυάλιος παράγεται.

337. εἶθαρ] Τὸ εἶθαρ ταυτόν ἐστι τῷ εὐθὺς παραχθὲν ἐκεῖθεν τροπῇ τοῦ ῡ εἰς ῑ.

Ib. ἀντετόρησεν] Τὸ ἀντιτορεῖν ὀνοματοπεποίηται μὲν κυρίως ἐπὶ ξύλων, ἃ τρυπῶνται τερέτρῳ. δηλοῖ δὲ τὸ ἄντην ἐτόρησεν ἤγουν διόλου ἐτρύπησεν. ἐρεῖ δέ που ὁ ποιητὴς καὶ ὅτι κλέπτων τίς οἰκίαν ἀντετόρησεν. ἐκ δὲ τοῦ τορῶ κατὰ συγκοπὴν μὲν τρῶ τρήσω, κατὰ παραγωγὴν δὲ τετραίνω, τρέμω τετρεμαίνω, ἐξ οὗ καὶ ἐν Ὀδυσσείᾳ τὸ "τέτρηνε δ᾽ ἄρα πάντα."

339. πρυμνὸν ὑπὲρ θέναρος] Ἰστέον ὅτι Ὁμήρου εἰπόντος τρωθῆναι τὴν Ἀφροδίτης χεῖρα πρυμνὴν ὑπὲρ θέναρος, φασὶν οἱ παλαιοὶ ὅτι θέναρ λέγεται τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ, ἤτοι τὸ κοῖλον τῆς χειρός· ἢ κατὰ Εὔδημον, τὸ μεταξὺ τοῦ λιχανοῦ καὶ τοῦ ἀντίχειρος, ἤγουν τοῦ μεγάλου δακτύλου σαρκῶδες καὶ κοῖλον. ἰστέον ὅτι τὸ πρυμνὸν ὑπὲρ θέναρος ἑρμηνεύει ἐν τοῖς ἑξῆς ὁ ποιητής· φησὶ γὰρ τρωθῆναι τὴν Ἀφροδίτης χεῖρα σχεδὸν ἐπὶ καρποῦ, ὅθεν ἔοικεν ὀρθότερον νοεῖν οἱ τὸ μεταξὺ τοῦ δακτύλου καὶ τοῦ καρποῦ θέναρ λέγοντες, οὗ τὸ ἄκρον ἐστὶν ἐπὶ καρπόν. διὸ καὶ θέναρ λέγεται παρὰ τὸ θεῖναι, ἐν ᾧ ἐστιν ἐκτεθῆναι τί εἰς ὑποδοχήν. ἢ παρὰ τὸ θείνω τὸ τύπτω. Πίνδαρος δὲ θέναρ βωμοῦ λέγει τὸ πλάτος. Ἀριστοτέλης δὲ φησὶν ὅτι χειρὸς τὸ ἐντὸς θέναρ σαρκῶδες. λέγει δὲ καὶ τὸν καρπὸν ἄρθρον εἶναι χειρὸς καὶ βραχίονος. εὕρηται δὲ παρά τισι θέναρ καὶ τὰ ἐν τῷ στήθει τοῦ ποδὸς δύο ὀστᾶ· Ὁμήρῳ δὲ ὁ λόγος περὶ τοῦ κατὰ χεῖρα. τινὲς δὲ συντομώτατα φράσαντες εἶπον θέναρ καὶ κοτύλην τὸ κοῖλον τῆς χειρός. λέγουσι δὲ ἕτεροι ὅτι θέναρ ποδὸς κοῖλον καὶ χειρὸς, καὶ τὸ ἔσω τῆς παλαιστῆς.

341. οὐ γὰρ σῖτον ἔδουσιν] Σημείωσαι ἐν τῷ,

οὐ γὰρ σῖτον ἔδουσιν,

δεῖ κατὰ Πορφύριον προσυπακούειν ἀλλὰ ἀμβροσίαν, εἰ καὶ

λείπει, διά τε τὸ φανερὸν καὶ διὰ γοργότητα. ἐν δὲ τῷ

οὐ πίνουσιν αἴθοπα οἶνον,

προσληπτέον ὁμοίως τὸ, ἀλλὰ νέκταρ, ἵνα μὴ καὶ οἱ σκώληκες ὦσι θεοὶ, μήτε σῖτον ἔδοντες μήτε οἶνον πίνοντες, καὶ ὄντες ἀναίμονες. συλλογίζεται οὖν οὕτω. οἱ θεοὶ ἀμβροσίαν καὶ νέκταρ προσφέρονται, οὐ μὴν σῖτον καὶ οἶνον, τὰ δὲ νέκταρι καὶ ἀμβροσίᾳ χρώμενα ἀθάνατά εἰσιν, οἱ θεοὶ ἄρα ἀθάνατοι. σημείωσαι δὲ ὅτι ἐπὶ ἐγκρατῶν ἀνδρῶν ῥηθήσεται, οὐ γὰρ σῖτον ἔδουσιν οὐ πίνουσιν αἴθοπα οἶνον. τὸ δ' ἑξῆς παρῳδηθήσεται, οἷον "τοὔνεκα ὀλιγαίμονές "εἰσιν καὶ τῇ ἀρετῇ ἀθάνατοι καλέονται."

393. ὀϊστῷ τριγλώχινι] Τριγλώχιν ὀϊστὸς ὁ τῆς φιλοσοφίας τριπλοῦς τόπος, ὁ ἠθικὸς, ὁ φυσικὸς, καὶ ὁ μαθηματικὸς, οἷς χρώμενος ὁ Ἡρακλῆς λόγῳ ἐπιτυχὼν βάλλει κατά τε ἀνδρῶν καὶ θεῶν, ἤτοι ἐπιτυγχάνει φιλοσοφίας λόγῳ τῆς τῶν θείων τε καὶ ἀνθρωπίνων καταλήψεως. γλωχὶν δὲ ἡ τοῦ ξίφους γωνία, κατὰ τοὺς παλαιοὺς, γωνιωχὴ τὶς καὶ ἐν συγκοπῇ γλωχὶν, ὥσπερ φθογγὴ φθόγγος, χολὴ χόλος, ποθὴ πόθος, οὕτω καὶ πύλη πύλος ἀρσενικῶς, οὐ γὰρ ἐν τῇ Πύλῳ πόλει τὸν ᾅδην Ἡρακλῆς ἔβαλεν, ἀλλὰ κάτω ἐν τῇ νεκρῶν πόλει.

401. Παιήων] Ὁ ἰατρὸς παρὰ τὸ παίω τὸ θεραπεύω, καὶ ὕμνος εἰς Ἀπόλλωνα. λέγεται δὲ παιήων καί τι μέλος ἐπινίκιον, οἷον Ἀχιλλεὺς ᾄδει ἀνελὼν τὸν Ἕκτορα.

453. λαισήϊον] Ἀσπίδος γένος θυρεοειδὲς, ἀναφορέα οὐκ ἔχον ἀλλὰ ζυγὸν διὰ μέσου. οἱ δὲ φασὶ θυρεὸν ἐπιμήκη, οἱ δὲ λάσιον ἐτυμολογοῦσιν αὐτὸ φάσκοντες εἶναι, ἐκ τετριχωμένων δερμάτων ἀνεργάστων. κοῦφον δὲ τὸ λαισήϊον καὶ οὐδὲ μέγα, διὸ καὶ πτερόεν αὐτὸ λέγει.

486. ἄρεσσι] Δηλοῖ γυναιξὶν ἀνδράσι συνεζευγμέναις. παράγεται δὲ ἀπὸ τοῦ ἀείρω τὸ ὁμοῦ εἴρω καὶ συζευγνύω. ἐξ οὗ ῥηματικὸν ὄνομα ἄορ, ἡ συνεζευγμένη καὶ ὁμοῦ οὖσα τῷ ἀνδρὶ γυνή. διὰ δὲ τὴν πρὸς τὸ ξίφος συνέκπτωσιν μετατεθὲν τὸ ἄορ γέγονεν ὄαρ, ἐξ οὗ καὶ ὀαρίζω τὸ σύνειμι καὶ ὁμιλῶ, καὶ ξυνάορος, κατὰ τὴν τραγῳδίαν, γυνὴ, καὶ ξυνωρὶς ἡ συζυγία τῶν ἵππων, καὶ

τετράορον φάσμα ταύρου.

καὶ τέτρωρον τὸ τετράζευκτον. τὸ δὲ ὄαρ συζευχθὲν γέγονεν ὦρ

περισπωμένως, καὶ πληθυνθὲν ἐγένετο ὦρες, οὗ ἡ δοτικὴ ὤρεσιν Ἰωνικῶς.

502. ἀχυρμιαὶ] Ἀχυρμιὰ ὀξυτόνως κατὰ περιεκτικὴν ἔννοιαν. τόπος ἀλωῆς ἐν ᾧ πίπτει τὸ ἄχυρον, ὡς ἔχειν τὸ μ̄ ἀπὸ πλεονασμοῦ. τὸ δὲ ἄχυρον ἄχνην οὕτω καλεῖ, ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου, καὶ τοῦ ἔχω τὸ κρατῶ, ἡ ἀκράτητος διὰ λεπτότητα. ὡς γὰρ ἀχῆνες οἱ πτωχοὶ παρὰ τὸ μὴ ἔχειν, οἱονεὶ ἀεχῆνες καὶ κατὰ κράσιν ἀχῆνες, οὕτω καὶ ἀέχη καὶ κράσει ἄχη ἡ μὴ ἐχομένη, καὶ πλεονασμῷ τοῦ ν̄ ἄχνη, ὡς τεύχη τέχνη. τὸ "ἀλωὰς" μετὰ προσγεγραμμένου ῑ γράφουσιν οἱ παλαιοὶ, διὰ τὸ γίνεσθαι ἀπὸ τοῦ ἀλοιῶ τὸ συντρίβω· ἢ ἐκ τοῦ ἀλλοιῶ ἐκτάσει τοῦ ō εἰς ω̄ μέγα. λικμᾶν δὲ ἴσως παρὰ τὸ λίαν καὶ τὸ καμεῖν κατὰ συγκοπὴν, καματηρὸν γὰρ καὶ ἐπίκοπον τὸ λικμᾶν. εἰ δὲ ἴκμενος οὖρος ἤγουν ἄνεμος, παρὰ τὸ ἰκμάδα γίνεται εἴκανον· καὶ τὸ λικμᾶν, παρὰ τὸ λᾱ ἐπιτατικὸν μόριον καὶ τὴν οὐρίαν ἰκμάδα, ἧς πολλῆς ὁ λικμώδης δέεται, ὡς ἀνέμοις ἀνύων τοῦ τοιούτου ἔργου τὸ πᾶν.

515. ἀρτεμέα] Ἀντὶ τοῦ ὑγιῆ, οἱονεὶ ἀτεμέα τινὰ καὶ σῶον ἢ ἄρτιον. ὅθεν καὶ Ἄρτεμις φασὶν ἡ περιποιουμένη ὑγείαν, ὡς καὶ Ἀπόλλων Οὔλιος ὁ ποιῶν οὔλλειν, ἤγουν ὑγιαίνειν, κατὰ τὸ

οὖλέ τε καὶ μέγα χαῖρε.

ἄρταμος μέντοι ὁ εἰς ἄρτια τέμνων καὶ δαιτρεύων, ὅς ἐστι κρεουργὸς, μάγειρος, φονεύς.

518. ἄμοτον] Τὸ ἀκόρεστον ἐκ μεταφορᾶς τῆς βαθυτάτης καὶ εὐρείας πληγῆς τῆς μὴ δεχομένης μότον.

523. ἀκροπόλοισιν] Τὰ παρὰ τὸ πολῶ, εἰ μὲν προθέσει σύγκειται προηγουμένῃ, προπαροξύνονται, οἷον ἀμφίπολος πρόπολος, πρόσπολος. εἰ δὲ ὀνόματα, παροξύνονται, οἷον ὀνειροπόλος, μαντιπόλος, οἰωνοπόλος, θυηπόλος, μυστηπόλος καὶ δικασπόλος.

526. πνοιῇσιν λιγυρῇσι] Τὴν παρίσωσιν τοῦ πνοῇσιν λιγυρῇσιν ἐζήλωσεν ὁ εἰπὼν

σμερδνῇσι γαμφηλῇσι συρίζων φόνον.
ἐξ ὀμμάτων δ' ἤστραπται γοργωπὸν σέλας,
ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ.

Æsch. Prom. 354.

551. ἑπέσθην] Ἀντὶ τοῦ ἠκολούθουν δυϊκῶς, ἕπομαι γὰρ τὸ ἀκολουθῶ.

554. λεόντε] Φασὶν οἱ παλαιοὶ ὅτι ἡ λέαινα δύο τίκτει, ἔχουσα δύο μαζοὺς, καὶ ὅτι οἱ λεοντιδεῖς ἀμύξαντες τὴν αὐτῆς μήτραν ποιοῦσι τοῦ λοιποῦ τὴν μητέρα στεῖραν. ἡ πάρδαλις δὲ φασὶ τέσσαρα τίκτει. ὅτι δὲ καὶ πέντε τίκτει ὁ λέων καὶ τέσσαρα, καὶ ἑξῆς ὑποκαταβαίνων, ἱστοροῦσιν ἄλλοι. τὸ δὲ

ἐτραφέτην τάρφεσιν ὕλης

τρόπος ἐστὶν ἐτυμολογικός. τὸ γὰρ ἐτραφέτην τὸ ῥῆμα ἐστὶν, ἀφ' οὗ τὸ τάρφος γίνεται, ἤγουν τὸ δάσος, τὸ δυνάμενον τρέφειν ζῶα. ὃ δὴ τάρφος μετατεθὲν, καὶ τὴν παρὰ τοῖς λόγοις τάφρον ποιεῖ. χρόνῳ γὰρ καὶ αὐτὴ βοτανηφορεῖ τὰ εἰς τροφὴν ζώοις. καὶ τὸν παρὰ τοῖς χυδαίοις ὁμοίως λόγον, κατὰ τὸν αὐτὸν λόγον.

567. ἀποσφήλειε πόνοιο] Ἀντὶ τοῦ ἐμποδίσει, κωλύσει τοῦ ἐνεργεῖν. πάντως γὰρ πεσόντος Μενελάου ἐλύετο ἡ μάχη. σφάλλειν γὰρ λέγεται τὸ συμποδίζειν καὶ ῥίπτειν, ἐξ οὗ καὶ σφέλας ἐν Ὀδυσσείᾳ, τὸ ὑποπόδιον. τούτου δὲ τὸ ἐναντίον ἀνασφάλλειν, ὃ δηλοῖ τὴν ἐκ τοῦ πτώματος ἔγερσιν. ἀποσφάλλειν δὲ τὸ πόρρω ποιεῖν καὶ ἀποπλανᾶν.

583. λεύκ' ἐλέφαντι] Ἐλέφαντα τὸ ἐλεφάντινον ὀστοῦν λέγει. διότι κατὰ συνήθειαν παλαιὰν τὰ ἡνία ἀστραγάλους ἐλεφαντίνους ἑκατέρωθεν εἶχον, δι' ὧν εἷλκον οἱ ἡνίοχοι.

586. κύμβαχος] Κυβιστᾷν τὸ ἐπὶ κεφαλῆς καθάλλεσθαι, ὅθεν καὶ κύμβαλος. ἔστι δὲ καὶ κυμαῖον εἶδος τί ποτηρίου παρὰ τὸ κυφὸν ἐτυμολογούμενον, ὡς περιφερὲς ἐπὶ πολὺ λίαν.

Ib. βρεχμὸν] Διὰ τὸ βεβρέχθαι, ἁπαλὸν γὰρ τοῦτο τὸ μέρος καὶ ὑγρότατον τοῖς βρέφεσιν.

597. ἀπάλαμνος] Ὁ ἄπειρος καὶ μὴ ἔχων τεχνάσασθαι ἢ παλαίειν, ὥσπερ τὸ ἐναντίον παλαμναῖος ὁ βριαρόχειρ.

630. σχεδὸν ἦσαν] Ταυτὸν τὸ σχεδὸν καὶ ἐγγὺς, καὶ τὸ μὲν ἀπὸ τοῦ σχῶ σχήσω, ἵνα δηλοῖ τὸ ἐχόμενον ἢ ἁπτόμενον, τὸ δὲ ἀπὸ τῆς ἐν προθέσεως καὶ τοῦ γυῖα, ὃ δηλοῖ τὰς χεῖρας, ἵνα δηλοῖ τὸ ἐν ὑπογυίῳ καὶ πρόχειρον.

656. ὁμαρτῆ] Ἀντὶ τοῦ ὁμοῦ, γίνεται ἐκ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ, καὶ περισπᾶται, κατὰ τὸ εἰκῆ, πολλαχῆ, ἡσυχῆ, καὶ βῆ

ὄνομα φωνῆς προβάτου. λέγεται δὲ καὶ ὁμαρτῆ ἐκ τοῦ ὁμοῦ καὶ τοῦ ἀρτῶ, διὰ τὸ καὶ τὸ ἀκολουθεῖν ἁμαρτεῖν τε λέγεσθαι, διὰ τοῦ ᾱ, καὶ ὁμαρτεῖν διὰ τοῦ ō, ἐκ τῆς αὐτῆς ἐτυμολογίας τῷ ἐπιρρήματι.

683. ὀλοφυδνὸν] Τοῦ ὀλοφυδνὸν τὸ θέμα ὀλοφύζω. ὡς οὖν παίζω παιδανὸν καὶ παιδνὸν, οὕτως ὀλοφύζω ὀλοφυδνὸν, ἤγουν ἐλεεινόν.

693. φηγῷ] Φηγὸς ἡ δρῦς, ἣν τῷ Διῒ ὡς ζωογόνῳ ἀφιέρωσαν οἱ παλαιοὶ, ζωοτρόφον φυτὸν οὖσαν. πάλαι γὰρ οἱ ἄνθρωποι δρυκάρποις ἐτρέφοντο. διὸ καὶ παρὰ τὸ φαγεῖν ἡ φηγὸς ἐτυμολογεῖται.

720. ἔντυεν] Εὐτρέπιζεν, ὅπλιζεν ὡς ἀπὸ τοῦ ἔντεα τὸ διπλὰ, ὅπλα τῶν ἀνθρώπων. τὸ θέμα ἐντύω, ἐξ οὗ καὶ ἐντύνω.

723. ὀκτάκνημα] Τὰ ὀκτάραβδα διὰ πλείω στερρότητα. κνῆμαι γὰρ αἱ ἀπὸ τῶν ἔσω χοινικίδων ἕως τῆς ἔξω περιφερείας ῥάβδοι.

726. πλῆμναι] Αἱ τῶν τροχῶν χοινικίδες ἤτοι σύριγγες, ὅ ἐστιν ὀπαὶ, ἃς καὶ χνοὰς φασὶν, ὡς δηλοῖ καὶ Σοφοκλῆς, ἤγουν τὰ μέσα τῶν εἰρημένων συρίγγων, εἰς ἃ τίθεται τὰ τοῦ ἄξονος ἄκρα. πλῆμναι καλούμεναι διὰ τὸ πλήθεσθαι, ἤγουν πληροῦσθαι ὑπὸ τοῦ ἄξονος. λέγεται δὲ ἡ πλήμνη καὶ τόρμη, εἰς ἣν ὁ ἄξων ἐνήρμοσται. ἐπίσωτρα δὲ λέγονται διὰ τὸ ἐπιτρέχειν, ἢ παρὰ τὸ σώζειν, ὡς ἀπὸ τῆς ἐπὶ προθέσεως καὶ τοῦ σῶ τὸ ὁρμῶ ἢ τοῦ σώζω. σωστικοὶ γὰρ τῆς ἔσω περιφερείας εἰσὶν οἱ κανθοί.

730. λέπαδνα] Κυρίως ἱμάντες πλατεῖς, οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν. παρὰ τὸ λέπω τὸ λεπίζω λέπανον, ὡς ξέω ξόανον καὶ κόπτω κόπανον, καὶ πλεονασμῷ τοῦ δ̄ λέπαδνον. τινὲς δὲ λέπαδνα φασὶ τοὺς μασχαλιστῆρας.

738. θυσανόεσσαν] Θύσανοι οἱ διὰ τοῦ ō μικροῦ γραφόμενοι κροσσοὶ, οὐ μὴν οἱ διὰ τοῦ ω̄ μεγάλου, οἱ τὰ ὑδροφόρα δηλοῦντες ἀγγεῖα.

743. τετραφάληρον] Τετραφάληρον καὶ ἀμφίφαλον ἐξηγούμενοι οἱ παλαιοὶ φασὶν ὅτι φαλοὶ μὲν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι, φάλαρα δὲ κρίκοι τινὲς τῆς περικεφαλαίας ἐν τῇ παρὰ γνάθοις. ἔστι δὲ φάλαρα καὶ ἵππων

κόσμος προμετωπίδιος, γινόμενος καὶ αὐτὸς ἀπὸ τοῦ φάω τὸ λάμπω.

744. πρυλέεσσ'] Ἡ εὐθεῖα τοῦ πρυλέεσσ' πρύλις γινομένη, ἐκ τοῦ περῶ περύω τὸ ὁδεύω, περύσω πέρυλις καὶ πρύλις, ὡς δαμάσω δάμαλις. ἴσως δὲ συντελεῖ πρὸς τὴν τοιαύτην κλῆσιν καὶ τὸ νωσιν   καὶ τὸ κυρίως ὁ πρύλις ὁ παρὰ Λυκόφρονι. καὶ μὴν ἄλλοι, ἐν οἷς καὶ Ἡρωδιανὸς, πρυλὶς γράφουσιν ὀξυτόνως, καὶ κλίνουσι κανονικῶς πρυλέος πρύλους.

827. δείδιθι] Χρηστόν ἐστιν εἰς μέτρον δακτυλικόν. ἄλλως δὲ κοινότερον δέδιθι λέγεται, ἐν τρισὶ βραχείαις λέξεσιν, ἔπαθε δὲ μεταπλασμὸν, ὡς γὰρ ἴε, εἶθι, κλῦε κλῦθι, οὕτω καὶ δέδιε δέδιθι.

845. ἄϊδος κυνέην] Εἶδος[l] κυνέη μελαντάτη ὑπὸ τοῦ μύθου λέγεται εἶναι, ὑπὲρ πᾶν ὃ ἂν εἴποι τίς μέλαν. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς νέφος τί πυκνότατον ἡ τοῦ ᾅδου κυνέη, δι' οὗ καὶ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται. ἔστι δ' εὑρεῖν παρὰ τοῖς παλαιοῖς ὡς κυνέη λέγεται καὶ τὸ κοινῶς λεγόμενον σκιάδιον, ὅπερ Ἡσίοδος πίλον φησὶν ἀσκητόν.

876. ἀήσυλα] Ἀήσυλα ἔργα ἢ τὰ βλαπτικὰ, παρὰ τὸ ἆσαι ἤγουν βλάψαι, πλεονασμῷ τοῦ η̄, ὡς καὶ τὸ ὑπέρφανος ὑπερήφανος, καὶ ἐν ἄλλοις, ἢ τὰ ἀηδῆ, παρὰ τοῦ ᾱ στερητικοῦ μορίου, καὶ τοῦ ἧσαι τὸ εὐφράναι. ποιητικὴ δὲ ἡ λέξις, καὶ πολλῷ[m] λόγῳ οὐκ εὔχρηστος.

892. ἀάσχετον] Κατὰ τὸ ἄατον, οὐ γὰρ ὥσπερ ἄατόν ἐστιν ὥσπερ τὸ ἀτηρὲς, οὕτω καὶ ἀάσχετον τὸ σχετὸν, ἀλλὰ τὸ μὲν πρῶτον ᾱ ἐπιτείνει, τὸ δὲ δεύτερον στεροῖ, ὡς δηλοῦν τὸ ἄγαν ἀκατάσχετον.

894. ἐννεσίῃσι] Ἤγουν συμβουλαῖς, ἢ γίνεται ἀπὸ τοῦ ἔννοια, ἢ μᾶλλον ἀπὸ τοῦ ἐνίημι τὸ ἐμβάλλω, ἵνα ἐκ τοῦ ἐνίημι ἐνεῖμαι ἐνεῖσθαι γίνεται ἐνεσία, καὶ διπλασιασμῷ τοῦ ν̄ ἐννεσία, ἡ εἰς νοῦν ἐνιεμένη βουλή.

899. ἀνώγει] Ἄνωγε μὲν τὸ ἐκέλευε προπαροξύνεται, ἐπὶ δὲ τοῦ ἤνοιγε περισπᾶται, οἷον ἀνώγει.

902. ὀπὸς] Λέγεται ἡ πιτύα τὸ τῶν δένδρων δάκρυον, ναὶ μὴν

[l] Leg. ἄϊδος.   [m] Leg. vid. πολιτικῷ.

καὶ τὸ ὑγρὸν, ὃ τὰ φύλλα πρὸς τοῖς κλάδοις συνέχει, ὅθεν καὶ ἡ ὀπώρα καὶ τὸ γαλακτῶδες τῆς συκῆς.

903. κυκόωντι] Κυκεὼν παρὰ τὸ κύειν καὶ χέειν κατὰ παλαιοὺς παρῆκται διὰ τὸ ὑγρὸς εἶναι καὶ πόσιμος, ὁποῖος ἦν τῆς Κίρκης. εἰ δὲ καὶ πραγματικῶς κυκᾶν τίς λέγεται, καὶ διὰ τοῦτο κυκεὼν λέγεται, μεταφορικῆς τοῦτο μεθόδου ἐστι. εἰ κἂν καὶ οὐκ ἄκομψον εἰπεῖν ὡς ὁ οὕτω κυκῶν, σκωπτικῶς καὶ ἐπιψόγως ἐκεῖνος καὶ τυρεύειν λέγεται, κατὰ τὸν ἐνταῦθα Ὁμηρικῶς ἐπὶ τυροποιΐᾳ κυκῶντα, καὶ μαρτυρήσει καὶ ὁ κωμικὸς ἐκ τοῦ τυροῦ παρετυμολογῶν τὸ τύρευμα, ἐξ οὗ καὶ τὸ τυρβάζειν ἄλλως γίνεται. σημαίνει δὲ ἐν τούτοις ὡς τὸ κυκᾶν καὶ ὁ κυκέων διλογεῖται, λαμβανόμενα ἐπί τε ψόγῳ, καὶ ἄλλως δὲ δίχα ψόγου πραγματικῶς. τὸ δὲ τυρεύειν καὶ ἡ τυρεία μοναχῶς ἐπὶ φαυλότητος τίθεται. σημείωσαι δὲ ὅτι ὁ σοφὸς Ἡρωδιανὸς τὸ περιστρέφεται κυκόωντι, περιτρέφεται γράφει πάνυ ὀρθῶς, ἐν γοῦν τῷ περὶ τρυφαλίδος φησὶ τροφαλίδα ῥητέον διὰ τοῦ ō. οὐ γὰρ τρυφαλίδα διὰ τοῦ ῡ ἡ λέξις εἴρηται ἐκ τοῦ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι, καὶ παράγει χρῆσιν αὐτίκα,

ὡς δ' ὅτ' ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν
ὑγρὸν ἐὸν μάλα δ' ὦκα περιτρέφεται κυκόωντι,

ἀντὶ τοῦ πήγνυταί φησιν.

Z.

V. 26. ὑποκυσσαμένη] Ἤγουν ὑπ' αὐτοῦ ἔγκυος γινομένη. περὶ δὲ τοῦ "διδυμάονε" κεῖται ἐν τῷ ῥητορικῷ λεξικῷ ὅτι διδυμάονες μὲν οἱ κεχωρισμένοι τοῖς σώμασι, δίδυμοι δὲ οἱ συμφυεῖς, ὁποίους ὁ μῦθος πλάττει τοὺς Ἀκτορίωνας.

Ῥυμὸς λέγεται ἐπὶ ἅρματος, παρὰ τὸ ῥύω τὸ ἑλκύω, οὕτω καὶ ἐπὶ ἀπήνης· ἐπὶ δὲ ἀρότρου, ἱστοβολεύς. τὸ μέντοι ἄμπρον παρὰ Λυκόφρονι σχοινίον ἐστὶν ᾧ ἐχρῶντο ἀντὶ ῥυμοῦ, μέσῳ τεταγμένῳ τῶν ἑλκόντων βοῶν.

58. γαστέρι] Τὸ γαστέρι ἐνταῦθα νοητέον ἀντὶ τοῦ κόλπῳ, οὐ γὰρ εἶπεν ὅντινα ἡ μήτηρ ἔμβρυον φέρει, ἀλλὰ κοῦρον. ὁ δὲ κοῦρος οὐκ ἔμβρυον.

Λαγὼν παρὰ τὸ λήγειν, ἔνθα λήγουσι τὰ ὀστώδη πλευρά·

κενεὼν δὲ, ὡς κενὸς ὀστῶν, λαπάρα δὲ παρὰ τὸ λάπτειν, ὡς κενὸν ὀστῶν, ἀφ' οὗ καὶ λάφυρα τὰ ἐκ τῶν πολεμίων σκηνῶν καὶ πόλεων ἐκκενούμενα. ταῦτα δὲ ἀπὸ τοῦ τῷ λαῷ φύρεσθαι συντιθέασι. λὰξ ἀπὸ τοῦ λήγω λήξω, ὡς γὰρ ἀπὸ τοῦ παύω παύσω πούς, οὕτως ἀπὸ τοῦ λήγω λήξω λὰξ, ὅπερ ἐστὶ ταυτὸν τῷ ληκτικὸς καὶ παυστικὸς καὶ ὡς εἰπεῖν ποδικῶς. ποὺς δὲ πάντως τὸ πατοῦν εἰς γῆν, οὗ τὸ μὲν ἄνω κνήμη, τὸ δὲ ἀνωτέρω μηρός. ὅτε μέντοι μετὰ τὴν ὀσφῦν πόδες λέγονται ἀπὸ μέρους τοῦ κατωτάτω δηλαδὴ ὀνομάζονται. κυρίως γὰρ ποὺς ἐκεῖνος ἐστί.

Ἡ ἦνις ἀπὸ τοῦ ἕνου, ὅ ἐστιν ἐνιαυτοῦ, ἧς γενικὴ ἤνιδος, καὶ Ἰωνικῶς ἤνιος. ἡ πληθυντικὴ αἰτιατικὴ ἤνιας, καὶ κατὰ κρᾶσιν ἦνις. Ἠκέστη δὲ ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ κένσαι, ὃ δηλοῖ τὸ κεντῆσαι, ἀφ' οὗ καὶ ὁ κεστὸς γίνεται καὶ ὁ πολύκεστος ἱμάς.

127. ἀντιόωσι] Τὸ ἀντιᾶν λαμβάνεται καὶ ἐπὶ τοῦ συναντᾶν καὶ ἐπὶ τοῦ ἀπολαύειν, ὡς τὸ "ἀντιόων ἑκατόμβης" καὶ ἐπὶ τοῦ ἐπιμελείας ἀξιοῦν, ὡς τὸ

ἐμὸν λέχος ἀντιόωσαν.

130. Λυκόοργος] Λυκοῦργος ὁ Δρύαντος Ἠδωνὸς βασιλεύων τῆς Θρᾴκης, λέγεται ἔτι μικρὸν ὄντα τὸν Διόνυσον διώκειν καὶ τὰς ὀργιαζούσας αὐτῷ τιθήνας, παύσασθαι δὲ τοῦτο ποιεῖν, ὅτε φοβηθέντα τὸν Διόνυσον ἡ Νηρηῒς Θέτις καθυπεδέξατο κόλπῳ, οἷα δηλαδὴ ἁπαλόν τινα παῖδα· τοὺς τοιούτους γάρ ἐστι κόλπῳ δέχεσθαι. δηλοῖ δὲ ὁ τοιοῦτος μῦθος, καθ' ἱστορίαν θεραπευόμενος, ὅτι ὁ ῥηθεὶς Λυκοῦργος κηδόμενος τῶν ὑπὸ χεῖρα κακῶς πασχόντων ὑπὸ τῆς τοῦ ἀκράτου πλησμονῆς, ὅτε πρῶτον οἴνου χρῆσις παρ' αὐτοῖς ἐπεπόλαζε, τάς τε ἀμπέλους ἐξέσπα, αἳ δὴ βάκχαι λέγονται, καὶ τιθῆναι ἤτοι τροφοὶ Διονύσου, τουτέστιν οἴνου, καὶ τοὺς μεθύοντας ἐκόλαζε, καὶ τὰς αὐτῶν συνόδους ἐσκέδαζε, καὶ τὸν οἶνον οὐκ εἴα ἐπιχωριάζειν. ὕστερον δὲ ἀφῆκε τὴν σπουδὴν ταύτην, ὁπηνίκα ἡ τοῦ οἴνου ἐπενοήθη μεθ' ὕδατος κρᾶσις, ἣν αἰνίττεται ἡ τοῦ Διονύσου ῥῖψις κατὰ τοῦ ὕδατος, ὅπερ ὕδωρ δηλοῦται διὰ Θέτιδος, ὑγροβίου δαίμονος· κἀντεῦθεν ἐπαύσαντο οἱ ἐγχώριοι τῆς τε ἀκρατοποσίας, καὶ τῶν ἐξ αὐτῆς κακῶν. ἐνταῦθα δὲ καὶ τὸν Διόνυσον μαινόμενον εἶπεν ὁ ποιητὴς, καθὰ καὶ τὸν Ἄρην ἤτοι

μανιόποιόν. μεμήνασι γάρ πως οἱ μεθύοντες, ὡς καὶ οἱ κατὰ μάχην ἐναγώνιοι· ὅθεν τούτους μὲν ἀρειμανίους φασὶ, τοὺς δὲ μεθύσους οἰνομανεῖς. ἐπεὶ καὶ τὸν Διόνυσον μαινόλην καὶ μαινάδας τοὺς ὀπαδοὺς αὐτοῦ καθὰ καὶ βάκχας. ἐπεὶ ἐκεῖνος βάκχος ἀπὸ τοῦ βάζω βέβαχα, πλεονάσαντος τοῦ κ̄ διὰ τραχυφωνίαν καιρίαν, ὃ δὴ καὶ ἐπὶ τοῦ ἴακχος γίνεται, οὗ ἡ ἀρχὴ τὸ ἰάχω ῥῆμα. αἱ δὲ ῥηθεῖσαι καὶ ληνίδες λέγονται, διὰ τὸν ὑποδεκτικὸν λῆνον τοῦ οἴνου, ὃν αὗται τρέφουσιν.

134. θύσθλα] Ἢ τελεστικὰ τινὰ θύματα οἷα καὶ χέεσθαι, ἢ ῥάβδοι τινὲς ἐν οἷς καὶ νάρθηκες φορήματα διονυσιακὰ, ἢ κλάδοι τινὲς, ὁποῖοι καὶ οἱ περὶ τὸν Διόνυσον βάκχοι θύρσοι, οἱ βαρυτονούμενοι, οἱ γάρ τοι ὀξυνόμενοι θυρσοὶ, γαμικὰ δηλοῦσι στέγματα.

136. Τὸ "Θέτις δ' ὑπεδέξατο κόλπῳ" ἢ κατὰ μῦθον δηλαδὴ θαλασσία δαίμων, ἔφασαν τινὲς αἴνιγμα εἶναι τοῦ χρησιμεύειν τὸ ἐκ θαλάττης ὕδωρ εἰς τὸ περισώζειν οἶνον. ὃ δὴ καὶ δεδοκίμασται οὐ ψευδὲς ὄν.

143. ἆσσον] Τὸ ἆσσον γίνεται ἀπὸ τοῦ ἐγγὺς ἐγγίων, οὗ τὸ οὐδέτερον ἔγγιον, καὶ ἐξ αὐτοῦ δευτέρᾳ παραγωγῇ, συγκριτικῶς ἔσσον, καὶ κατὰ τροπὴν ἆσσον, ὅ ἐστιν ἔγγιον ἤτοι πλησίον. οὕτω καὶ ταχὺς ταχίων τάσσων καὶ θάσσων, πρὸς διαστολὴν τῆς τάσσων μετοχῆς καὶ τὸ οὐδέτερον, ἔτι δὲ καὶ τὸ ἐπίρρημα θᾶσσον. ὁμοίως καὶ μακρὸς μακρίων μάσσων, καὶ βραδὺς βραδίων βράσσων, καὶ παχὺς παχίων πάσσων. καὶ κλίνεται ταῦτα διὰ τοῦ * καὶ ἐλαχὺς ὃ κατὰ Καλλίμαχον ἐλαχὸς ἐλαχίων ἐλάσσων ἐλάσσονος, ἧς ἀναλογίας δίκην συνεξακολουθῆσαν καὶ τὸ ἔσσον, κατὰ τροπὴν τῆς ἀρχούσης γίνεται ἆσσον.

153. Σίσυφος] Ἔοικεν ὁ Σίσυφος εἰρηναῖαν ἀρχὴν ἄρξαι καὶ τοῖς ὑπ' αὐτὸν ἀκίνδυνον, διὸ καὶ δῆσαι τὸν θάνατον λέγεται, ὁποιωδήτινι λόγῳ καὶ Ὦτος καὶ Ἐφιάλτης τὸν Ἄρην δῆσαι λέγονται, ἄχρις οὗ πάλιν τῆς εἰρήνης λυθείσης παρεισεφθάρη ὁ βροτολοιγὸς, τυχὸν δὲ καὶ ἀκεσώδυνα ἐξεῦρε τινὰ καὶ νόσων ἀντίπαλα, ὡς δοκεῖν καὶ οὕτω δῆσαι τὸν θάνατον. ὅτι δὲ σοφὸς ἦν καὶ ἡ κλῆσις ἐπεμφαίνει. τὸ γὰρ Σίσυφος ταυτὸν κατὰ τοὺς παλαιοὺς δύναται τῷ θεόσοφος, τὸ γὰρ σιοῦ, τοῦ θεοῦ παρὰ Πελοποννησίοις καλεῖται, ὡς καὶ ὁ κωμικὸς δηλοῖ. τοῦ δὲ σοφοῦ συφοῦ

λεγομένου Αἰολικῶς, καθὰ κὰ τὸ ὄνομα ὄνυμα καὶ τὸ ἀσσότερον ἀσσύτερον, ἀγορὰ ἄγυρις, ὅθεν καὶ ὁμήγυρις καὶ πανήγυρις καὶ ταναόπεδα τανύπεδα καὶ ὄπτιος ὕπτιος· ὅσα δὲ καὶ θανὼν μυθεύεται δολιεύσασθαι Σίσυφος, ὡς καὶ ἐν ᾅδου λίθον δι' αὐτὰ κυλίειν, καὶ ὡς ἐξ αὐτοῦ σισυφεὺς παρὰ Λυκόφρονι ὁ σοφὸς ἀριθμητὴς, δῆλα ἐν ἄλλοις.

169. πίνακι πτυκτῷ] Πίναξ πτυκτὸς τὸ ἰδιωτικῶς πιττάκιον, διὰ τὸν τρόπον τῆς πτύξεως ἤτοι τῆς διπλώσεως. ὡς γὰρ δέλτος διὰ τὸ δέλτα σχῆμα, οὕτω πιττάκιον διὰ τὸ τετραγωνίζεσθαι πτυσσόμενον, ὁμοίως πως τῷ τῆς χυτῆς πίσσης σχήματι. οἱ δὲ παλαιοὶ καὶ ἐν τῇ κατ' Εὐριπίδην Φαίδρᾳ, ἔνθα μνήμη πεύκης κεῖται, φασὶ πεύκην ἐκεῖ ῥηθῆναι τὴν ἐν τῇ χειρὶ Φαίδρας δέλτον κατὰ τὴν τοῦ Ἱππολύτου, ὡς ξυλίνην οὖσαν καὶ ἴσως ἐκ πεύκης, διὰ τὸ τῆς γραφῆς ἐν τοιούτῳ ξύλῳ εὐτύπωτον. ἔχοι δὲ ἄν τις καὶ τοῦτο εἰς μαρτυρίαν τοῦ ξύλοις κεχαράσσεσθαι ποτὲ γράμματα, ὃ μάλιστα ἐπὶ μαρμάρων λίθων ἐπεχειρήθη, ἀφ' ὧν καὶ ἡ τοῦ γράφειν ἁρμόττει ὀνοματοποιΐα.

201. Ἀλήϊον] Ἢ διὰ τὴν ἐκεῖ τοῦ ἥρωος ἄλην ἤγουν πλάνην, ἢ διότι ἐστέρηται ληΐων διὰ τὴν ἐρήμωσιν.

202. πάτον ἀνθρώπων ἀλεείνων] Τὴν μετ' ἀνθρώπων διατριβὴν ἐκφεύγων, ὡς εἰς μελαγχολίαν ἐκκυλισθείς. θυμοβόρον γὰρ ὁ μονασμός. ἐκ δὲ τοῦ πάτου τοῦ δηλοῦντος τὴν ὁδὸν καὶ τὴν τρίβον, γίνεται καὶ τὸ περιπατεῖν καὶ ὁ περίπατος. ἐκεῖθεν καὶ ἀπάτη καὶ ἀπατᾶν, οἱονεὶ τὸ μὴ τῆς εὐθείας ὁδοῦ ἔχεσθαι, καὶ ὡς ἐπὶ ἀτραποῦ βαδίζειν, ἀλλὰ καμπὰς ἐλίττειν καὶ παράγειν ὧδε κἀκεῖ. εἴη δ' ἂν τούτῳ τῷ λόγῳ καὶ ἐναντία ἡ ἀπάτη καὶ ὁδηγία. ἀπατᾶν μὲν γὰρ τὸ ἀπάγειν τοῦ πάτου, ὁδηγεῖν δὲ τὸ ἐνάγειν εἰς ὁδὸν, ἐκ τοῦ πάτου δὲ καὶ τὸ πατάσσειν.

204. Σολύμοισι] Σόλυμοι ὅμορον ἔθνος Λυκίοις πολέμιον, διὸ καὶ ὁ Βελλεροφόντης σταλεὶς ὑπὸ Ἰοβάτου ἠρίστευσε κατ' αὐτῶν, τῶν ὕστερον λεγομένων Πισιδῶν ἢ Πισιδέων. τόπος γάρ ἐστιν ὀχυρότατος περί που τὴν Λυκίαν, οὗ οἱ ἐγχώριοι βαρβαρικώτερον τοῖς ἐκεῖ καλοῦνται Τζέλυμοι.

236. ἑκατόμβοι' ἐννεαβοίων] Ἢ ἐπὶ νομισμάτων λέγουσι διὰ τὸ βοῦν εἰρῆσθαι τὸ νόμισμα. ἐν αὐτῷ γὰρ τύπος ἦν βοὸς κατὰ

τιμὴν τοῦ ζώου. οἱ δὲ ὡς καὶ αὐτὸ εἴρηται σταθμόν τινα τὰ τοιαῦτα νοοῦσι, δι' οὗ βόας ἑκατὸν τυχὸν ἢ ἐννέα ἢ ιβ ἢ εἴκοσιν ἁπλῶς τόσουσδε ὠνησάμενός τις κτήσεται.

252. Λαοδίκην εἰσάγουσα] Ἡ Ἑκάβη ἀπιοῦσα εἰς Λαοδίκην ἐντυγχάνει τῷ Ἕκτορι. τὸ εἰσάγειν γὰρ ἀντὶ τοῦ εἰσιέναι ἢ ὑπάγειν, καθὼς καὶ παρὰ τῷ κωμικῷ, ἐπὶ τῶν εἰς οὐδὲν δὲ ἀχθοφορούντων, τὸ

ὄνος ἄγων μυστήρια.

καὶ ἐκεῖ γὰρ ἄγειν οὐ τὸ φέρειν, ἀλλὰ τὸ ἀπιέναι, ἵν' ᾖ ὄνος ἄγων μυστήρια, ὁ ἀπιὼν εἰς τὴν τοῦ μυστηρίου ἑορτήν.

260. αἴκε πίησθα] Ἑκάβη περὶ τὸν καιρὸν σφάλλεται. ἄμεινον γάρ φασιν ἐν ἅπασιν ὁ καιρὸς, ἄρτι δὲ οὐ καιρὸς οἴνου πόσεως. οὐ γὰρ ἁπλῶς οἴνου πόσις καὶ ἰσχὺν ἔχει συμβάλλεσθαι, εἴγε κατὰ τὸν εἰπόντα, οἱ παλαιοὶ οὐδὲ ὕδωρ πρὶν ἐντραγεῖν ἔπινον, ἀλλὰ ἡ τροφὴ σὺν τῷ οἴνῳ μεγάλα συντελεῖ ἀνδρὶ ὃς ἂν οἴνου κορεσσάμενος καὶ ἐδωδῆς, πανημέριος πολεμίζει. οἶνος γὰρ κατ' ἐξοχήν τινὰ ἐτυμολογεῖται ἐκ τοῦ ὀνεῖν, ὅ ἐστιν ὠφελεῖν, ἐξ οὗ καὶ τὰ βρώματα ὀνείατα λέγονται.

264. ἄειρε] Ἤγουν πρόσφερε, ἀφ' οὗ καὶ ὁ ἄρτος καὶ τὰ προσάρματα, ἤγουν αἱ τροφαί. μελίφρων δὲ ὁ μελιηδὴς, ἀπὸ τοῦ μέλι καὶ τοῦ εὐφραίνω.

268. λύθρῳ] Λύθρον ὁ τοῦ αἵματος μιασμὸς, ἀναμεμιγμένος τῇ κόνει, ἀπὸ τοῦ λύω ῥήματος, διὰ τὸ δέεσθαι λύματος ἤτοι καθάρσεως. ἔχει δὲ τὸ θ πρὸς διαστολὴν τοῦ λύτρου τοῦ σημαίνοντος τὸ ἄποινον. "πεπαλαγμένον" δὲ ἀντὶ τοῦ μεμολυσμένον, ἀπὸ τοῦ παλάσσω, ἀφ' οὗ καὶ ὁ πηλός.

288. κηώεντα] Κηώεις ὁ τεθυμιασμένος καὶ εὐώδης οἶκος καὶ ὄζων εὐώδη, ἐκ τοῦ κῆαι, ὅ ἐστι καῦσαι. ἰστέον δὲ ὅτι τὰ παρὰ τῇ ποιήσει διὰ τοῦ ωεις ὀνόματα βραχείᾳ μὲν παραληγόμενα συστέλλονται, οἷον σκιόεις, ἠερόεις, κερόεις, οὐατόεις, ἀνεμόεις. μακρᾷ δὲ παραληγόμενα ἐκτείνονται, οἷον κητώεις, κηώεις.

299. Κισσηῒς] Ἰστέον ὅτι παρὰ τοῖς ὕστερον αἱ ἱερεῖαι παρθένοι ἦσαν, καὶ θάνατος ἦν αὐταῖς ἐπιτίμιον διακορισθείσαις, ὡς ἱστόρηται ἐπί τε ἄλλαις καὶ τῇ Ῥώμου καὶ Ῥωμύλου μητρὶ, ἣ παρὰ βραχὺ ἦλθε θανεῖν διὰ τὸ ἀναξία ἱερείας οὖσα τελεῖν.

301. ὀλολυγῇ] Ὀλολυγὴν τὴν τῶν γυναικῶν σὺν οἴκτῳ εὐχὴν καλεῖ ὁ ποιητὴς, μετὰ ἐμμελοῦς τινος γυναικείου ἐνθεασμοῦ ἀπὸ ἀτραχύντου καὶ λειοτάτου. οἱ δὲ νεώτεροι λαμβάνουσι τοῦτο ἀντὶ τοῦ κλαίειν κατὰ τὸ

ἀνολόλυξε τὸν νεανίαν,

ἐξ οὗ καὶ ὄρνεον ἡ ὀλυγὼν ἣν λαλιστάτην, καθὰ καὶ τὴν περκώπην, ἡ παροιμία οἶδε.

305. πότνια] Ὥσπερ ὁ ἐφιέμενος λείας ἀγελείης Ἀθηνᾶν ἐπεκαλεῖτο, οὕτως οἱ περὶ σωτηρίας πόλεως εὐχόμενοι, ἐρυσίπτολίν τ' Ἀθηνᾶν ἐπεβοῶντο, ἤγουν φύλακα πόλεως, ἀπὸ τοῦ ῥύω τὸ ἐλευθερῶ καὶ τοῦ πόλις, ἤγουν ἡ ῥυομένη καὶ σώζουσα τὰς πόλεις.

320. Πόρκης ὁ κρίκος, ἤγουν τὸ κουπίον, ἐκ τοῦ περικεῖσθαι, ἢ ἐκ τοῦ περιέχειν, τραπέντος τοῦ χ̄ εἰς κ̄ Ἰωνικῶς.

336. ἤθελον δ' ἄχεϊ προτραπέσθαι] Ἀντὶ τοῦ ἤθελον μὴ ἀντὴν[m] ἰέναι τῷ ἄχει, ἀλλὰ προτραπέσθαι αὐτῷ, καὶ οἷον τραπῆναι εἰς φυγὴν, καὶ κατανωτίσασθαι ἐν τῷ ἀποστῆναι μὲν τῆς μάχης, καθεσθῆναι δὲ πρὸς πρώραν ἐν τῷ οἴκῳ.

353. ἐπαυρήσεσθαι ὀΐω] Τουτέστιν οἴομαι ἐπαυρήσασθαι, ἤτοι ἐπαπολαῦσαι αὐτοῦ δηλαδὴ καὶ ὧν φρονεῖ.

354. δίφρῳ] Ὅρα νῦν τὸν δίφρον ἐπὶ θρόνου, ἐν δὲ τῇ Ὀδυσσείᾳ καὶ ἀεικέλιος δίφρος εὕρηται, εἰς ὃν οἱ εὐτελέστεροι κάθηνται.

374. τέτμεν] Ἐκ τοῦ τέμω τέτομα, μέσος παρακείμενος, καὶ κατὰ συγκοπὴν τέτμεν, ἀντὶ τοῦ κατέλαβεν.

378. εἰνατέρων] Εἰνάτειρ τὴν σύννυμφον δηλοῖ, ὁποία ἡ Ἑλένη τῇ Ἀνδρομάχῃ. γίνεται δὲ παρὰ τὸ εὐνάζειν, οἱονεὶ ἡ συνευνάτειρα πρὸς ἄλλην. Αἴλιος δὲ Διονύσιος οὕτω φράζει, εἰνάτειρες αἱ ἐπὶ ἀδελφοῖς σύννυμφοι, οὕτω καὶ ἀέλιοι κατὰ τοὺς παλαιοὺς, οἱ ἀδελφὰς γυναῖκας ἔχοντες· καὶ πλεονασμῷ τοῦ ῑ αἰέλιος, κατὰ τὸ ἀεὶ αἰεὶ, καὶ κατὰ τὸ ἀζόκροτος αἰζόκροτος ἡ ξηρασία παρὰ τὴν ἄζην, καὶ ἆψα αἶψα, καὶ ἀζηὸς αἰζηός. δαὴρ δὲ ὁ τοῦ ἀνδρὸς ἀδελφὸς, καὶ παρῆκται ἀπὸ τοῦ δαίω τὸ μανθάνω, ὃν μάλιστα τῶν ἄλλων ἀγχιστέων δέδαεν ἡ γυνὴ, ἤτοι μεμάθηκεν. ἑκυρὸς δὲ ὁ αὐτὸς μέν ἐστι τῷ πενθερῷ, λέγεται δὲ ἑκυρὸς μὲν ὁ εἰς ἓ ἤτοι

m ἀντιν' Cod.

εἰς ἑαυτὸν ἔχων τὴν κόρην, ἢ τὸ τῆς ἀγχιστείας κῦρος, διὸ καὶ δασύνεται. ὁ δέ γε συνθεὶς τοὺς κατὰ στοιχεῖον πνευματισμοὺς, ψιλοῖ καὶ αὐτὸ κατὰ τὸ ἐκεῖνος. καὶ φασί τινες παρὰ τὸ κῦρος γενέσθαι τὴν λέξιν, κατὰ πλεονασμὸν, διὸ καὶ ψιλοῦται. πενθερὸς δὲ ἴσως διὰ τὸ περὶ τοὺς νομίμους πένεσθαι ἔρωτας, ἤτοι ἐνασχολεῖσθαι καὶ ἐνεργεῖν, ἐπεντεθέντος τοῦ θ̅ διὰ τὸ εὔφωνον. ἰστέον ὅτι ἐν τοῖς Ἀριστοφάνους τοῦ γραμματικοῦ Συγγενικοῖς εὕρηται τίς διαφορὰ τοῦ ἑκυρὸς καὶ πενθερὸς, φησὶ γὰρ ὡς πενθερὸς μὲν ὁ τῆς γυναικὸς πατὴρ τῷ νυμφίῳ, καὶ πενθερὰ ἡ μήτηρ, ἑκυρὸς δὲ ὁ τοῦ ἀνδρὸς πατὴρ τῇ νύμφῃ, καὶ ἑκυρὰ ἡ μήτηρ· νυὸς δὲ ὡς ἐπὶ τὸ πλεῖστον υἱοῦ γυνὴ τῷ πατρὶ καὶ τῇ μητρί.

416. Θήβην ὑψίπυλον] Ὑψίπυλον τὴν Θήβαν λέγει ἀντὶ τοῦ μεγάλην, ὡς ἀπὸ μέρους. χρεία γὰρ τῇ μεγάλῃ πόλει τοιούτων πυλῶν, οὐ μὴν τῇ φαυλοτάτῃ, ὡς ἂν μὴ ἐπισκώψῃ τις τὸ ᾀδόμενον, "κλείσατε τὰς πύλας, ἵνα μὴ ἐξέλθῃ ἡ πόλις."

422. ἰῷ ἤματι] Ἰστέον ὅτι ἄπορον τοῖς παλαιοῖς πῶς κλίνεται μία μιᾶς μιᾷ ἐν ἀνομοιότητι τόνου. ἔοικε δὲ παθεῖν τοῦτο ἐξ ἀναλογίας τῆς πρὸς τὸ οἰκεῖον ἀρσενικὸν καὶ οὐδέτερον. ἰδοὺ γὰρ ὁ ποιητὴς "ἰῷ ἤματι" φησὶν, ἀντὶ μιᾷ ἡμέρᾳ, μετὰ περισπωμένου τόνου.

429. σύ μοι ἐσσὶ πατὴρ] Ἰστέον ὅτι τὸ σύ μοι πατὴρ καὶ πότνια μήτηρ ἀπέχρησε τινὶ τοιοῦτον εἰπεῖν τῷ Διονύσῳ τὸν Δία γράψαντι οὕτως,

ἄρσην γαστρὶ λόχωσε πατὴρ καὶ πότνια μήτηρ.

433. ἐρινεὸν] Ὁ ἐρινεὸς, ἐρινεώδης ἐστὶ τόπος. περιεκτικὴ γὰρ ἡ λέξις αὕτη, ὡς καὶ τὸ ἄστρον, ὅπερ ἀστέρεών ἐστι πολλῶν. καὶ ὁ ἀσφοδελὸς ἐν Ὀδυσσείᾳ λειμὼν, ἐν ᾧ πολλοὶ ἀσφόδελοι.

434. ἀμβατὸς] Ἤγουν ἀναβαινομένη· ἐπίδρομον δὲ τὸ εὐάλωτον, ὅθεν ἐστὶν ἐπιδραμεῖν καὶ ἀναβῆναι, περίδρομον τὸ στρογγύλον, καὶ ἀμφίδρομον τὸ ἑκατέρωθεν δρόμον ἔχον.

443. ἀλυσκάζω] Τὸ ἀλυσκάζω δύο ἔχει παραγωγάς. ἔστι γὰρ ἀλύω ῥῆμα, οὐ τὸ ἀδημονῶ, ἀλλ' ὡς ἐν Ὀδυσσείᾳ φαίνεται τὸ χαίρω, καὶ ἀνίεμαι καὶ ἐκλέλυμαι· οὗ μέλλων ἀλύσω, καὶ παράγωγον ἀλύσκω, ἐξ οὗ αὖθις παρῆκται τὸ ἀλυσκάζω. λέγουσι δὲ ἀλύειν ἐκτεταμένως οἱ παλαιοὶ, ἤγουν μετὰ μακρᾶς παρα-

ληγούσης, ἐπὶ τοῦ μετὰ λύπης περιπάτου· καὶ μήποτέ φασι τοῦτο ἐσχημάτισται παρὰ τὸ ἀλύτως ἔχειν τὴν ψυχήν. κεῖται δέ φασι καὶ ἐπὶ χαρᾶς, οὐκ ἀπὸ τῆς αὐτῆς ἐννοίας, ἀλλὰ ἀπὸ τοῦ ἀλεαίνεσθαι ψυχὴν, ἤτοι διακεχεῖσθαι.

465. ἑλκηθμοῖο] Ἑλκηθμὸς ἡ βία ἀπὸ τοῦ ἑλκῶ ἑλκήσω. οὐ μόνον γὰρ ἕλκω ἑλκύω, ἀλλὰ καὶ ἑλκῶ περισπωμένως. τούτου δὲ διχῶς ὁ μέλλων παρὰ τοῖς ποιηταῖς, διά τε τοῦ ε̄ ἑλκέσω, ἐξ οὗ καὶ "ἑλκεσίπεπλοι Τρωάδες" αἱ βαθύζωνοι, καὶ διὰ τοῦ η̄ ἑλκήσω, ὅθεν ἑλκηθμὸς ὁ βίαιος τῶν γυναικῶν ἑλκυσμός. τὸ μέντοι ἑλκῶ ἑλκώσω τὸ "ἕλκος ποιήσω" ὕστερον ἐστὶ καὶ κοινόν.

467. πρὸς κόλπον] Κόλπος κατὰ τοὺς παλαιοὺς ἡ ἀγκάλη καὶ τὸ ἄνω τοῦ πέπλου, ὡς δηλοῖ καὶ Ἡρόδοτος εἰπὼν, "ἐνδὺς "χιτῶνα μέγαν καὶ κόλπον πολὺν καταλιπόμενος τοῦ χιτῶνος." εἴληπται δὲ ἴσως ἐξ ὁμοιότητος τινὸς ἀπὸ τοῦ θαλασσίου κόλπου, ὅς ἐστι θάλασσα μεταξὺ δύο ἀκρωτηρίων, ἐτυμολογούμενος ἀπὸ τοῦ κέλλω, ἐξ οὗ τὸ ὀκέλλω, καὶ τὸ προσώκειλε καὶ ἐξώκειλε.

490. ἀλλ' εἰς οἶκον ἰοῦσα] Οἰκεῖον εἶναι γυναιξὶ τὴν οἰκουρίαν γνωματεύει ὁ ποιητής. εὕρηται δὲ καὶ παρὰ Ἡροδότῳ παράδειγμα τοιοῦτον. ἔνθα φησὶν ὅτι Φερετίμη γυνὴ Βάττου τοῦ χωλοῦ, ἀφικομένη παρὰ τὸν Σαλαμίνιον ἤτοι Κύπριον ἐπελθόντα ἐδέετο στρατιᾶς ἐπί τινα πόλεμον. ὁ δὲ πολλὰ πρότερον δοὺς καὶ μὴ θεραπεύων, ἀεὶ γὰρ ἐκείνη τὸ μὲν διδόμενόν φησιν ἐλάμβανε καὶ καλὸν ἔλεγε, κάλλιον δὲ ἔκρινε τὸ στρατιὰν λαβεῖν, τελευταῖον ἐξέπεμψεν αὐτῇ δῶρον ἄτρακτον χρύσεον καὶ ἠλακάτην, ᾗ καὶ εἰρίον προσέκειτο, καὶ προσεπεῖπεν ὅτι τὰς γυναῖκας τοιούτοις δωρεῖσθαι χρὴ, ἀλλ' οὐ στρατιᾷ θνησκούσῃ ἐκ τῶν τραυμάτων.

506. στατὸς ἵππος] Ὁ τῆς ἀγέλης ἀποσπασθεὶς καὶ ἐν φάτνῃ ἐφ' ἱκανὸν στὰς καὶ ἀναπαυθείς. τὸ δὲ τοιοῦτον στῆναι καὶ τὸ ἱππάσιον ποιεῖ καὶ τὸ βουστάσιον καὶ τὸ βούσταθμον, ἃ καὶ ἐν ἁπλότητι σταθμοὶ λέγονται, καὶ σταθμὰ δὲ κατὰ γένους μεταπλασμόν. καὶ τὸν ζωϊκὸν δὲ σηκὸν καὶ ὡς οἷον στηκόν τινα εἶναι, ἀφ' οὗ καὶ ὁ ναὸς σηκὸς, περὶ ὃν δηλαδὴ ἱερεῖα ἵστανται. "ἀκο-"στῆσαι" δὲ τὸ πολυκριθῆσαι. ἀκοσταὶ γὰρ αἱ κριθαί. ἄλλοι δὲ τὸ σχεῖν ἄχος, ἀντὶ τοῦ ἵστασθαι. ἔνιοι δὲ τὸ λαχεῖν ἄχος τῇ στάσει καὶ τῇ τῆς στροφῆς ἀπολαύσει. ἕτεροι δὲ τὸ ἡσυχάσαι,

παρὰ τὸ ἀκὴ ἤγουν ἡσύχως στῆναι. τινὲς γράφουσιν ἀγοστήσας, ὅ ἐστι ῥυπανθεὶς, καὶ διὰ τοῦτο φαντασάμενος τὰς συνήθεις νομὰς καὶ τὰ πρώην λουτρὰ, καὶ φασὶν ὅτι γοῖτος λέγεται ὁ ῥῦπος.

526. ἀρεσσόμεθα] Ἤγουν φιλιωσόμεθα, ἐκ τοῦ ἀρῶ ἀρέσω τὸ εἰς φιλίαν συναρμόττω. ἐξ οὗ καὶ ἀρεστὴρ εἶδος πέμματος ἀρέσκοντος ὡς εἰκὸς, καὶ ἀρθμὸς ἡ φιλία, καὶ ἄρθμιος ὁ φιλιωθεὶς, ἀφ' ἧς καὶ ἀρέσαι τὸ συγκαταθέσθαι, ὅθεν καὶ τὸ εὐαρεστεῖν καὶ τὸ ἀρέσκειν.

Η.

V. 26. ἑτεραλκέα] Ἑτεραλκέα λέγει τὴν νίκην, οἷον ἑτεροκλινῆ καὶ τῷ ἑτέρῳ μέρει τὴν ἀλκὴν ἀεὶ προσνέμουσαν, καὶ οὐκ ἔστι γενέσθαι νίκην ἀντιπάλων, ὅ ἐστιν ἰσοπάλων ὄντων τῶν μαχομένων, εἰ μὴ θάτερον μέρος ἀλκιμότερον γένηται, διὸ καὶ ἡ νίκη παρὰ τὸ ἑνὶ εἴκειν.

44. τῶν δ' Ἕλενος Πριάμοιο] Ἕλενος καὶ Κασσάνδρα βρεφῶν ἄγοντες ἡλικίαν, καὶ τεθέντες που ἐν ἄλσει Ἀπόλλωνος, γλώσσαις ὄφεων τοὺς τῆς ἀκοῆς ἐκαθάρθησαν πόρους, κἀντεῦθεν τὴν μαντικὴν ἄκρως ἐτελέσθησαν, ὡς καὶ φωνῶν θείων ἐπαΐειν. τὸ δὲ "ὄπ' ἄκουσα θεῶν ὀαριστεὺς" ὅ ἐστιν ὁμιλητὰς δαιμόνων εἶναι τινὰς ὑπεμφαίνει, ὁποῖος καὶ ὁ παλαιὸς Σωκράτης, ὃς ὁμιλεῖν αὐτῷ καὶ ἔλεγε καὶ ἐπιστεύετο δαιμόνιον. Ὥσπερ τοῖς ζώοις τροφῆς, οὕτω καὶ τοῖς δένδρεσι κλήσεως ἡ δρῦς μετέδωκε, καὶ δηλοῖ ὡς ἐν ὀλίγῳ φᾶναι ὁ δρυμὼν, ὃς καὶ δρυμὸς λέγεται καὶ οὐδετέρως τὸ δρυμόν· καὶ ὁ δρυκολάπτης καὶ τὰ δρύκαρπα καὶ τὰ δρύφακτα, καὶ αἱ δρυπετεῖς ἐλαῖαι. τῶν δὴ δύο λέξεων, αἱ μὲν δρυπετεῖς ἢ κατά τινας δρυπεπεῖς, οὕτω λέγεται διὰ τὸ ἐν τῇ δρυῒ πεπανθῆναι ἤγουν ἐν φυτῷ ἐλαΐνῳ, αἵτινες ἐλαῖαι καὶ γεργέριμοι κατά τινας ἐλέγοντο. τὰ δὲ δρύφακτα παρὰ τὸ δρυσὶν, ὅ ἐστι ξύλοις φράσσεσθαι, ἢ κιγκλίσιν ἢ τοιοῖσδε τισὶν, ἀπελθόντος τοῦ δευτέρου ρ̄ πρὸς ἔγκλισιν τραχυφωνίας. ὃ πέφευγε καὶ ὁ τὴν τετράπεζαν καλλιφωνήσας εἰς τράπεζαν, καὶ τὸ τετράδραχμον εἰς τετράχμον. ἤδη δὲ καὶ τὸν ἐν τοῖς φρουρίοις συριγγοέμβολον, ὃν καὶ ὡς ἀλλαχοῦ δηλοῦται, ἡ παράκοπος ὁμιλία τζερέμβολον παρακαλεῖ, δι' οὗ ὡς ἐπὶ πολὺ ὕδωρ πορίζονται οἱ πολιορκούμενοι.

συγκειμένου ἀπὸ λέξεων ἰσοδυνάμων ῥητορικῶν τῆς τε σύριγγος καὶ τοῦ ἐμβόλου.

63. Φρὶξ ἐστὶ μελανία πόντου, ὅτε ἄνεμος χεύεται, νέον ὀρνύμενος καὶ ἠρέμα πνέων. τὸ δὲ πεφρικυῖαι ἤγουν πυκναὶ, τὸ φρίσσειν γὰρ πύκνωσιν τινὰ ὀρθωτικὴν δηλοῖ, κατὰ ἥσυχον κίνησιν, οὕτω τρίχες φρίσσουσιν, οὕτω λήϊον καὶ τὰ λοιπά.

76. ἐπὶ μάρτυρος] Ὁ μάρτυς ἀπὸ τοῦ ὁ μάρτυρος συγκέκοπται, διὸ φασὶν οὐδὲ κλίνεται ὁ μάρτυς.

77. ταναηκέϊ χαλκῷ] Τὸ ξίφος λέγει, καὶ ἔστι ταυτὸν ταναήκεα χαλκὸν εἰπεῖν καὶ ταναήκες ἄορ, ὧν δηλαδὴ ταναὸν τὸ ἀκόνημα διὰ τὸ τοῦ σιδήρου πρόμηκες, ἢ τὰ ἐκτανυσμὸν ἥκοντα, ἢ ὧν ταναὴ διόλου ἀκὴ, τουτέστιν ὀξύτης τοῦ στόματος.

81. δῴη] Ἰστέον ὅτι τοῦ δῴη προϋπάρχει τὸ δοίη, αὐτοῦ δὲ πρόκειται κοινὸν πρῶτον τὸ δοῖμι, ἐξ οὗ τὸ δοῖεν ὡς γνοῖεν. ὅτι δέ ποτε τὰ εἰς $\overline{\mu\iota}$ εὐκτικὰ εἰς $\overline{\eta\nu}$ μεταπλάττονται, δηλοῖ αὐτὸ σὺν ἄλλοις ἀριδήλως καὶ τὸ πεφεύγοιμι πεφευγοίην, ὡς ὁ Σοφοκλῆς,

ἐκπεφευγοίην πάθος,

ἔτι δὲ καὶ τὸ εἰδείην ἐκ τοῦ εἰδήκοιμι μεταπλασθὲν, κατά τε συγκοπὴν καὶ ὁμοιότητα τὴν πρὸς τὸ τυφθείην καὶ τὰ τοιαῦτα.

92. πάντες ἀκὴν ἐγένοντο σιωπῇ] Σιωπῶσιν Ἀχαιοὶ ἀκὴν γενόμενοι ἐξ ἀμηχανίας. κρείττων γὰρ σιωπὴ καίριος παρὰ κεκινδυνευμένον λόγον. τὸ δὲ ἀκὴν λέγεται καὶ ἀκασκᾶ, ὡς ὁ Αἴλιος Διονύσιος, καὶ χρῆσιν παράγει Κρατίνου ταύτην,

σκήπτροισιν ἀκασκᾶ προβιβῶντα.

τὸ δὲ ἀνήνασθαι δηλοῖ μὲν τὸ ἀρνήσασθαι, γίνεται δὲ ἀπὸ τοῦ ἀναίνω, αὐτὸ δὲ κατὰ μέν τινας ἀπὸ τοῦ $\overline{\alpha}$ στερητικοῦ μορίου καὶ τοῦ $\overline{\nu\alpha\iota}$, ἵνα ᾖ ἀναίνεσθαι τὸ μὴ διὰ τοῦ ναὶ ἐπιρρήματος κατατίθεσθαι. κατὰ δὲ ἑτέρους ἀπὸ τῆς $\overline{\alpha}$ στερήσεως καὶ τοῦ αἶνος, ὃ δηλοῖ τὴν συγκατάθεσιν.

128. ἐρέων] Τὸ ἐρέων καὶ τὸ αὐτοῦ θέμα πρωτότυπα εἰσὶ τοῦ ἐρευνῶ καὶ ἐρευνῶν, παράγωγον δὲ αὐτοῦ τὸ ἰκνῶ καὶ ἴχνω. ὡς γὰρ ἵκω ἰκνῶ, οἴχω οἴχνω, οὕτω καὶ ἐρέω ἐρεύω, καὶ πλεονασμῷ τοῦ $\overline{\nu}$ Δωρικῶς ἐρευνῶ, κατὰ χρῆσιν κοινὴν, ὥσπερ ἐλάω ἐλαύω Αἰολικῶς, καὶ ἐλαύνω Δωρικῶς.

129. πτώσσοντας] Τὸ πτώσσειν πτήσσειν φασὶν οἱ μεθ᾽

Ὅμηρον, καὶ γίνεται ἀπὸ μὲν τοῦ πτώσσειν ὁ πτωχὸς καὶ ὁ πτώξ, ἀπὸ δὲ τοῦ πτήσσω τὸ κατεπτηχέναι καὶ ὁ κατεπτηχώς. τοιαύτης σκευωρίας καὶ τὸ ἔρρωγε καὶ διερρηκὼς καὶ ῥῆγμα καὶ ῥωχμὸς καὶ ῥωγαλέος.

138. κορυνήτην] Κορύνη μὲν πᾶσα ῥάβδος κεφαλωτὴ παρὰ τὴν κάραν, ὅθεν καὶ ἡ κόρυς. εἰ δὲ τὸ τοῦ ξύλου ἐξ ἄκρου παχὺ σιδηροῦν εἴη, τότε καὶ σιδηρείη καὶ κορύνη λέγεται, ἀπὸ τοῦ κεφαλωτοῦ μέρους οὕτω κληθεῖσα. ὥσπερ καὶ ῥόπαλόν τι λέγεται ἀπὸ τοῦ ἄκρου μὴ ὀρθοῦ ὄντος ἀλλὰ ῥέποντος. οὕτω καὶ ἡ πολεμικὴ κλίμαξ ἀπὸ ξύλου συγκειμένη καὶ σιδήρου, δόρυ μὲν λέγεται διὰ τὸ ξύλον, αἰχμὴ δὲ διὰ τὸν σίδηρον.

143. στεινωπῷ] Στενωποὶ αἱ στεναὶ ὁδοὶ διὰ τὸ ἐν αὐταῖς ἀποστενοῦσθαι τοὺς ὦπας ἐν τῷ βλέπειν. ἀντίκειται δὲ τῷ στενωπῷ τὸ εὐρωπὸν, οὗ χρῆσις καὶ παρὰ Ὀππιανῷ εἰπόντι εὐρωπὸν σπήλαιον τὸ πλατύ.

156. πολλὸς γάρ τις ἔκειτο παρήορος] Ἰστέον ὅτι ἐπὶ μεγαλοσωμάτων ῥηθήσεται καὶ ἐκλύτων. δηλοῖ δὲ τὸ μὲν ἔνθα καὶ ἔνθα τὸ εἰς μῆκος καὶ πλάτος, τὸ δὲ παρήορος, ἀντὶ τοῦ παρηρτημένος, ὅ ἐστι κεχυμένος ὧδε καὶ ἐκεῖ, ἔκλυτος, χαῦνος· καὶ οὕτω πολὺν ἐπέχων τόπον τῷ σώματι. οὐ μόνον δὲ ἵππος παρήορος, ἀλλ' ἰδοὺ καὶ ἄνθρωπος, ὁ μετὰ τὸ πεσεῖν κείμενος, οὐκ ἐν συνοχῇ τινι καὶ συστολῇ, ἀλλὰ πάρετος καὶ ἐκτεταμμένος, κατὰ τὸν εἰπόντα τραγικὸν τόδε,

ἓν γὰρ ἐκτενεῖ σ' ἔπος

ἤγουν εἷς λόγος ἐκτάδην ῥίψει. ὁ δέ γε παρὰ τῷ Θεοκρίτῳ πάραρος, ἑτεροῖος ἐστὶ παρὰ τὸν παρήορον, ὁποῖος ἂν καὶ λαμβάνοιτο. δηλοῖ γὰρ τὸν μὴ φρενήρη. ταυτὸν δ' εἰπεῖν εὖ ἀραρότα κατὰ νοῦν, ἀλλὰ ψευδόμενον τὴν ἱερὰν ἁρμονίαν καὶ παρατετραμμένον τοῦ οὕτως ἀρηρέναι.

166. Ἐνυαλίῳ] Ἐνυάλιος κατὰ μὲν τοὺς παλαιοὺς ὁ πολεμικὸς, ἀπὸ τῆς Ἐνυοῦς, ἤτοι τῆς μάχης, τινὲς δὲ ὥσπερ τὴν Παλλάδα διὰ φόνον τοῦ Πάλλαντος, οὕτω καὶ τὸν Ἐνυάλιον, διάτοι τοιοῦτον κεκλῆσθαι φασίν. Ἀρριανὸς γὰρ ἱστορεῖ ὅτι ἐλθὼν Ἄρης εἰς τὰ ἐπὶ Θράκης χωρία, ὅπου τὰ οἰκεῖα ἦν τῷ Ἐνυαλίῳ, ἤθελε ξενισθῆναι, ὁ δὲ οὐκ ἤθελε δέχεσθαι, φάμενος οὐκ

ἂν ξενίσαι ἄλλον ἢ ὃς κρείσσων αὐτοῦ τὰ πολέμια ἔλθοι. καὶ ὃς, ὥρα σοι, ἔφη, ξενίζειν ἐμὲ, καθότι κρείττων σου τὰ πολεμικά. τοῦ δὲ Ἐνυαλίου ἀποφάσκοντος, ἔρχεται εἰς χεῖρας. καὶ ἐπιπολὺ τῆς μάχης ἐκταθείσης, τέλος ὁ Ἐνυάλιος πίπτει ὑπὸ τῷ Ἄρεϊ πληγεὶς ὅπλῳ τῇ ῥομφαίᾳ, διὸ καθότι μέγα τοῦτο ἆθλον ὁ Ἄρης μέγας ὢν ἐξετέλεσεν, ἐκαλεῖτο ἀπ' αὐτοῦ Ἐνυάλιος.

171. πεπάλαχθε] Τὸ παλάσσειν οὐ μόνον ὡς πολλαχοῦ φαίνεται τὸ μολύνειν, ἀλλὰ καὶ τὸ κληροῦσθαι καὶ λαγχάνειν, ὡς δῆλον ἐκ τοῦ "κλήρῳ πεπάλαχθε." παράγεται δὲ ἀπὸ τοῦ πάλλω τὸ κινῶ, ἐξ οὗ καὶ πάλος ὁ κλῆρος, ὅθεν ἀντίπαλος ὁ κατὰ πάλην ἐναντίος, ἢ καὶ ἰσοπαλὴς ὡς δεδήλωται, ὁ κατὰ πάλον ἶσος. καὶ πάλτον εἶδος τί ὅπλου, ἐξ οὗ καὶ ὁ παρὰ Σοφοκλεῖ δίπαλτος φονεὺς, καὶ παλτὸν πῦρ τὸ κεραύνιον. ἐκ τοῦ πάλλω δὲ καὶ παρὰ Πινδάρῳ διοπαλής[n]. κλῆρος δὲ λέγεται νῦν, ἀπὸ μὲν τοῦ καλεῖν τινὰ εἰς ἔριν, πόλεμον. ἄλλως δὲ ἐν τῷ καθόλου, ἀπὸ τοῦ καλεῖν τινα εἰς προκείμενον ἔργον. τὸ δὲ νῦν

κλήρῳ νῦν πεπάλαχθε διαμπερὲς, ὅς κε λάχῃσιν,

ἀντὶ τοῦ κληρώσασθε, ὅ ἐστι κλήρους βάλετε, τίς ἂν λάχῃ πρῶτος δηλαδὴ ἀντιστῆναι τῷ Ἕκτορι. Τὸ δὲ "διαμπερὲς" ἀντὶ τοῦ ἁπάντων τῶν ἐννέα. κλήρου δὲ σῆμα ἢ περιφραστικῶς τὸν κλῆρον λέγει, ἢ κλῆρον μὲν τὸ σῆμα τὸ διδόμενον πάλλεσθαι, σῆμα δὲ τὸ ἐν αὐτῷ τυπωθὲν σημεῖον. διό φησι κλῆρον μὲν ἐσημήναντο ἕκαστος. οὐ γράμματα δὲ νοητέον τὰ τοιαῦτα ἐξ ἀνάγκης σήματα, εἴδωλα δέ τινα ἢ ἁπλῶς ἐκτυπώματα ἐν ὑποκειμένῳ εὐτελεῖ, λιθίνῳ τυχὸν ἢ ξυληφίνῳ, ἢ τοιούτῳ τινί. Αἴας οὖν τοῦ αὐτοῦ κλῆρον ἐκ τοῦ κήρυκος λαβὼν, ὃν αὐτὸς ἐπιγράψας κυνέῃ ἔβαλεν, παρὰ πόδας χαμάδις ἔρριψεν, ὡς ἀτελῆ τινα ὄντα. ζητητέον δ' ἐνταῦθα καὶ τὸν παρὰ Σοφοκλεῖ "δραπέτην κλῆρον," ὃς εὐτελὴς ἦν καὶ αὐτός.

190. Τὸ δὲ ἤτοι "κλῆρος ἐμὸς" ἐχρησίμευσεν εἰς μέλος ἐξ Αἰσχύλου τὸ

τοιαῦτ' ἀπηύρω τοῦ φιλανθρώπου τρόπου.

οὕτω δὲ καὶ Σοφοκλέους τὸ

μιᾶς τρέφει πρὸς νυκτὸς

ἐπὶ Τειρεσίᾳ ῥηθὲν, ἐλυσιτέλησεν εἰς τὸ νύκτα τῷ ἐκ γενετῆς

[n] δυσπαλὴς Eustath.

τυφλῷ εἶναι τὸν ὅλον βίον. Ἰστέον ὅτι κλῆρος ἐλέγετο τὸ παρὰ τοῖς παλαιοῖς καὶ ἡ κατὰ βίον οὐσία. ὅθεν καὶ ἐπίκληρος γυνὴ, θυγάτηρ αὕτη γεγαμημένη τινὶ, ἐπὶ ὅλῃ τῇ τοῦ πατρὸς οὐσίᾳ. ἐπίπροικος δὲ ἡ ἐπὶ προικί. ὅτι δὲ εἰς εὐτυχίαν ὁ Ἑρμῆς ἐλαμβάνετο, δηλοῖ καὶ τὸ ἑρμαῖον. ἦν γὰρ Ἑρμοῦ κλῆρος φύλλον ἐλαίας, ὃ κατὰ τιμὴν τοῦ θεοῦ φασὶν εἰώθεσαν ἐμβάλλειν καὶ πρῶτον ἀνέλκειν.

194. εὔχεσθε] Εὐχὴ παρὰ τὸ εὔχεσθαι, συντέθειται ὡς οἷα τῶν εὐχομένων ἐχομένων τοῦ θείου. τὸ δὲ χεῖρας ὑπόσχέθειν, ὅ ἐστιν ὑποσχεῖν, τὸ ὑπτιάσαι τὴν δεξιὰν εἰς ὑποδοχὴν, καὶ ὡς εἰπεῖν ὑποκάτω σχεῖν τοῦ διδομένου.

218. χάρμῃ] Ἡ μάχη, ὥσπερ ἀπὸ τοῦ σφαγεῖν γάννυσθαι, καὶ μάχαιρα ἀπὸ τοῦ αἵμασι χαίρειν, οὕτω καὶ χάρμη ὡς τῶν ἀνδρείων χαιρόντων ἐν μάχαις. Ὄρθρος παρὰ τὸ ὀρθοῦσθαι εἰς ἔργον. καὶ νὺξ ἀπὸ τοῦ νύσσω νύξω ἀποβολῇ τοῦ ω̅. λαλεῖται δέ φασι τοῦτο ἀντιφραστικῶς, οὐ γὰρ νύσσει πρὸς ἔργον, ἀλλὰ μᾶλλον κατατίθησιν, ὡς δηλοῖ καὶ τὸ θοὴ νὺξ ἡ καταθετική.

332. Τὸ κυκλήσομεν νεκροὺς, ἀντὶ τοῦ τροχοῖς ἀγάγομεν, ἢ μάλιστα ἐφ᾽ ἁμαξῶν κομίσωμεν, ὡς ἀπὸ μέρους, τὰ γὰρ κύκλα ἤτοι οἱ τροχοὶ μέρος ἁμάξης.

333. Ὅρα ὅτι οὐ μόνον βόες ἀλλὰ καὶ ἡμίονοι ὑπὸ ζυγὸν ἤγοντο, καθάπερ καὶ ἵπποι, διὸ καὶ ὑποζύγια λέγονται.

333. κατακήομεν] Τὸ κείομεν φαίνεται διὰ τοῦ ε̅ ψιλοῦ εἶναι. τὸ κέω ἐπὶ τοῦ πυρὸς παρὰ τοῖς παλαιοῖς, ἐξ οὗ τὸ κατακείομεν, καὶ μετ᾽ ὀλίγον νεκροὺς κείομεν. ἔοικε δὲ οὔτε ἔχειν τοῦ ῥήματος ἡ διάθεσις κέω κῶ τὸ πρωτότυπον, ἐξ οὗ παράγωγον τὸ ἕτερον τὸ διφθογγογραφούμενον.

441. σκόλοπας] Σκόλοπες ὀρθὰ ξύλα, ὧν ἀπωξυμένων ἡ κατὰ γραμμὴν εὐθεῖα στάσις, ἔοικεν ἡπλωμένῃ πτέρυγι· διὸ καὶ σταυροῖσι κορσωτὴν πτέρυγα τὴν τούτων ἔκτασιν ἔφη τις. λέγονται οὖν οἱ τοιοῦτοι σκόλοπες καὶ σταυροὶ, διὰ τὸ ἵστασθαι κατ᾽ εὖρος, ἢ παρὰ τὸ ἀνίστασθαι εἰς ἀέρα ἠρμένως. ἐκ δὲ τούτων τὸ ἀνασκολοπίζειν καὶ τὸ σταυροῦν. τοὺς δὲ τοιούτους καὶ κατὰ παραφθορὰν καλοῦντες σταύαρα καλοῦσι.

444. θηεῦντο μέγα ἔργον] Ἤγουν ἐθαύμαζον, ἐκ τοῦ θήω θήσω,

ἐξ οὗ καὶ θηητὸν τὸ θέας ἄξιον. καὶ ἔστιν εἰπεῖν ὅτι καθὼς θεωρεῖν ἐστὶ κυρίως τὸ βλέπειν, οὐ κατὰ νοῦν φιλοσόφοις ὀφθαλμοῖς νοεροῖς, ἀλλὰ τοῖς κατὰ σῶμα, οὕτω θαυμάζειν ἀπὸ θέας καὶ αὐτὸ ὁμοίως, καὶ θάμβος δὲ ὡσαύτως, ὅπερ κατὰ θέαν βαίνει εἰς ψυχήν.

463. ἀμαλδύνηται] Τὸ ἀμαλδύνειν λέξις ἐστὶ ποιητικὴ, πεζῷ λόγῳ δύσχρηστος. γίνεται δὲ ἀπὸ τοῦ ἁμαλὸν, ὃ δηλοῖ τὸ ἁπαλὸν, πλεονασμῷ τοῦ δ̄, ὅθεν καὶ ἀμαλάπτειν παρὰ Λυκόφρονι, τὸ οἷά τι ἁπαλὸν καὶ εὔφθαρτον ἀφανίζειν, ὡς δηλοῖ τὸ

ἠμάλαψε κάρχαρος κύων.

ἐκεῖθεν δὲ ἐν Ὀδυσσείᾳ καὶ τὸ "ἄρν' ἀμαλὴν" ἐν συναλοιφῇ, ἤγουν τὴν ἁμαλὴν ἤτοι τὴν ἁπαλὴν ἄρνα.

472. οἰνίζοντο] Ἄψογον μὲν τὸ οἰνίζεσθαι, οὐκ ἐπαινετὸν δὲ τὸ οἰνοῦσθαι, μέθην γὰρ ἡ λέξις αἰνίττεται, ὡς δηλοῖ καὶ παρὰ Σοφοκλεῖ τὸ "οἰνωθεὶς" τὸ δὲ οῑ ἀναύξητον τοῦ οἰνίζοντο καὶ ἑτέρων τινῶν, σημειῶδες ἐστὶ τοῖς παλαιοῖς.

473. αἴθωνι σιδήρῳ] Αἴθων λέγεται σίδηρος, ἢ ὁ λαμπρὸς ἀπὸ τοῦ αἴθω τὸ λάμπω, ἢ ὁ καυστηρὸς ἐκ τοῦ αἴθω τὸ καίω, ἢ ὃν δεῖ καυθῆναι, ἵνα κατεργασθῇ.

475. ἀνδραπόδεσσι] Ἀνδράποδον ὁ δοῦλος, ὡς ἀνδρῶν ὄντας τοὺς δούλους πόδας ἤτοι τῶν δεσποτῶν, οἵπερ εἰς κεφαλὰς ἐκείνοις λογίζονται. ὅτι δὲ οἱ τῶν ἀνδραπόδων πορισταὶ, τοῖς ἐμπόροις ἀνδραποδισταὶ λέγονται, οἷς ἡ Θετταλία εὐθήνει παλαί ποτε, καὶ ὅτι οὐκ αἰχμάλωτα ἐξ ἀνάγκης τὰ ἀνδράποδα, εἴγε τὰ πλείω κλέπτονται, δῆλον ἐστί.

476. παννύχιοι] Ἐκ φυσικῆς κλίσεως ἀπαθὲς τὸ παννύχιοι, καθὰ καὶ τὸ εἰαννχὲς καὶ αὐτονυχὶ, καὶ ἄλλο τοιοῦτον. τὸ μέντοι ὁλονύκτιος, καὶ τὸ νυκτερινὸς, καθὰ δηλοῖ καὶ αὐτὸ τὸ νυκτὸς, διπαθῶς ἔχουσι. τὸ μὲν γὰρ φυσικὸν νὺξ νυχὸς, ἐκ τοῦ νύχω νένυχα, ἐξ οὗ καὶ ὄνυξ ὄνυχος. ἐξ αὐτοῦ δὲ κατὰ πάθος τροπῆς τε καὶ πλεονασμοῦ, νυκτὸς, ὡς ἄναξ ἄνακος ἄνακτος.

Θ.

V. 39. Τριτογένεια] Ἀλληγορικῶς ἡ φρόνησις, ἐπεὶ κατὰ Δημόκριτον τρία ταῦτα γίνεται ἐξ αὐτῆς· τὸ εὖ λογίζεσθαι, τὸ

λέγειν καλῶς τὸ νοούμενον, καὶ τὸ ὀρθῶς πράττειν αὐτήν. ἢ ὡς ἐν τρίτῃ μηνὸς γεννηθεῖσαν τὴν Ἀθηνᾶν, οὕτως λέγει αὐτὴν ὁ μῦθος. ἢ ὡς ἐκ τῆς τοῦ Διὸς κεφαλῆς γενομένην. τριτὼ γὰρ κατὰ γλῶσσαν Κρητῶν ἡ κεφαλή. ἢ ἀπὸ τοῦ Τρίτωνος Λιβυκοῦ ποταμοῦ.

74. σέλας] Σεομένη ὕλη, ὅ ἐστι σευομένη καὶ ἐξορμῶσα τοῦ πυρὸς δηλαδὴ, ἢ πυρώδους τινὸς, οὕτω σέλας ἄστρου φαμὲν καὶ πυρὸς καὶ λαμπάδων.

80. οὖρος] Ὁ φύλαξ ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω, προορῶνται γὰρ τὰ ἐπιόντα οἱ φύλακες, ὅθεν καὶ φρουροὶ λέγονται.

84. καίριον] Ἢ τὸ θανάσιμον παρὰ τὴν κῆρα, ἢ τὸ εὔκαιρον εἰς κίνδυνον, διὰ τὸν ὑποκείμενον ἐγκέφαλον.

85. ἐγκέφαλον] Ἐγκέφαλος καὶ τὸ τοῦ φοίνικος δένδρου κορυφαῖον ἄνω, ὃ καὶ γλυκύτατόν ἐστι φαγεῖν.

87. παρηορίας] Ἤγουν τὰς τοῦ παρηόρου ἵππου ἡνίας.

89. ἰωχμὸν] Κατ' ἔλειψιν τοῦ δ̄ τὴν δίωξιν. ὅτι δὲ λέξεις πολλαὶ τοῦ κατ' ἀρχὴν ἐκπίπτουσαι συμφώνου, τὸν αὐτὸν αὖθις νοῦν σώζουσιν, ἐδηλώθη ἔν τε τῷ χλιαρὸς λιαρὸς, καὶ περὶ ἐρι, τοῦ ἐπιτατικοῦ μορίου, καὶ πήγανον ἥγανον, καὶ σμικρὸν μικρόν.

150. ἀπειλήσει] Ἤγουν καυχήσεται. γίνεται δὲ ἡ τοιαύτη λέξις παρὰ τὴν ἀπο πρόθεσιν καὶ τοῦ εἰλεῖν. ἀποστρέφεται γὰρ ὁ καυχώμενος τοὺς ὑπερηφανευομένους, καθὰ καὶ ὁ ἄλλως λόγοις τοῖς πρὸς ὀργὴν ἀπειλούμενος. ὁ μέν τοι εὐχόμενος ἀπειλεῖσθαι λέγεται παρὰ τὰς ἱερὰς φασὶ πέλλας, ἤτοι φιάλας, αἷς χρῶνται οἱ θεοκλυτοῦντες. πλεονάσαντος ἐκεῖ τοῦ ᾱ, ἵνα ᾖ ἀπελὴ ἡ εὐχὴ, καὶ ἐπενθέσει τοῦ ῑ ἀπειλή. δῆλον δὲ ἐκ τῶν τῆς Ὀδυσσείας ὡς πελλαὶ οὐχ ἁπλῶς φιάλαι ἀλλ' αἱ πελεκηθεῖσαι.

209. ἀπτοεπὲς] Εἰ μὲν δασύνεται, δηλοῖ τὸ ἁπτομένην ἐν ἔπεσι καὶ ὑβριστικὴν, ὅθεν καὶ ἡ συρφετώδης γλῶσσα φησὶν ἀψούς.

231. ὀρθοκραιράων] Ὀρθοκεφάλων, κραῖρα γὰρ Ἀττικῶς τὰ παρὰ τὴν κεφαλὴν, ὅθεν ἐψίλωταί τις παρὰ τῷ κωμικῷ "τὴν "ἑτέραν ἡμίκραιραν," ἤτοι τὸ ἡμίκρανον, ἐντεῦθεν καὶ νῆες ὀρθόκραιραι, ὧν τὰ ἄκρα εἰς ὀρθὸν ἀνίστανται.

248. Νεβρὸς οὐ τελεία ἔλαφος, ἀλλὰ νεωστὶ βορὰν δεχόμενος,

εἶτα γίνεται κεραυὰς[o], τὰ δὲ τέλεια ἔλαφοι. εἰ μὴ ἄρα φασὶν οἱ ἀχαΐναι καὶ οἱ σπαθίναι λεγόμενοι ἡλικίᾳ τινὶ διαφέρουσιν, ἢ εἴδει καὶ κέρασιν ἰδιότητι καὶ μεγέθει. λέγει δὲ αὐτὸς καὶ τὰς πρόκας ἐπὶ ἐλάφου τεθεῖσθαι. εἰ δὲ καὶ αἱ δορκάδες ἐλάφου εἴδη κατὰ τὰς πρόκας, ἄλλοθι ζητητέον.

281. Τεῦκρε] Βασιλεὺς ἦν καὶ εὐγενὴς ὁ Τεῦκρος, Ἡσιόνῃ γεννηθεὶς τῇ ἀδελφῇ τοῦ Πριάμου, ἣν ὁ Τελαμὼν γέρας ἔλαχε πολέμου ἐν Τροίᾳ ποτὲ ὑφ' Ἡρακλέους, ὅτε διὰ τοὺς ἵππους τοῦ Λαομέδοντος πλεύσας εἷλε τὴν Τροίαν. διὸ καὶ οἰκείως ἐκλήθη Τεῦκρος ἐπιχώριον ὄνομα, Τεῦκροι γὰρ ἐκαλοῦντο οἱ Τρῶες.

Ib. φίλη κεφαλὴ] Ἰστέον ὅτι ἐν τῷ φίλη κεφαλὴ τὸν ὅλον Τεῦκρον ἐδήλωσεν ἀπὸ τοῦ καιριωτάτου μέρους. καθόλου γὰρ οὐκ ἔστιν ἄλλως ἀπὸ μέρους καλέσαι τὸ ὅλον, εἰ μὴ τὸ μέρος ἐκεῖνο εἴη λόγου ἄξιον, τοιοῦτον σὺν ἄλλοις καὶ τὸ

ὤνησας κραδίαν Διός.

ἤγουν αὐτὸν τὸν Δία, καὶ

ἤγομεν ἐνθάδε πάντα.

ἐκ μέρους γὰρ τοῦ τῶν ἀγομένων ἐμψύχων καὶ τὰ φερόμενα ἐξ αἰχμαλωσίας, ὡς ἄψυχα ἐδήλωσε, τουτέστι τὰ φορτίου δίκην βασταζόμενα. Ἰστέον δὲ ὅτι Ὁμήρου ἀρχὴν ἐνδόντος, λαλεῖται παρὰ τοῖς ὕστερον οὐ μόνον τιμία κεφαλὴ, καὶ ἀξία τοῦ παντὸς καὶ σεβασμία, ἀλλὰ καὶ ἀνάπαλιν κακὴ κεφαλὴ, καὶ ἀναιδὴς, καὶ μισητὴ, καὶ τὰ τοιαῦτα.

291. Τὸ "ἐμὸν λέχος εἰσαναβαίνοι" ἐκερδάνθη μὲν τῷ βασιλεῖ ἐκ τῆς τοῦ Νέστορος δημηγορίας, εἰπόντος, ἄλοχοι δὲ, αἱ τῶν Τρώων δηλαδὴ, "ἄλλοισι μιγεῖεν" σεμνῶς δὲ πέφρασται.

306. μήκων] Ἀπὸ τοῦ μήκους παρωνόμασται, μάκων εἰσέτι καὶ νῦν παρ' ἐνίοις λεγομένη. λέγεται ἡ αὐτὴ καὶ κώδεια. ἔστι δὲ καὶ σηπίας μέρος λεγόμενον μήκων.

321. χερμάδιον] Ἰστέον ὅτι ἀπὸ τοῦ χειρὶ μάσασθαι, ἤγουν ἅψασθαι, λέγεται λίθος χερμάδιος, ἤγουν χειροπληθής.

327. ὀκριόεντι] Ὀκριόεις λίθος ὁ ἔχων ἄκρα καὶ τραχύς.

337. βλεμεαίνων] Ἤγουν τῇδε κακεῖσε περιβλέπων ἢ βρεμεαίνων καὶ βλοσσυρῶς βλέπων, ὥσπερ λέων μετὰ ἀνδρίας.

[o] κεμάδες Eustath.

340. γλουτοὺς] Τὸ γλουτὸς σφαίρωμα κοτύλης. ἢ τὸ ὄπισθεν βαθὺ τῶν μηρῶν, ἁπαλὸν καὶ γλοιῶδες, ὡς οἷον γλοιτός.

361. ἀλιτρὸς] Ὁ τοῦ δέοντος ἀλιτῶν τουτέστιν ἁμαρτῶν, ἵνα ᾖ ἀλιτὸς, καὶ πλεονασμῷ τοῦ ρ̄ ἀλιτρός. ἀλείτω γὰρ ὁ ἐνεστὼς, ὁ β̄ ἀόριστος ἤλιτον, καὶ ἀπ' αὐτοῦ ἀλιτηρὸς καὶ ἀλιτρὸς καὶ ἀλιτήριος. ἔστι δὲ ἀπὸ τοῦ αὐτοῦ θέματος καὶ ἀλοιτὸς παρὰ Λυκόφρονι. ὁ μῦθος τὴν Γοργόνην τεράστιόν τι χρῆμα καὶ δεινὴν ὀφεοπλόκαμον οἶδε.

Τῷ κατὰ τὸν ᾄδην Κερβέρῳ κυνὸς κεφαλὰς προσάπτουσι τρεῖς. οὐρὰν δὲ προσπλάττουσι δράκοντος, ἐπὶ δὲ νώτου προσφύουσιν ὄφεων κεφαλὰς, καὶ τὴν τούτου ἐξ Ἅιδου ἀναγωγὴν, ἕνα φασὶν εἶναι τῶν Ἡρακλέους ἄθλων, οἳ ἐν μηνὶ καὶ ἔτεσιν ὀκτὼ ἐκείνῳ ἠνύθησαν. ἡ δὲ ἀλληγορία ἐκ μέθης αὐτὸν ὑπονοεῖ, ἢ ἄλλο τί τοιοῦτον κακὸν παρὰ τὸ κέαρ βαρύνειν, ὅ ἐστι τὴν ψυχὴν, οὐδὲ Κερβέρου περιγίνεται ὁ Ἡρακλῆς, ὁ εἰς τὸν λόγον ἀναγόμενος.

"Αἱ ὧραι" ὑπηρετικαὶ τινὲς πλάττονται δαίμονες.

435. πρὸς ἐνώπια] Τοὺς ἀντικρὺ τῆς εἰσόδου τοίχους, οἳ ἐν ὀφθαλμοῖς εἰσι τῶν παροδευόντων ἔξωθεν. ἢ τὰ ἐν τῇ τῶν θυρῶν εἰσόδῳ καὶ ἐξόδῳ πλάγια.

Βωμοὶ οὐ μόνον ἐφ' ὧν ἔθυον, ἀλλὰ καὶ κτίσματι ἀνάστημα, ἐφ' οὗ ἔστι βῆναι τί καὶ τεθῆναι.

441. Τὸ δὲ "κατὰ λῖτα πετάσσας," ὕφασμά τι λιτὸν καὶ οὕτω σκεπάσας ἐκ τούτου τὸ καταπέτασμα. τὸ δὲ λῖτα ἔχει καὶ δοτικὴν εἰς ῑ λήγουσαν, γένους καὶ αὐτὸ οὐδετέρου, οἷον

ἑανῷ λίτι κάλυψεν

ἤγουν εὐτελεῖ τινι περιβολαίῳ οἷον λινῷ, καὶ γίνεται κατὰ μεταπλασμὸν τῆς δοτικῆς τῆς τῷ λιτῷ, οὗ ἡ αἰτιατικὴ τὸ λῖτα βαρυνόμενον, διὰ τὸ μηδέποτε δισύλλαβον αἰτιατικὴν ἑνικὴν εἰς ᾱ λήγουσαν ὀξύνεσθαι, πλὴν τοῦ τινά. γίνεται δὲ παρὰ τὸ βῶ βωμὸς, ψῶ ψωμός. τὸ δὲ πολεμίζειν κυρίως τὸ παλάμῃ κινεῖν, ὅθεν ἴσως καὶ πόλεμος καὶ παλαμναῖος.

455. πληγέντε] Ἀντὶ ἀρσενικοῦ ἢ οὐδετέρου ἐσχημάτισται τὸ πληγέντε, ὥσπερ ὁ Ἡσίοδος ἐπὶ θηλυκοῦ τὸ "αἰδὼς καὶ νέμεσις, "προλιπόντε" λέγει. καὶ ὁ Σοφοκλῆς,

ἴδετε τώδε κασιγνήτω

ἀντὶ τοῦ ταύτας τὰς ἀδελφάς.

457. ἐπέμυξαν] Μύζειν ἐστὶ τὸ μεμολυκότων χειλέων ἦχον ἀποτελεῖν διὰ τῆς ῥινὸς, ἐξ οὗ καὶ ὁ μυκτὴρ, καὶ ἡ μύψ. καὶ κοινῶς ἀπομύσεσθαι, οὗ χρῆσις ἐν τῷ "πατὴρ τῷ ἀγκῶνι."

478. νείατα] Ἤγουν πέρατα, ἔνθα ἤγουν ἡ ἀπείρων γῆ τελειοῦται. εἴρηται γὰρ πρὸς διαστολὴν καὶ ἑτέρων περάτων κελεύθου καὶ ὁδοῦ, ἅπερ οὐκ ἤδη καὶ νείατα. Ὅρα ὅτι τὸν Τάρταρον ὑπόγεον ἐν βάθει ἀέρα ὁρίζεται ἡλίῳ ἀφώτιστον βάθους νοουμένου, τὰ περὶ τὰ νείατα πέρατα γῆς καὶ πόντου.

479. Ἰαπετὸς] Κατὰ τοὺς παλαιοὺς ἡ ὀξυκινησία τοῦ οὐρανοῦ παρὰ τὸ ἵεσθαι καὶ πέτεσθαι. Κρόνος δὲ ὁ τῶν λοιπῶν ἀνωτάτω πλανητῶν, ὃς ὑπὸ γῆν ἐνεχθεὶς ἐν τῷ τὴν ἀπλανῆ στρέφεσθαι κατωτάτω γίνεται, καὶ οἷον ταρταροῦσθαι δοκεῖ, ἅμα τῷ οὐρανίῳ ἡμισφαιρίῳ περὶ ᾧ τυχὸν ἐκεῖνος εἶναι. καὶ τοῦτο μὲν ἀεὶ γίνεται, οἷα ποτὲ μὲν ἀνωτάτω αὐτῶν ὄντων, ποτὲ δὲ κατωτάτω στρεφομένων. ὁ δὲ μῦθος τὸ φυσικῶς γινόμενον καὶ διηνεκῶς κατὰ τὸ πάλιν καὶ πάλιν τὴν ῥηθεῖσαν δηλαδὴ τοῦ Ἰαπετοῦ καὶ Κρόνου κατένεξιν, εἰς κόλασιν ἐκείνας ἀπένειμε, καὶ ὡς καθάπαξ κάτω ῥιφέντας ἐκεῖ μένειν φησὶ τοῦ λοιποῦ ψευδόμενος ἐπί τι καὶ αὐτός.

485. Ὠκεανὸς ἐνταῦθα ἀλληγορικῶς διανοητὸς κύκλος ὁ τὸ τοῦ κόσμου φανερόν τε καὶ ἀφανὲς ὁρίζων, ἤγουν τὸ ὑπὲρ γῆν ἡμισφαίριον καὶ τὸ ὑπὸ γῆν.

512. ἀσπουδεί] Ἀντὶ ῥᾶον καὶ ἀμογητὶ καὶ δίχα κακοπαθείας.

518. Ὅρα ὅτι παῖδας καὶ τοὺς πρωθήβας λέγει ὁ ποιητὴς, καὶ ὅτι οὐχ ἁπλῶς παῖδας ἀνάγει ἐπὶ πύργους φυλακῆς νυκτερινῆς χάριν· πῶς γὰρ οἱ νηπίαχοι παῖδες καὶ οἱ μικρόν τι ὑπὲρ αὐτοὺς πόνον τοιοῦτον ἀναδέξονται; ἀλλὰ παῖδας πρωθήβας. δῆλον δὲ ὡς ἐκ τῆς ἥβης οὐ μόνον εἰς η̄ς̄ παράγονται ἀρσενικὰ ὀνόματα, ὧν καὶ ὁ πρωθήβης, ἀλλὰ καὶ εἰς ο̄ς̄, ὡς δηλοῖ τὸ παρὰ Θεοκρίτῳ "ἄναβος παῖς" καὶ παρ' Αἰσχύλῳ "ἔξηβος·" εἴη δ' ἂν ἴσως που καὶ πρώθηβος, ἐξ οὗ καὶ ἐν Ὀδυσσείᾳ τὸ "πρωθήβην ἔτ' ἐοῦσαν." Ἰστέον ὅτι ὥσπερ ὁ πρωθήβης, οὕτω καὶ ὁ ἔφηβος διαφέρουσι τῶν παίδων. οἱ δὲ παῖδες τῶν παιδαρίων καὶ τῶν παιδίσκων, καθὰ δηλοῖ ὁ εἰς πλάτος γράψας περὶ τῶν εἰρησομένων. βρέφος τὸ ἄρτι γεγονὸς παιδίον τὸ τρεφόμενον ὑπὸ τήθης. παιδάριον τὸ

περιπατοῦν καὶ ἤδη λέγειν ἀντιλαμβανόμενον, παιδίσκος ὁ τῆς ἐχομένης ἡλικίας, παῖς ὁ δι' ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι. τὴν δὲ ἑξῆς ἡλικίαν, πάλακα καὶ βούπαιδα καὶ ἀντίπαιδα, καὶ μελλέφηβον ἀποκαλοῦσι· τοὺς δὲ μετ' αὐτοὺς ἐφήβους, Κυρηναῖοι μὲν τριακάπους καλοῦσι, Κρῆτες δὲ ἀποδρόμους, οὐ διὰ τὸ πεπαῦσθαι τῶν δρόμων, καθὰ δὴ σημαινόμενον τῆς ἀπὸ προθέσεως, ἄπιχθυς λέγεται ὁ μὴ ἐσθίων ἰχθῦς, καὶ ἄπινος[o] θυσία ἡ νηφάλιος, καὶ ἀποβώμια ἱερὰ τὰ μὴ ἐπὶ βωμοῦ ἀλλ' ἐπὶ ἐδάφους καθαγιαζόμενα, καὶ ἀπόμουσος ὁ ἄμουσος, καὶ ἀπότριβες[p] παρὰ Καλλιμάχῳ οἱ ἄνηβοι. ἀλλὰ δηλαδὴ ἀπόδρομοι ἐν Κρήτῃ οἱ μήπω τῶν κοινῶν δρόμων μετέχοντες ἔφηβοι, μεθ' οὓς φασι τὸ μειράκιον, εἶτα μεῖραξ καὶ νεανίσκος καὶ νεανίας ὁ αὐτός. Λάκωνες δὲ τούτους ἱππεῖς ἐκάλουν, καὶ τοὺς προεστῶτας αὐτῶν ἱππαγρέτας. ἔχεται δὲ τῶν τοιούτων ἐπέων ἡ ἡλικία, ἡ τοῦ ἐν καιρῷ νυμφίου, μεθ' ὃν ὁ κατὰ εἰκὸς πατὴρ, εἶτα ἀνὴρ νέος, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκὼς ὑποπόλιος καὶ ὠμογέρων, εἶτα γέρων ὁ πρεσβύτης, εἶτα ὁ ἐσχατόγηρως· πολιοκρόταφοι δὲ οἱ ἐκεῖθεν ὡς τὰ πολλὰ πολιοῦσθαι ἀρχόμενοι, ὡς παρασημειοῦται καὶ Θεόκριτος εἰπὼν

ἀπὸ κροτάφων πελόμεσθα
πάντες γηραλέοι

διὸ καὶ κρόταφος κατά τινος ὁ κηρύσσων τάφον, εἰ καὶ ἕτεροι παρὰ τὸ κροτεῖν περὶ τὴν ἁφὴν ἐτυμολογοῦσιν αὐτὴν διὰ τὸ σφύζειν, ὥσπερ ἐστὶ νυκτὸς ἀντὶ τοῦ κατὰ τὴν νύκτα, οὕτως καὶ ἠοῦς ἀντὶ τοῦ κατὰ τὴν πρωΐαν Ἀττικῶς. Ἰστέον δὲ ἐκ τοῦ ἄνω τὸ κηρεσιφορήτους οὐ τοὺς ἐνεργητικῶς ἐπάγοντας κῆρας τοῖς Τρωσὶν, ἀλλὰ οὓς κῆρες φέρουσι, πάσχοντας τὸ φέρεσθαι, ἤγουν οἳ ἐπὶ κακῷ ἑαυτῶν ἡμῖν ἐπεστράτευσαν.

551. Ἰστέον ὅτι ἐν τῷ "φαεινὴν ἀμφὶ σελήνην" οὐ τὴν πλησιφαῆ νοητέον καὶ πλησισέληνον. ἐν ταύτῃ γὰρ ἀμαυρὰ τὰ ἄστρα ὥσπερ αὐγαζόμενα, καθὰ καὶ ἡ Σαπφώ που φησιν·

ἀστέρες μὲν ἀμφὶ καλὰν σελάναν
ἂψ ἀποκρύπτουσιν φαεινὸν ἦθος.
ὁπόταν πλήθησι μάλιστα λάμπει
γᾶν

[o] ἄοινος Eustath. Leg. ἄποινος.   [p] ἀπότριχες Eustath.

ἀλλὰ φαεινὴν λέγει κατὰ Ἀρίσταρχον τὴν φύσει τοιαύτην, κἂν μὴ πλήθουσα εἴη φωτός. οὕτω γὰρ καὶ Ναυσικάα εἰς πλυνοὺς ἰοῦσα φέρει ἐσθῆτα φαεινήν. οὐ τὴν τότε φαεινὴν, πλυνθῆναι γὰρ αὐτὴν ἔδει, ἀλλὰ τὴν κατὰ τὸ ἴδιον λαμπράν· εἰς γὰρ τὴν ἰδιότητα τῆς ἐσθῆτος ἐκεῖ ἀναφέρεται ἡ λέξις.

553. πρώονες] Πρὼν πρωνὸς ὁ ὑψηλὸς τόπος. πρώονος δὲ πλεονασμὸν ἔχει τοῦ ο, ὡς λώονος, ἀπὸ τὴν προϊὼν μετοχὴν ἐκβολῇ τοῦ ι.

554. νάπαι] Ἰστέον ὅτι ἡ νάπη γίνεται ἀπὸ τοῦ νη ἐπιτατικοῦ καὶ τοῦ πῶ τὸ πίνω, ὅθεν ἐστὶ τὸ πίνειν τὰ ἐκεῖ ζῶα. ἢ ὡς οἱ παλαιοί φασιν ἀπὸ τοῦ νη στερητικοῦ καὶ τοῦ φῶ τὸ λάμπω, οἱονεὶ νάφη τίς ἡ ἀφώτιστος, καὶ οὐ κατὰ τὰς σκοπιὰς ἐκκειμένη φωτί. καὶ ἔχει προσφυῶς ἡ ἐτυμολογία τῇ παραβολῇ, τοσαύτη γὰρ ἡ φαῦσις, ὡς καὶ τὰς νάπας φωτισθῆναι. ὅτι δὲ τὸ νη καὶ ἐπίτασιν δηλοῖ καὶ στέρησιν, δεδήλωται καὶ ἐν ταῖς τοῦ Περιηγητοῦ. δῆλον δὲ καὶ ὥσπερ ἡ νάπη, οὕτω καὶ τὸ νέφος, στέρησιν φωτὸς δοκεῖ δηλοῦν, καὶ ὅτι εὕρηται οὐδετέρως καὶ νάπος, ὁμοίως τῷ βλάβη βλάβος, κνίσση κνίσσος, πάθη πάθος. καὶ ὅτι ἀντιδιαστέλλονται ὥσπερ αἱ σκοπιαὶ, οὕτω καὶ οἱ πρῶνες ταῖς νάπαις. αἱ μὲν γὰρ ἐξοχαὶ ὀρῶν, ἐν αἷς τὸ πρωῒ μάλιστα διαφαίνεται, ὅθεν καὶ ἐτυμολογεῖσθαι δοκεῖ τισι τοὺς πρῶνας, αἱ δὲ χθαμαλαί εἰσι καὶ διὰ τοῦτο ἀφώτιστοι.

I.

V. 5. *βορέης καὶ ζέφυρος*] Βορέας ἐτυμολογεῖται παρὰ τὴν βορὰν, ἁδρύνει γὰρ τοὺς στάχυας, ὡς τὰ πρὸς τὸ ζῆν φέρων ἔαρος πνέων. σημείωσαι δὲ ὅτι ὁ μὲν Βορέας δι' ἑνὸς ρ γράφεται. ὁ δὲ Βορρᾶς διπλοῦν ἔχει τὸ ρ, ὥσπερ στερρὸς στερεός. Ζέφυρος δὲ ὡς ἀπὸ τοῦ ζόφου οὖρος, ἤτοι ἐκ τῶν πρὸς δύσιν ἄνεμος.

63. Ἀφρήτωρ γίνεται κατὰ τοὺς παλαιοὺς ἢ παρὰ τὴν δηλωθεῖσαν φήτρην, ἣ δηλοῖ τὴν τριτὴν, τουτέστι τὸ τρίτον τῆς φυλῆς. ἢ παρὰ τὴν φατρίαν καὶ τοὺς φράτορας· σύστημα δὲ τοῦτο ἐν Ἀθήναις τοὺς κτιζομένους ἀπογραφόμενον. ὥστε φανερῶς εἶναι ὅτι πολῖται εἰσὶ, καὶ ἔστι τῷ λόγῳ τούτῳ ἀφρήτωρ ὁ ἄπολις. ἦν καὶ κατὰ τὴν ἱστορίαν καὶ φράτιον τόπος ὡραϊσμένος, ἐν ᾧ οἱ τῆς

φατρίας συνήγοντο· καὶ φατριάζειν εὐφωνότερον ἐλέγετο παρὰ Ἀττικοῖς τὸ εἰς ταυτὸ συνιέναι. ἐγράφετο δὲ καὶ φράτηρ διὰ τοῦ η̄, καὶ φράτωρ διὰ τοῦ ω̄, ὁ ἐκ τῆς αὐτῆς φατρίας.

Ib. ἀθέμιστος] Ἡ δέ γε Θέμις ἐδόκει θεά τις εἶναι τοῦ δικαίου φυλακτική, διὸ καὶ τῷ Διῒ ἐλέγετο πάρεδρος· ἐκλίνετο δὲ Θέμιδος καὶ Δωρικῶς Θέμιτος, ὅθεν καὶ θεμιτὸν καὶ ἀθέμιτον, πλεονασμῷ δὲ τοῦ σ̄, ἀθέμιστος, ὡς τὸ "Θέμιστι καλλιπαρήῳ," ἀφ' οὗ καὶ θέμιστος καὶ Θεμίστιος κύριον.

64. ἔραται] Τὸ ἔραται ἢ ἀπὸ τοῦ σεσιγημένου ἐνεστῶτος τοῦ ἔρημι, ἐξ οὗ τὸ παθητικὸν ἔραμαι, ὁ παθητικὸς παρακείμενός ἐστιν ἀναύξητος ἀπὸ τοῦ ἐράω ἐρῶ. οὕτω δὲ διχῶς δύναται καθίστασθαι, ὡς τὸ ἄγαμαι.

74. Δεῖ τὸν στρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθαι δὲ τὸ ἄριστον.

100. τῷ σε χρὴ πέρι μὲν φάσθαι ἔπος] Χρεών ἐστι τὸν βασιλέα καὶ βουλὴν εἰπεῖν ὑπὲρ τοὺς ἄλλους, καὶ ἑτέρου λέγοντος ἐπακοῦσαι· "κρηῆναι" δὲ φησὶν ἤτοι τελέσαι,

καὶ ἄλλῳ ὅταν τινα θυμὸς ἀνώγοι
εἰπεῖν εἰς ἀγαθὸν, σέο δ' ἕξεται ὅττικεν ἄρχῃ.

τουτέστι σου τοῦ βασιλέως λογισθήσεται, καὶ σοῦ ἅψεται, καὶ σὸν ἔσται, ὅπερ ἐν τῇ βουλῇ ἀρχικὸν καὶ πρωτεῦον φανείη. ὡς γὰρ αἱ κατὰ μάχην ἀριστεῖαι τοῖς βασιλεῦσι προσλογίζονται, οὕτω καὶ τὰ ἐκ τῆς βουλῆς, εἴπερ αὐτοὶ πάρεισιν ἀγαθά· δυσμίμητος δὲ φράσις τὸ

σέο δ' ἕξεται ὅττικεν ἄρχῃ,

ληφθεῖσα ὡς ἀπὸ πείσματος, ὅ ἐστι σχοίνου, ἀρχομένου μέν ποθεν, συνδέοντος δὲ τὸ πρὸς τῷ ἑτέρῳ ἄκρῳ ἄλλό τι· καὶ δηλοῖ ὡς ἔκ τινος ἀγαθὸς τοῖς πολεμίοις. θαλλεία δὲ ὡς καρδία παροξυτόνως, αὐτὴ ἡ εὐωχία, δι' ἧς θάλλει τις, ὡς οἷον καί τι θάλος, ἐξ ἧς καὶ ἀτασθαλία κατά τινας ἡ ἐπιτραπέζιος ὕβρις. θάλεια μέν τοι προπαροξυτόνως, εὐωχίας ἐπίθετον. Ἰστέον ὅτι ἀπὸ τοῦ πήσσειν γίνεται καὶ ἡ ναύπακτος καὶ τὸ πακτοῦν, ὅ ἐστιν ἀσφαλίζεσθαι, οὗ χρῆσις παρά τε Σοφοκλεῖ ἐν τῷ "καὶ δῶμα πάκτου" ἤγουν ἀσφαλῶς σύγκλειε. καὶ παρὰ τῷ κωμικῷ ἐν τῷ "κἀπακτώσαμέν γε," ἤγουν καὶ ἐπακτώσαμεν.

180. δενδίλλων] Παρὰ τὸ δινεῖν τοὺς ἴλλους ὧδε κακεῖσε, ἐξ ὧν ἰλλοὶ παρὰ τῷ κωμικῷ οἱ στραβοὶ, ἀφ' ὧν τὸ ἰλλίζειν καὶ ἐπιλλίζειν.

203. Ἰστέον ὅτι τινὰ τῶν ἀντιγράφων τὸ "κέραιε" κέραιρέ φασιν, ἵνα γίνηται τὸ μὲν κέραιε ἀπὸ τοῦ κερῶ κεραίω, ὡς ἀγῶ ἀγαίω τὸ θαυμάζω καὶ μέμφομαι, τὸ δὲ κέραιρε ἀπὸ τοῦ κερῶ κεραίρω, ὡς σπῶ σπαίρω καὶ ἀσπαίρω. καὶ ὅτι μᾶλλον ἐπὶ ἀκράτου νοεῖται τὸ ζωρὸν, ἐχρῆν γὰρ ἀνδράσι καμοῦσιν ἄκρατον ἐγκερασθῆναι δι' ὄνησιν. ὥς που καὶ ἡ Ἑκάβη ποιῆσαι ἠθέλησε κεκμηκότι τῷ υἱῷ Ἕκτορι.

213. Ἀνθρακιὰ ἀναλόγως ἔχει τῷ μυρμηκιὰ, πυρκαϊὰ, ἀχυρμιά. ἔστι δὲ τόπος περιεκτικός. ὡς γὰρ ἡ ἀχυρμιὰ περιέχει ἄχυρα, καὶ μύρμηκας ἡ μυρμηκιὰ, οὕτω καὶ ἄνθρακας ἡ ἀνθρακιά.

241. Τὰ κόρυμβα τῶν νηῶν ἀποκόψειν ὁ Ἕκτωρ ἀπειλεῖ, ἢ ὡς ἂν μὴ ἅψηται τὸ πῦρ τῶν ἐντετυπωμένων αὐτοῖς ἀγαλμάτων. ἢ μάλιστα κατὰ παλαιὸν ἔθος ἀναθήσειν αὐτὰ ναοῖς ἐγχωρίοις εἰς τρόπαια. κόρυμβα δὲ τὰ ἄκρα ἢ ἀκροστόλια καὶ οἷα κορυφαὶ νεῶν. Ἡρόδοτος οὖν τὸν τοῦ ὄρους φησιν κόρυμβον, ἤτοι τὴν κορυφήν.

323. ἀπτῆσι νεοσσοῖσι] Ἀπτὴν γίνεται παρὰ τὸ πτῶ πτήσω πτὴν καὶ ἀπτὴν, ὥσπερ παρὰ τὸ ἔχω ἀεχὴν καὶ ἐν συναιρέσει ἀχὴν ὁ πτωχός· νεοσσὸς δὲ ὁ νέον ἤγουν νεωστὶ σευόμενος, κινούμενος. ἢ ὁ νέον ὀσσόμενος ἤτοι φῶς βλέπων. οἱ δὲ παλαιοὶ γράφουσι καὶ οὕτω. ὀρνίθων τὰ ἐν ὄψει ἤδη ὄντα, νεοσσοί· κατὰ δέ τινας ὀρτάλιχοι. Ἀχαιὸς δὲ σκληρότερον ἔφη τὸν

χάσκοντα λιμῷ μόσχον χελιδόνος,

δέον ὂν εἰπεῖν νεοττὸν, ἤγουν, ἀλλὰ χελιδονιδῆ.

337. μαλακῷ στρατιώτῃ ἐπιλεχθείη ἂν τὸ "τῇ," ἤγουν ταύτῃ "παριαύων" καὶ περικαθεύδων "τερπέσθω." τί δε δεῖ πολεμίζειν; Ἀχιλλεὺς δὲ τοῦτο φησὶ πρὸς τὸν τοῦ βασιλέως λόγον εἰπόντος ὀμόσειν μέγα ὅρκον μήποτε ἐπιβῆναι εὐνῆς καὶ μιγῆναι τῇ Βρισηΐδι, οἱονεὶ λέγων, τί μοι τοῦτο; εἴπερ οὐκ ἐμίγη αὐτῇ, μιγνύσθω ᾗ ἔχει.

Ἰστέον ὅτι τὸ ἀπάφοιτο, οὗ ἐνεργητικὸς δεύτερος ἀόριστος τὸ ἤπαφον, προϋπόκειται τὸ ἀπαφῶ, ἐξ οὗ τὸ ἀπαφίσκειν παράγωγον.

ἔστι γὰρ κυρίως ἀπάφεσθαι τὸ δι' ἀφῆς ἀπατᾶσθαι, ἀφ' οὗ καὶ ἡ μυθικὴ Παφεία κατ' ἔλλειψιν τοῦ τῆς προθέσεως ε̄. Αἰολικὴ δὲ λέξις τὸ ἀπάφοιτο καὶ τὰ ὅμοια κατ' αὐτὸ, ὡς δῆλον ἐκ τῆς ψιλώσεως τοῦ ᾱ. τὸ γάρ τοι κοινὸν ἀφάφοιτο ἂν καὶ ἐφαφᾶσθαι.

378. Τὸ "τίω δέ μιν ἐν καρὸς αἴσῃ," ὡς Ἀμερίας καὶ Νεοπτόλεμος οἱ γλωσσογράφοι φασὶν, ἀντὶ τοῦ ἐν μισθοφόρου τίθεμαι τάξει, καὶ ἴσον αὐτὸν ἔχω Καρὶ ἀνδρί· ἐλοιδοροῦντο γὰρ καὶ δι' ἀτιμίας ἥγοντο οἱ ἐν τῇ Βοιωτίᾳ κείμενοι Κᾶρες, ὡς πρῶτοι μισθὸν ὑπὲρ μάχης λαβόντες, καὶ χρημάτων ἀποδόμενοι ψυχάς· καὶ τὴν εὐγενῆ ἐπικουρίαν καπηλεύσαντες, καὶ πρὸ τοῦ πολέμου ἀνδραποδισθέντες τῇ μισθοφορᾷ, καὶ χρήμασιν ἤδη ἀπαχθέντες αἰχμάλωτοι. καὶ μὴν ὥς φησιν Ἀπίων, οὐ καλῶς ἂν ὁ Ἀγαμέμνων Καρὶ ἐοικέναι λέγοιτο, ἀλλὰ μᾶλλον ὁ Ἀχιλλεὺς ὁ πρὸς ὑποσχέσεις μαχόμενος καὶ εἰπὼν, "ἐκ γὰρ δή μ' ἀπάτησε." καὶ ἄλλως δὲ εἰ καὶ ἐμισθοφόρησαν οἱ Κάρες, ἀλλ' οὐκ ἐπὶ τῶν Τρωϊκῶν, οὐδ' ἐπὶ τοῦ Ὁμήρου. πόθεν οὖν φησιν οἶδεν Ἀχιλλεὺς μισθοφόρους τοὺς Κάρας; ἐφ' οἷς λέγει ὁ αὐτὸς, ὅτι τινὲς ἓν μέρος λόγου ἀκούσαντες καὶ προπαροξύναντες ἔγκαρος ἔγραψαν, καὶ τὸν φθεῖρα ἀπέδωκαν, ἵνα λέγῃ ὁ Ἀχιλλεὺς, ὅτι ἐν αἴσῃ ἔγκαρος, ἤγουν φθειρὸς, τίθεμαι τὸν Ἀγαμέμνονα. ἢ ἐν δυσὶ μέρεσι λόγου, ὡς τὸ τιμῶ αὐτὸν ἐν μοίρᾳ καρὸς, ἤγουν φθειρὸς τοῦ περὶ κεφαλὴν, τουτέστι τοῦ μηδενὸς τιμῶμαι αὐτόν.

Ἰστέον ὅτι τοῖς παλαιοῖς ἱερὸν ἡ κεφαλὴ ἐνομίζετο, καί τινες δι' αὐτὸ ἀπείχοντο μυελοῦ. δῆλον δὲ ἐκ τοῦ κατ' αὐτῆς ὀμνύειν πολλούς· καὶ ἐν πταρμοῖς δὲ προσκυνεῖσθαι αὐτήν· καὶ μάλιστα διὰ τὸ ἁπάσας ἐν αὐτῇ τὰς αἰσθήσεις εἶναι. ὅτι δὲ τοῦ δένδρου φοίνικος ὁ ἐγκέφαλος ἡδύτατος ὢν, ὅμως κεφαλαλγής ἐστι σφόδρα, καὶ ὡς ἐξαιρεθεὶς αὐαίνει τὸν φοίνικα, ἡ πεῖρα ἱκανῶς ἔδειξε.

388. Ἰστέον ὅτι ἐκ τοῦ γαμεῖν οὐ μόνον αἱ γαμήλιοι ᾠδαὶ καὶ δᾶδες, ἀλλὰ καὶ πλακοῦς φασὶ γαμηλιῶν ἐν γάμοις πεσσόμενος, καὶ ὄνομα μηνὸς Ἀθήνησιν. ἔστι δὲ καὶ ἀρχὴ τοῦ γαμβρὸς ἡ τοιαύτη λέξις, ὡς δηλοῖ ποτε καὶ τὸν πενθερόν. ἔτι δὲ καὶ τὸ γαμέτης ὁ ἀνὴρ καὶ γαμετὴ ἡ γυνή.

394. Ἰστέον ὅτι τὸ γαμῆσαι μὲν τὸ εἰς γάμον ἀγαγεῖν, ἤτοι γυναῖκα λαβεῖν, γαμέσαι δὲ διὰ τοῦ ε̄ τὸ γυναῖκα δοῦ-

ναι, ὡς δηλοῖ ἐνταῦθα τὸ "Πηλεὺς δέ μοι ἔπειτα γυναῖκα γα-" μέσσεται."

Ἰστέον ὅτι τὸ ὄστρακον φέρει τὸν θαυμαζόμενον μαργαρίτην λίθον, ὃν καλοῦσιν Ἰνδοὶ μέρβερι. ἔστι δὲ ἐκεῖνο κτενὶ παραπλήσιον, οὐ διέγλυπται δὲ, ἀλλὰ λεῖον ἐστί. τὸ μὲν γέγλυπται κοινῶς λέγεται, τὸ δὲ διέγλυπται Ἀττικῶς.

Ἰστέον ὅτι τοῦ Φοίνικος ὁ πατὴρ ἦν Ἀμύντωρ, ἡ μήτηρ Ἱπποδάμεια, καὶ ἡ παλακὴ, ᾗ ἐμίγη ὁ Φοίνιξ, Κλυτία.

404. Ἀφήτωρ ὁ Ἀπόλλων, ἢ ὁ τοξότης, ἐκ τοῦ ἀφίημι τὸ πέμπω, ἀφήσω, ἐξ οὗ καὶ ἥμων ὁ ἀκοντιστής. ἢ ἐκ τοῦ ᾱ, ὃ δηλοῖ τὸ ὁμοῦ, καὶ τοῦ φῶ τὸ λέγω, οἱονεὶ ὁμοφήτωρ, ὁ πᾶσι διδοὺς τὰς ὀμφάς. ἐν δὲ τοῖς Γεωργίου φέρεται ὅτι ἀφήτορα τινὲς νοοῦσι θησαυρὸν, ὅθεν "ἀφήτορος οὐδὸν," τὸν κατὰ γῆς θησαυρόν.

408. Τὸ ληϊστὸς ἀπὸ τοῦ ληΐζω γίνεται.

436. Πῦρ ἀΐδηλον τὸ μὴ ἶζον, ἤγουν καθήμενον, ἀλλὰ προϊὸν καὶ νεμόμενον τὰ παρατυχόντα, ἵν' ᾖ ἀΐζηλον, καὶ συνήθει τροπῇ τοῦ ζ̄ εἰς δ̄, ἀΐδηλον.

Ἰστέον ὅτι ἀγαθοὶ διδάσκαλοι οἱ παθημάτων πεῖραν σχόντες, καὶ ἑαυτοὺς ἀνακτησάμενοι, καὶ Χείρωνα γάρ φασι τρωθέντα ποτὲ τὴν χεῖρα, τὴν διὰ βοτανῶν ἐπινοήσασθαι ἰατρικήν. καὶ τὸν Σηλυβριανὸν παιδοτρίβην Ἡρόδικον διὰ πόνον ἐμπεσόντα φθόῃ μελετῆσαι τὰ περὶ δίαιταν.

449. Παλλακαὶ καλοῦνται μὲν ἀκριβῶς τῶν παιδίσκων αἱ νέαι, καθὰ καὶ τῶν ἀρρένων πάλλακες. ταύταις δὲ ἡσσώμενοι ποτὲ διὰ τὴν ἀκμὴν οἱ δεσπόται, ἀφιᾶσι καλεῖσθαι αὐτὰς οὕτως, κἂν μηκέτι νέαι ὦσι. Δαιμόνια τιμωρητικὰ αἱ ἐριννύες, μάλιστα μὲν ἐκδικοῦσαι τὰ εἰς γονεῖς ἁμαρτήματα, δοκοῦσαι δὲ καὶ λοιποῖς ἐπεξιέναι ἁμαρτήμασι. καὶ ὅτι παρὰ τὸ ε̄ρ̄ῑ ἐπιτατικὸν καὶ τὸ ἀνύειν αὐταῖς τὸ ὄνομα, ὡς ἄγαν ἀνυτικαῖς καὶ σπουδαίαις. ἀνύειν γὰρ καὶ σπεύδειν παρὰ Ἀττικοῖς, ἢ ὡς τὰς ἀρὰς ἀνύουσαι.

457. Ζεύς τε καταχθόνιος] Ὁ τοῦ μύθου Πλούτων, Περσεφόνη δὲ ἄκοιτις αὐτοῦ. περὶ δὲ τούτους αἱ ἐριννύες. διὸ δοκοῦσι καὶ ἀπὸ τοῦ ἔρας νέεσθαι τὴν κλῆσιν λαχεῖν. ἐπαινετὴ δὲ οὐ μόνον ἡ αἰνὴ ἀλλὰ καὶ ἡ αἰανὴ, διὰ τὸ ἐν σκότῳ εἶναι.

Ib. Περσεφόνεια] Ἀπὸ τοῦ φθέρσαι ἤγουν φθεῖραι Αἰολικῶς,

καὶ τοῦ φόνου, ὡς τῶν θνησκοντων ἢ κατὰ φύσιν πιπτόντων, ὃ διὰ τοῦ φθείρεσθαι δηλοῦται, ἢ κατὰ βίαν, ὃ διὰ τοῦ φόνου παρασημαίνεται.

493. Τὸ "στρεπτοὶ καὶ θεοὶ αὐτοὶ," ἀπόφθεγμα λέγουσιν οἱ παλαιοί. ἀπόφθεγμα δέ ἐστι βιωφελής τις προφορὰ δι' ὀλίγων λέξεων, οἷον τὸ "γνῶθι σαυτὸν," καὶ τὸ "ἐγγύα, πάρα δ' ἄτα." ταῦτα τὰ ἐπίθετα νοητέον εἰς ταπεινότητα τῶν ἁμαρτανόντων, καὶ ἐκ μεταμελείας ἐπὶ τὸ λιτανεύειν προτρεπομένων.

499. Ἔτι δὲ παραβλῶπας τῶν ὀφθαλμῶν ἢ τὼ ὀφθαλμὼ διαγράφει τὰς λιτὰς, τουτέστι διεστραμμένας τὴν ὄψιν, παραβαλούσας τοὺς ὦπας καὶ παραγούσας τῆς κατὰ φύσιν ὄψεως. καὶ ὡς οἱ παλαιοί φασι στραβὰς καὶ πλαγιομμάτους διά τε τὴν τῆς ὄψεως περιτροπὴν καὶ οἷον διαστροφὴν, καὶ διότι οὐχ ἱλαρὸν τὸ βλέμμα τοῖς λιταζομένοις, ἀλλ' ὡς εἰπεῖν δυσβλεποῦσιν ἐκεῖνοι, ὅθεν καὶ ἡ δυσωπεία τὴν κλῆσιν ἔλαβεν.

501. Γραφικῶς γὰρ οἷον ἐκτίθεται ὁ ποιητὴς εἰδωλοποιῶν τὰ περὶ τὰς λιτὰς καὶ τὴν ἄτην, καὶ τὰ τῶν πασχόντων ἴδια, ἤγουν τὰ τῶν ἀτέμνων καὶ τὰ τῶν λιταζομένων. μετατιθεὶς ὡς ἔν τινι ζωγραφίᾳ εἰς τὴν ἄτην καὶ εἰς τὰς λιτὰς, καὶ χαρακτηρίζων κατὰ συνήθειαν γραφικὴν τε καὶ ποιητικὴν τὰ πάθη ἐκ τῶν ἐχόντων αὐτά. καὶ τὴν μὲν ἄτην λέγει σθεναρὰν καὶ ἀρτίπουν, διὰ τὸ τοὺς βλάπτοντας ἀσθενῶς ἔχειν, καθὸ βλάπτοντας καὶ ἐπιταχύνοντας τὸν καιρόν. ἐν ἄλλοις δὲ καὶ ἁπαλοὺς εἶναι τοὺς πόδας τῇ ἄτῃ ἐρεῖ, ὡς ἀνεπαισθήτως τὰ πολλὰ τινῶν βλαπτομένων, ἀψοφητὶ τῆς ἄτης ἐρχομένης. τὰς δὲ λιτὰς χωλὰς ζωγραφεῖ, πρὸς διαστολὴν τῆς ἀρτίποδος ἄτης, διὰ τὸ σχολαίῳ ποδὶ καὶ οἷον συμπεποδισμένους βαίνειν τοὺς λισσομένους. καὶ ῥυσὰς δὲ διὰ τὸ σχῆμα τοῦ προσώπου τῶν ἱκετευόντων, οἷς σκυθρωπάζον καὶ συναγόμενον ῥυκνοῦται τὸ πρόσωπον. ἢ καὶ ἄλλως φράσαι ῥυσὰς, ἤγουν γραώδεις, συνεστραμμένας, ἐρυτιδωμένας. ῥυτίδες δὲ αἱ περὶ τὸ πρόσωπον συστροφαὶ τοῦ δέρματος.

504. κούρας Διὸς] Ἰστέον ὅτι Διὸς θυγατέρες ἀλληγορικῶς αἱ λιταὶ ἤτοι νοὸς μηχανωμένου θεραπείαν ταύτην τοῖς κακουμένοις, τὴν μέντοι ἄτην σιγᾷ τίνος ἐξεγένετο. δόξει δὲ οὐ τοῦ Διὸς εἶναι, ἀλλὰ ἀρεϊκή. εἰ δὲ καὶ Διὸς, οὕτω γὰρ ὁ μῦθος

βούλεται, ἀλλ' αὐτοῦ γεννῶντος Ἀθηνᾶν καὶ λιτὰς, ἀλλ' ὃς καὶ τὸν Ἄρην γεννῆσαι λέγεται, ἵνα εἶεν ὁμοπάτριοι. ἄτη τε καὶ Ἄρης οἱ βλαπτικοί. λέγονται δὲ χωλαὶ ὥσπερ καὶ χωλὸς, ὧν ἡ βλάβη παρὰ τὸ κῶλον τοῦ ποδὸς, ἵν' ῇ. ὥσπερ παρὰ τὸν εὖ ἔχοντα ἴλλον, ἰλὸς ὀξυτόνως ὁ τὸν ἴλλον διάστροφος, οὕτω καὶ παρὰ τὸ κατὰ φύσιν κῶλον, κωλὸς καὶ χωλὸς, ὁ τὸ τοιοῦτον κῶλον πεπονθώς. φέρεται δὲ καὶ παρὰ τοῖς παλαιοῖς καὶ Χῶλος κύριον, ὡς πῶλος βαρυτόνως, πρὸς διαστολὴν τοῦ ῥηθέντος χωλοῦ. ῥυσαὶ δὲ ἀπὸ τοῦ ἐρύω τὸ ἑλκύω, ἐξ οὗ καὶ ῥυτὶς, παρελκύεται γὰρ τὸ δέρμα τοῖς ῥυτιδουμένοις.

535. Ἡ κατὰ Μελέαγρον ἱστορία ἐστὶ τοιαύτη. Οἰνεὺς ἀπαρχὰς θύων κατὰ Εὐριπίδην, ὅπερ ὁ ποιητὴς "θαλύσια ἐν γουνῷ "ἀλωῆς ῥέζειν" φησὶν, τοῖς μὲν ἄλλοις θεοῖς ἔρεξεν ἑκατόμβας, οἳ καὶ ἐδαίνυντο, μόνῃ δ' οὐκ ἔρεξεν Ἀρτέμιδι, "ἢ λάθετο," φησὶν, "ἢ "οὐκ ἐνόησεν. ἀάσατο δὲ μέγα θυμῷ. ἡ δὲ χολωσαμένη ὦρσε χλούνην "σῦν, ὃς κακὰ πολλὰ ἐποίει." τά τε τοῦ Οἰνέως καὶ τὴν λοιπὴν βλάπτων Αἰτωλίαν. τὸν δὲ ὁ τοῦ Οἰνέως ἀπέκτεινε Μελέαγρος, πολλῶν ἐκ πολίων θηρατῆρας ἄνδρας ἀγείρας καὶ κύνας, ἐν οἷς ἀνδράσιν οὐ μόνον ἦσαν οἱ ὑπὸ τὸ σκῆπτρον τοῦ Οἰνέως, ἀλλὰ καὶ Κουρῆτες οἱ πλησιόχωροι. οὐ μὲν γάρ φησιν ἐδάμη παύροισι βροτοῖσιν, ἀλλὰ δηλονότι πολλοῖς,

τόσσος ἔην. πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς.

καὶ ὁ μὲν σῦς οὕτως ἔκειτο. ἡ δὲ Ἄρτεμις ἀμφ' αὐτῷ ἔθηκε πολὺν κέλαδον,

ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι
Κουρήτων τε μεσηγὺ καὶ Αἰτώλων μεγαθύμων,
ὄφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζε,
τόφρα δὴ

ἤγουν ἕως δὴ τότε.

538. ἄνθεσι μήλων] Μῆλα τὰ ἀκρόδρυα λέγει ἐκ μέρους, καθὰ καὶ ἀκρόδρυα καὶ δρύκαρπα ἐξ ἑνὸς δένδρου καὶ τῆς πάλαι τροφηφόρου δρυός. ἐκ δὲ τοῦ τοιούτου μήλου λέγεται καὶ ἡ μέλισσα, ὡς μήλοις ἐφιζάνουσα, παρὰ τὸ μῆλον καὶ τὸ ἵζω τὸ κάθημαι, τοῦ η̄ συσταλέντος εἰς ε̄.

542. πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς] Περιφραστικῶς

ἀντὶ τοῦ πολλοὺς ἐθανάτωσε, τοὺς καυθέντας, ὧν εἷς καὶ ὁ παρὰ τῷ Λυκόφρονι Ἀγκαῖος, ὃς ἀμπελῶνα κατὰ πολλὴν σπουδὴν φυτεύσας, ἀκούσας ποθὲν ὡς οὐκ ἂν τοῦ ἐκεῖθεν οἴνου πίει, καὶ ψευδῆ τὸν λόγον εὐχόμενος ἐλεγχθῆναι, ἦλθεν εἰς τοῦτο καιροῦ ὡς τελεσφορηθῆναι καρπὸν ἐκεῖθεν, καὶ οἶνον ἐκθλιβῆναι, οὗ ὡς ἔμελλεν Ἀγκαῖος πιεῖν ἤλεγχε τὸν φοιβάσαντα. ὁ δὲ εἰπὼν ὡς πολλὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου, τέως μὲν ἔδοξε γελοῖος, ἐν ἀκαρεῖ δὲ κατεφάνη σπουδαῖος. ἀκούσας γὰρ Ἀγκαῖος εὐθὺς τήν τε τοῦ συὸς βοὴν, ῥίπτει μὲν τοῦ οἴνου τὴν κύλικα, ἐκδραμὼν δὲ σπᾷ τὴν τοῦ θανάτου, πεσὼν ὑπὸ τῷ συΐ. λέγεται δὲ ὡς καὶ ὁ Θερσίτης ἐκ τοῦ κατὰ τὴν τοιαύτην θηρατικὴν κινδύνου, μεταποιηθῆναι τῆς κατὰ φύσιν πλάσεως. τοῦ δὲ πυρᾶς ἐπέβησαν ὁμοιότης καὶ ἐν τῷ ἀοιδῆς ἐπέβησαν, ἤγουν ᾄδειν ἐδίδαξαν. μάλιστα δὲ ἐν τῷ

δόξης οὔποτε τῆσδ' ἐπιβιβάντες

ἀντὶ τοῦ οὔποτε τοῦτο δοξάσαντες.

545. Κουρήτων] Ἐκλήθησαν οἱ Αἰτωλοὶ Κουρῆτες, ἢ διὰ τὸ Κούριον ὄρος ὑπερκείμενον Πλευρῶνος, ἢ παρὰ τὴν κουράν. ἐπεὶ γὰρ κατὰ τὸν Γεωγράφον οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τοῖς ἔμπροσθεν κατέσπων αὐτοὺς, ὄπισθεν τοῦ λοιποῦ ἐκόμων, κειρόμενοι τὸ ἔμπρρσθεν, διὸ καὶ Κουρῆτες ἐλέγοντο.

Ὅρα καὶ τὸ "οἰδάνει" χωρὶς τοῦ ῑ, ὅμοιον τῷ "μελάνει δέ τε "πόντος." ἀστείως δὲ πρὸς τὸ ἔδυ χόλος ἐπῆκται τὸ "οἰδάνει "χόλος." ἅπασα γὰρ ἐξοίδησις οὕτω γίνεται δῦντος ἔσω τινὸς, οἷον πνεύματος ἢ ἑτέρου σώματος. διὸ καὶ ὁ τοῦ Μελεάγρου νοῦς ἐξῴδηκε, δύντος αὐτὸν χόλου. Ἀλθαία δὲ νῦν μὲν κύριον, ἡ δὲ ὕστερον χρῆσις καὶ φυτοῦ ὄνομα οἶδεν ὁμωνύμου τῇ Ὁμηρικῇ Ἀλθαίᾳ, ὁποῖον καὶ ἐπὶ τῆς καλαμίνθης καὶ ἐπὶ ἄλλων λέγονται. τὸ δὲ κεῖσθαι τὸν Μελέαγρον, πάνυ καιρίως εἶπεν. οὕτω γάρ που καὶ περὶ τοῦ Ἀχιλλέως ἀπρακτοῦντος φησὶ, τὸ δ' αὐτὸ δηλοῖ καὶ τὸ παρακατιὼν, ἐν τῷ

ταύτῃ παρακατέλεκτο, χόλον θυμαλγέα πέσσων.

τὸ δὲ πέσσειν χόλον καὶ ἐν τῇ α' ῥαψῳδίᾳ εἴρηται. καὶ νῦν δὲ ἀναμνῆσαι οὐ περιττὸν ὅτι καθ' Ἡρακλείδην τοῦ πέσσω τὸ πέπτω προὔπεστιν, ὡς καὶ τὸ ὄσσω τοῦ ὄπτω. οἷα τῶν Αἰολέων ἐν τοῖς εἰς $\overline{\pi\tau\omega}$ λήγουσι ῥήμασιν τὸ $\overline{\pi\tau}$ εἰς δύο $\overline{\sigma\sigma}$ τρεπόντων. διόπερ ὁ

ποιητὴς ἄμφω εἰδὼς τά τε προϋποκείμενα καὶ τὰ ἐξ αὐτῶν Αἰολικὰ ἐκ μὲν τοῦ πέπτω, τὸ "αὐτῆμαρ καταπέψῃ" ἔφη, ἐκ δὲ τοῦ Αἰολικοῦ πέσσω τὴν ἐνταῦθα μετοχὴν, καὶ τὸ "γέρα πεσσέμεν." οὕτω δὲ καὶ ἐκ μὲν τοῦ πρωτοτύπου ὄπτω τὸ ὀπτῆρα λέγει, καὶ τὸ ὀπτεύειν δὲ ἀπ' αὐτοῦ παράγει καὶ τὸ "ὄψεαι ἢν ἐθέλησθα," ἐξ ἐκείνου λέγει, καὶ τὸ ὀπὸν ἐκεῖθεν σκευωρεῖ. ἐκ δὲ τοῦ κατὰ Αἰολέας ὄσσω τὸ ὄσσεσθαι λέγει, καὶ τὸ "ὀσσόμενος πατέρ' "ἐσθλόν." καὶ οὕτω μὲν τὰ τοῦ Ὁμήρου. οἱ δὲ ὕστερον ἐκ τοῦ πέπτω πέψω πέπεμμαι καὶ πέμμα παράγουσι, καὶ τὸν πέπωνα δέ τινες ἐκ τοῦ αὐτοῦ ἐνεστῶτος παράγουσι. ἐκ δὲ τοῦ εἰκὸς μέσου παρακειμένου πέποπα, τὸ πόπανον, πέμμα τί ὂν καὶ αὐτό. καὶ μὴν τοῦτο καὶ ἄλλως δοκεῖ κληθῆναι παρὰ τὸ πόπος, ὅ ἐστι θεὸς καὶ τὸ ἄναξ, ἵν' ᾖ πόπανον, τῷ πόπῳ, ἤγουν ἄνακτι ὁσιούμενον. ὡς δὲ τοιοῦτον ἦν τι τὸ πόπανον, δηλοῖ ὁ κωμικὸς ἐν τῷ Πλούτῳ.

558. Κῆϋξ[q] τίς ἔχων γυναῖκα εἰς τοσοῦτο ἦλθε φυσήματος ὡς ἑαυτὸν μὲν τῷ Διὸς καλεῖσθαι ὀνόματι, τὴν δὲ ἑαυτοῦ γυναῖκα τῷ τῆς Ἥρας. ὅθεν ἀχθεσθεὶς ὁ Ζεὺς εἰς ὄρνεις αὐτοὺς μετέβαλε. καὶ ἀναγκάζει χειμῶνός τε νεοττεύειν αὐτοὺς καὶ περὶ αἰγιαλόν.

575. Τὸ ὂν πεντήκοντα ζευγῶν ἢ ἀροτήρων, γύης γὰρ μέρος ἀρότρου, ἢ τὸ πεντηκοντάπλεθρον· γύη γὰρ μέτρον γῆς τί.

582. κεδνότατοι] Οἱ ἄξιοι μελήσεως διὰ τὸ φιλεῖσθαι, ἀπὸ τοῦ κήδω τὸ φροντίζω. οἱ αὐτοὶ καὶ κήδιστοι.

601. τιμῆς ἔσσεαι] Ἤγουν τιμήεις καὶ κατὰ κρᾶσιν τιμῆς· ἔχει δὲ καὶ τὸ προσγεγραμμένον ι, καθὰ καὶ τὸ αἰγλήεις αἰγλῆς, καὶ ἀπ' αὐτοῦ δὲ χρυσὸν τιμῆντα ὁμοίως τῷ αἰγλῆντα. καὶ ἐχρῆν μὲν οὕτω καὶ φωνῆντα τὰ βέλεμνα παρὰ Πινδάρῳ εἶναι τὰ φωνήεντα. ὁ δὲ φωνεῦντα λέγει, ὡς ἀπὸ τοῦ φωνόεντα κατὰ κρᾶσιν ὁμοίαν τῷ πλέονα πλεῦνα, θεὸν θεῦν, ὡς τὸ θοῦν Ἄρτεμιν, καὶ ἐρέβεος ἐρέβευς καὶ Ὀδυσσέος Ὀδυσσεῦς, καὶ ὅσα τοιαῦτα.

Τὸ ἄττα λέξις προσφωνητικὴ ἔκ τινος νεωτέρου πρὸς τροφέα. ὁ νέννος λέξις συγγενικὴ δηλοῦσα θεῖον τὸν τοῦ πατρὸς ἀδελφόν. σάννας ὁ μωρὸς παρὰ Κρατίνῳ. ψάκαλα τὰ ἔμβρυα καὶ τὰ ἄρτι γεγονότα, ὅθεν καὶ ψακαλοῦχοι[r] μητέρες παρὰ Σοφοκλεῖ.

[q] κῆρυξ Cod. [r] ψακαλῆκοι Cod.

617. στορέσαι] Ἔστι ῥῆμα στορῶ, ὃ συγκοπὲν καὶ γενόμενον στρῶ, μετέπεσεν εἰς τρίτην συζυγίαν. ὥσπερ γὰρ τορῶ τορήσω, ἐξ οὗ τὸ ἀντετόρησε, καὶ ἐν συγκοπῇ τρῶ τρώσω, οὕτω καὶ στορῶ στορέσω, ἐξ οὗ τὸ στρῶ στρώσω.

Στιβὰς γίνεται παρὰ τὸ στίβειν, ὅ ἐστι καταπατεῖν, ὡς δηλοῖ καὶ παρὰ Σοφοκλεῖ στειπτὴ φυλλάς. πυκινὸν δὲ λέγεται πᾶν τὸ οὕτω στειβόμενον.

Τὸ τὴν μίαν εἰπεῖν οἴαν δηλοῖ ὅτι ἀπὸ τοῦ οἶος καὶ οἴα καὶ οἶε καὶ ἡ οἴα παράγονται, ὅτε δηλοῦσι μόνωσιν. δύναται εἶναι καὶ τὸ οἴης ἀντὶ τοῦ μόνης, ἵν' ᾖ ὅτι ὁ μὲν βασιλεὺς μίαν τε ἀφείλετο καὶ ἐκείνην μόνην. ἄρτι δὲ καὶ αὐτῇ καὶ ἄλλα πολλὰ δίδωσι.

637. Τὸ "ὑπωρόφιοι" κρᾶσιν ἔχει τῶν δύο $\overline{οο}$, τὸ ἐντελὲς γὰρ ὑποορόφιος. τὸ δ' αὐτὸ γίνεται καὶ ἐν τῷ ἀκρώρεια καὶ ὑπώρεια. μέλαθρον δὲ κυρίως τὸ μέσον τῆς στέγης ξύλον καλούμενον ὑπέρτονον. ὅτι δὲ ὡς ἐκ τῆς ἑστίας καὶ τοῦ ἕρκους, οὕτω καὶ ἐκ τοῦ μελάθρου ὁ πᾶς οἶκος νοεῖται, οὐκ ἄδηλον ἐστί. φάλαγγες δὲ παρὰ τοῖς ὕστερον ὑπωρόφιοι, τὰ ὑπ' αὐτοῖς ὀρόφοις ἱστουργοῦντα φαλάγγια, ὅ ἐστιν ἀράχνιά τινα.

Τὸ εἱμὲν ῥῆμα ὑπαρκτικὸν πληθυντικὸν, ἀναλογώτερόν ἐστι τοῦ ἐσμὲν καθ' Ἡρακλείδην, λέγοντα ὡς οὐδὲν ῥῆμα πληθυντικὸν ἐπὶ τοῦ πρώτου σύμφωνον ἔχει πρὸ τοῦ $\overline{μ}$ ἀλλὰ φωνῆεν. ὡς γοῦν δίδωμι δίδομεν, φημὶ φαμὲν, ἴσημι ἴσαμεν, καὶ συγκοπῇ ἴσμεν, ἐξ οὗ τὸ ἴδμεν, οὕτω κατὰ τὸν αὐτὸν λόγον εἰμὶ ἐμέν. Δωριεῖς δὲ πλεονάζουσι τὸ $\overline{σ}$, ἐσμέν. Ὅμηρος δὲ προστίθησι σύφηλος ἐκ τοῦ σοφὸς ἄσοφος, κατὰ παραγωγὴν ἀσόφηλος καὶ Αἰολικῶς ἀσύφηλος ὁ ἀδόκιμος καὶ εἰς μηδὲν σοφός. ἢ παρὰ τὸ ἆσαι τὸ βλάψαι καὶ τὸ φηλῆσαι καὶ ἀπατῆσαι, καὶ δηλοῖ τὸν βλαφθέντα καὶ ἀπατηθέντα τὸ "σέ γε φηλῶ" φηλήσω, τὸ ὕστερον ἐστί.

Σκῦρος νῆσος ἔνθα Δηϊδαμείᾳ τῇ τοῦ Λυκομήδους συνελθὼν Ἀχιλλεὺς, Μενεπτόλεμον ἐγέννησεν, ἑλὼν τὴν τοιαύτην νῆσον. τὴν μέντοι ἐν Σκύρῳ κρύψιν τοῦ Ἀχιλλέως, καὶ τὴν θηλυστολίαν καὶ τὴν ἐν τῇ γυναικονίτιδι θαλάμευσιν, καὶ τὸν ἐκ τοῦ Παλαμήδους ἔλεγχον, παντελῶς ἀγνοεῖ ὁ ποιητής.

Λ.

V. 629. χάλκεον κάνεον· ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον] Ποτῷ ὄψον ἤτοι προσφάγιον παρασκευαστικὸν δίψης. πᾶν δὲ τὸ μετὰ ἄρτου ἐσθιόμενον ὄψον καλεῖται. ἔστι δὲ καὶ τὸ κρόμυον καὶ πρὸς τὰ μὴ καλὰ ἁρμόζον ὕδατα ὡς ἀλεξιφάρμακον.

630. ἠδὲ μέλι χλωρὸν] Μέλι χλωρὸν, πρόσφατον, νέον. οὕτω γὰρ καὶ ἡμεῖς χλωρὸν τυρὸν λέγομεν τὸν νέον.

Ib. παρὰ δ' ἀλφίτου] Ἤτοι ἄλφιτα περιφραστικῶς ἀπὸ τοῦ κατασκευάσματος, ὅ ἐστιν ἀλεύρου. δηλοῖ δὲ ἡ λέξις ὁτὲ μὲν τὸ ἄλευρον, ἀπὸ τοῦ κατασείεσθαι καὶ ἀλεῖσθαι τὸν σῖτον, ὁτὲ δὲ τὸν αἰγιαλὸν ἀπὸ τοῦ περικλᾶσθαι τὰ κύματα.

633. Πελειάδες—χρύσειαι νεμέθοντο] Ἤγουν ἐβόσκοντο. νεμομέναις γὰρ ἤγουν ζώσαις ἐώκεσαν αἱ πέλειαι. ἤτοι διπλοῦς ἦν αὐτῷ πυθμὴν, ἢ ὅτι ἦν αὐτῷ πυθμήν.

673. ῥύσι' ἐλαυνόμενος] Ἀντὶ τοῦ ῥυσιάζων, ὅ ἐστιν ἐν ἔχθρᾳ λαμβάνων. ῥύσιον δὲ τὸ ἐνέχυρον φησί.

685. χρέος ὀφείλετ' ἐν Ἤλιδι δίῃ] Δίῃ, θαυμαστῇ, ἱερᾷ. ἐν αὐτῇ γὰρ ἐτιμᾶτο ὁ Ὀλύμπιος Ζεύς· οὗ καὶ ἡ πανήγυρις. τριετῆ γὰρ χρόνον ἤγετο τὰ Ὀλύμπια, ἔνθα ἠγωνίζοντο οἱ ἀπὸ τῆς Ἑλλάδος πάντες. ἔστι δὲ ἡ Πελοπόννησος.

Οἱ Ἠλεῖοι ἀπὸ Ἐπειοῦ βασιλέως οὕτω. Ποσειδῶνος καὶ Εὐρυπύλης τῆς Ἐνδημίωνος παῖς Ἠλεῖος, ὁ κτίσας Ἤλιδα. Ἠλείου δὲ Ἄλεξις καὶ Ἐπειὸς, ἀφ' οὗ Ἐπειοὶ, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ πέπλῳ.

Ἡρακλῆς παρεγένετο εἰς Πύλον χρήζων καθαρσίων. οἱ δὲ Πύλιοι ἀποκλείσαντες τὰς πύλας, οὐκ εἰσεδέξαντο αὐτόν. ἐφ' ᾧ ὀργισθεὶς ὁ ἥρως ἐπόρθησε Πύλον. συνεμάχουν δὲ τῷ μὲν Νηλεῖ θεοὶ τρεῖς, Ποσειδῶν, Ἥρα, καὶ Ἀϊδωνεὺς, ὡς ἐν τῷ ε̄ φησί.

Ὑπόθεσις τῆς Ἰλιάδος M̄ τοῦ Ὁμήρου ῥαψωδίας.

Πατρόκλου ἀχθομένου ἐπὶ τῷ τετρῶσθαι Εὐρύπυλον, οἱ Τρῶες βοηθούμενοι ὑπὸ Διὸς, ἐπ' αὐτὰς χωροῦσι τῶν Ἑλλήνων τὰς ναῦς.

συμβουλευσαμένου αὐτοῖς Πολυδάμαντος, τοὺς ἵππους ἐπὶ τῆς τάφρου καταλιπεῖν, ἔνθα καὶ οἱ τῶν Λαπίθων βασιλεῖς Πολυποίτης καὶ Κορωνεὺς καὶ Λεοντεὺς ὑπὲρ Ἑλλήνων γενναίων τοὺς Τρῶας καθίστησι. Γλαῦκος δὲ τιτρώσκεται ὑπὸ Τεύκρου ἐν τῇ μάχῃ, ἐν οἷς Ἕκτωρ βοηθείᾳ κεχρημένος Διὸς, πολλὴν ἐπανελόμενος δύναμιν ἐμβολῇ πέτρου διαρρήξας Ἑλλήνων πύλας, εἰς αὐτὰς χωρεῖ μετὰ Τρώων τὰς ναῦς, ὡς εἰς φυγὴν τραπῆναι τοὺς Ἕλληνας.

Πρὸς δὲ τοὺς ζητοῦντας πόθεν εἶχε τὴν ῥίζαν ὁ Πατρόκλος, ἔστι λέγειν ὅτι ἤτοι κατὰ τὸ σιωπώμενον μεταπέμπεται αὐτὴν, ἡ γὰρ ἀρχαία ἰατρικὴ, βοτάνη ἦν, ἤτοι εἰκὸς αὐτὴν, ὡς ἰατρὸν ἐπιφέρεσθαι πρὸς τὰς ἐπικαίρους χρείας, ἢ ὅτι ἐκ τοῦ πεδίου ἀνείλετο αὐτήν.

V. 228. ᾧ δέχ' ὑπεκρίνετο θεοπρόπος] Ὁ ἐκ θείας ἐπινοίας μαντευόμενος χρησμολόγος, νῦν δὲ ὁ οἰωνιστής.

N.

V. 6. δικαιοτάτων] Καλῶς εἴρηται δικαιότατοι, ἐπιθυμία γὰρ πλειόνων ἐπ' ἀδικίαν ἄγει. τοῦτο συνιδὼν καὶ Λυκοῦργος κοινὴν καὶ οὐ περιττὴν Λακεδαιμονίοις δίαιταν εἰσήνεγκεν.

27. ἐννοσίγαιος] Κινεῖται δὲ ἡ γῆ τῇ μεταστάσει τοῦ ὕδατος, φασὶ γὰρ αὐτὴν ἐπὶ ὕδατος ἐστηρίχθαι.

146. μάλ' ἐγχριφθεὶς] Ἀπὸ τοῦ ἐγχρίπτω τὸ πλησιάζω. τοῦτο δὲ ἐκ τοῦ ἐν χειρὶ τί φθάνειν, καὶ γίνεται ἐγχειρίπτω κατὰ συγκοπήν.

180. τέρενα] Τὰ ἁπαλὰ καὶ τρυφερὰ, τὰ δυνάμενα ῥαδίως τείρεσθαι. σημαίνει δὲ τὰ χλωρὰ, ἔοικε δὲ ὥσπερ συναλγῶν τῷ δένδρῳ ταῦτα εἰρηκέναι.

707. κατὰ ὦλκα] Ὦλκα πῶς ἐστὶν ἡ εὐθεῖα ἡ ἄλοξ, καὶ κατὰ μετάθεσιν ὄαλξ, καὶ κράσει τοῦ ō καὶ ᾱ εἰς ω̄ ὦλξ [8], καὶ κλίνεται ὠλκὸς ὠλκὶ ὦλκα.

Ξ.

V. 23. κέρδιον] Ἐτυμολογεῖται ἀπὸ τὸ χερώδιον καὶ χέρδιον, καὶ τροπῇ τοῦ χ̄ εἰς κ̄ κέρδιον.

[8] ὦλαξ Cod.

25. λάκε] Λάκω λέγεται τὸ σκάπτω, ἐξ οὗ καὶ λάχανα, καὶ ἐκ μεταφορᾶς τούτων λέγεται ὅτι "λάκε δέ σφι" ἀντὶ τοῦ ἔμβαινε, ἐκέντει περὶ τὸ σῶμα χαλκὸς ἀτειρὴς, ἢ ἀκαταπόνητος, ἢ ὡς ἐγὼ οἶμαι πολυώδυνος, ἀπὸ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ πολὺ, καὶ τοῦ τείρω τὸ καταπονῶ.

314. εὐνηθέντε]

εἰς εὐνὴν φοιτῶντε φίλους λήθονται τοκῆας.

καὶ Ἀπολλοδωρος ἱστορεῖ κρύφα τὸν Δία τῇ Ἥρᾳ συγκατευνασθῆναι.

O.

V. 11. ἀφαυρότατος] Ἀφραίνων, ἀλλοφρονῶν, ἐξεστηκὼς τὴν ψυχὴν καὶ οὐ διακείμενος συνετῶς ἀλλ' ἀσυνέτως.

189. τριχθὰ δὲ πάντα δέδασται] Φυσικὴ γίνεται διάταξις γεγενημένη, ὁ μὲν γὰρ τὸ ζῆν παρεχόμενος Ζεὺς ὠνόμασται· ὁ δὲ τὴν ὑγρὰν οὐσίαν ἀπὸ τῆς πόσεως Ποσειδῶν· Ἅιδης δὲ ὁ θάνατος παρὰ τὸ σκοτεινὸν καὶ τῆς τῶν ἀνθρώπων ἀπωλείας.

COD. REG. 2894.

Cod. 2894. ut test. Catalog. inter alia continet Homeri Iliad. et Odyss. cum glossis interlinearibus et Scholiis marginalibus in nonnullos libros. Decimo tertio sæculo exaratus videtur.

Σχόλια εἰς τὴν Ᾱ Ὁμήρου ῥαψῳδίαν.

V. 129. ἐξαλαπάξαι] Γίνεται ἐκ μεταφορᾶς βοτάνης τῆς κεκλημένης λαπάθου, ἣν ἐσθίων τίς καθαίρει ἑαυτόν.

139. ἄξω ἑλὼν] Ἐν τῷ εἰπεῖν ἄξω ἑλὼν παλιλλογεῖ.

148. ὑπόδρα] Τὸ παρὰ φύσιν βλέπειν.

156. Καρπὸν "ἐδηλήσαντο," αἱ διάφοροι σημασίαι τὰς ἐνεργείας διαφόρους ποιοῦσιν.

165. πολυάϊκος] Γίνεται ἐκ τοῦ ἀΐσσω[t] τὸ ὁρμῶ.

186. στυγέῃ] Ἀπὸ τοῦ Στὺξ ἡ πηγή.

202. αἰγιόχοιο] Αἰγὶς ἐστὶν ὅπλον Διὸς ἡφαιστότευκτον.

223. ἀταρτηροῖς] Ἀπὸ τοῦ ἄτη ἡ βλάβη.

225. οἰνοβαρὲς κυνὸς ὄμματ'] Ἀντίθετον σχῆμα ῥητορικόν. ὑπερβολὴ κατὰ ῥήτορας, κατὰ δὲ γραμματικοὺς ὑπερβατὸν κατὰ διακοπὴν ἐννοίας.

227. οὔτε λόχον] Ἀπὸ τοῦ λέγω τὸ ἐκλέγω.

234. ναὶ μὰ τόδε σκῆπτρον] Κατάφασις καὶ ἀπόφασις. τὸ μὲν ναὶ ἀποδίδοται "ἦ ποτ' Ἀχιλλῆος," τὸ δὲ μὰ, "σὺ δ' ἔνδοθι "θυμὸν ἀμύξεις."

Τὸ ἔοικε σημαίνει τρία, τὸ φαίνεται, τὸ πρέπει, καὶ τὸ ὁμοιοῦται.

250. δύο μὲν γενεαὶ] Ἰστέον ὅτι οἱ παλαιοὶ τὰς γενεὰς ἐψήφιζον ἕως ἐτῶν τριάκοντα. λέγουσιν οὖν τινες ὅτι ἑξηκοντούτης ἦν ὅτε ἐβασίλευε, ἢ γραπτέον ἐνενηκοντούτης.

[t] ἀήσσω Cod.

311. εἶσεν ἄγων] Ποιεῖ τὴν διήγησιν κατὰ τὴν τῶν προβλημάτων συνήθειαν καὶ φύσιν, σχῆμα γὰρ εὐκρινείας.

316. ἀτρυγέτοιο] Ὡς ἔνιοι φασὶ τῆς ἀκάρπου ἢ τῆς καθαρᾶς.

319. λῆγ' ἔριδος, τὴν] Τὸ προτακτικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ.

320. Ταλθύβιον] Τὸν θάλλοντα τὴν βοὴν, Εὐρυβάτην ἢ τὸν εὐρὺ βοῶντα.

401. ὑπελύσαο] Ἡ ὑπὸ τὴν κρυφιότητα δηλοῖ. λύω, λύσω, ἐλυσάμην, καὶ κατὰ διάλυσιν Ἰωνικὴν ἐλύσαο καὶ ὑπελύσαο.

432. λιμένος πολυβενθέος] Διαφέρει λιμὴν καὶ ὅρμος, ὅτι ἐν μὲν τῷ λιμένι πλησίστιοι ἤρχοντο, ἐν δὲ τῷ ὅρμῳ ἐν ἐρετμοῖς. σχῆμα λεγόμενον ἐνδιάσκευος ἡ μηχανὴ διὰ μεγάλων λόγων ἤτοι πολλῶν. ἡ διασκευὴ γίνεται μετὰ χαρωποῦ πράγματος, καὶ πανηγυρικοῦ.

543. πρόφρων τέτληκας εἰπεῖν] Κατὰ τρεῖς τρόπους ἐρωτᾷ, ἢ ἀγνοῶν, ἢ θυμούμενος, ἢ λυπούμενος.

B.

V. 54. Νεστορέῃ παρὰ νηΐ] Σχῆμα καινὸν τὸ τοιοῦτον ἀπὸ κτητικοῦ γὰρ ὀνόματος γενικὴν σύνταξιν ποιεῖται ὁ Ὅμηρος ἀναλυθέντος τούτου.

82. νῦν δ' ἴδεν ὃς μέγ' ἄριστος] Τοῦτο καὶ ὁ βασιλεὺς εἶπεν, ἀλλὰ κατ' εἰρωνείαν καὶ ἐξ ἐναντίας, ὁ δὲ Νέστωρ ἐνδιαθέτως.

134. ἐνιαυτοὶ] Ἀπὸ τοῦ ἰαύω τὸ διατρίβω, εἰς ὃν διατρίβομεν.

137. μεγάροισι] Μέγαρα τὰ εἰς μέγα αἰρόμενα, ἤγουν ὑψηλὰ οἰκήματα.

145. Ἰκαρίοιο] Ἴκαρος πλησίον τῆς Χίου νήσου.

147. λήϊον] Λήϊον οἱονεὶ γήϊον.

153. οὐροὺς] Οὖρος ὁ τόπος εἰς ὃν ἐλάσκωσι τὴν ναῦν.

164. ἀγανοῖς] Ἀπὸ τοῦ ᾱ τὸ πολὺ καὶ τοῦ γανὸν τὸ ἐπίθετον.

Δ.

V. 222. χάρμη] Ἀπὸ τοῦ χαρμονὴν ἐμποιεῖν τοῖς νικῶσι.

251. οὐλαμὸν] Τί διαφέρει σπεῖρα, στὶξ, πῦργος, κουστωδία, τούρβα, οὐλαμὸς, λόχος, φάλαγξ καὶ λεγεών; σπεῖρα μὲν ἐστὶν ἐκ τριακοσίων ἀνδρῶν, ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή. στὶξ ἐκ πεντα-

κοσίων· πῦργος ἐκ τριακοσίων τεσσαράκοντα· κουστωδία ἐξ ἑξήκοντα· τούρβα[a] ἐξ ἱππέων πεντακοσίων· οὐλαμὸς ἐκ τεσσαράκοντα· λόχος ἐξ εἰκοσιτεσσάρων· φάλαγξ ἐξ ἑκατὸν εἴκοσι· λεγεὼν ἐξ ἑξακισχιλίων ὀγδοήκοντα.

343. ἀκουάζεσθον] Παράγωγον τοῦ ἀκούω.

413. τέττα] Προσφώνησις νέων τιμητικὴ πρὸς γηραωτέρους.

433. Τρῶες δ᾽ ὥστ᾽ ὄϊες] Ἀναπόδοτος ἡ παραβολὴ, ὤφειλεν ἀποδοῦναι αὐτὴν εἰς εὐθεῖαν, διὰ δὲ τὸ βάρβαρον τῶν Τρώων ἀπέδωκεν εἰς γενικήν.

492. βουβῶνα] Βουβῶνες λέγονται τόπος τοῦ σώματος περὶ τοὺς νεφροὺς, ὅπου ἐστὶν ἡ κεφαλὴ τῶν μηρῶν.

515. Ἡ Τριτογένεια τετραχῶς λέγεται, ἢ παρὰ τὸ γεννηθῆναι ἐκ τῆς τριτοῦς, τουτέστι τῆς κεφαλῆς κατὰ διάλεκτον τῶν Κρητῶν, ἢ παρὰ τὸ ἐν τῇ τρίτῃ ἡμέρᾳ τοῦ μηνὸς γεννηθῆναι, ἢ παρὰ τὸ τρεῖν παρέχειν τοῖς πολεμίοις, ἢ παρὰ τὸ τρία καλὰ παρέχειν τοῖς ἀνθρώποις, σωφροσύνην, ἀνδρείαν καὶ δικαιοσύνην.

526. χολάδες] Λέγονται τὰ ἔντερα, ἐπειδὴ κεῖται εἰς αὐτὰ ἡ χολὴ ἡ ξανθὴ, τοῦτο μηχανησαμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι τῇ θερμότητι αὐτῆς πρὸς τὴν διάκρισιν τῶν ὑγρῶν.

535. χασάμενος πελεμίχθη] Ἀντιστρόφως εἴρηται τὰ ῥήματα. Κυθέρειαν] Ἀπὸ τοῦ κεύθειν τὸν ἔρωτα.

Ε.

V. 4. ἀκάματον πῦρ] Θάρσος θεῖον, ἔπαρμα τῆς ψυχῆς.

39. Ἀλιζόνων] Ἔθνος ἀναμεταξὺ Τραπεζοῦντος καὶ Παφλαγονίας.

73. ἰνίον] Ἰνίον λέγεται τὸ κοῖλον τοῦ τένοντος. κέκληται δὲ οὕτως διὰ τὸ νευρῶδες εἶναι. ἢ πλατὺ καὶ παχὺ νεῦρον τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς εἰς τὸν αὐχένα.

75. ψυχρὸν δ᾽ ἕλε χαλκὸν] Ἤτοι διὰ τὸ ψυχρὸν καὶ ἄθερμον εἶναι τὸν σίδηρον, ἢ τὸν τοῦ ψύχους ποιητικὸν διὰ τὸ ἀποψύχεσθαι τοὺς ἀναιρουμένους.

88. χειμάρρῳ] Χείμαρροι λέγονται οἱ μὴ ἀέναον ἔχοντες ὕδωρ, ἀλλὰ χειμῶνος πληρούμενοι ὑπὸ τῶν συνεχῶν ὄμβρων.

[a] Leg. τούρμα.

105. Λυκίηθεν] Λυκίας χώρας ἧς ἐβασίλευε Σαρπηδὼν, ἔστι δὲ καὶ ἑτέρα τῆς Τρωάδος πόλις, ἧς ἐβασίλευε Πάνδαρος.

127. ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν] Πῶς οὖν φησιν ἐν τοῖς ἑξῆς ἀγνοεῖ τὸν Γλαῦκον ὁ Διομήδης λέγων, "τίς δὲ σὺ ἐσσὶ "φέριστε;" καὶ φαμὲν ὅτι πρὸς καιρὸν ἀφῄρηται τὴν ἀχλὺν ὑπὸ τῆς Ἀθηνᾶς, ἵνα τρώσῃ τὴν Ἀφροδίτην καὶ Ἄρεα. τρωθέντων δὲ τούτων, πάλιν ἀποδίδοται ἡ οἰκεία ἀχλὺς, δι' ἣν αἰτίαν ἀγνοεῖ καὶ τὸν Γλαῦκον.

ἀχλὺν δ' αὖ τοι] Ὁ ἔπαινος οὗτος ἐπιπρέπει ἀνθρώπῳ ὃν ἡ σοφία ὡδήγησεν εἰς θεολογίαν καὶ φυσιολογίαν.

150. τοῖς οὐκ ἐρχομένοις] Οὐχ ὑποστρέφουσι. τὸ δὲ ὅλον, οἷς τισι μὴ ἐπανίασι τοῦ πολέμου ὁ γέρων ἔκρινε τοὺς ὀνείρους. ἔστι γὰρ ἓν τῶν ἀμφιβόλων, ἤτοι σε ἐμαντεύσατο ὡς οὐκ ἐπανερχομένοις, ἢ ἐν ἤθει λέλεκται, καὶ οὐ προεῖπε διὰ τῶν ὀνείρων ὅτι ἀναιρεθήσονται.

205. τόξοισι πίσυνος] Τὸ τόξα[a] κατὰ γλῶσσαν Συρακουσίαν.

295. αἴολα, παμφανόωντα] Ἡ Ὁμηρικὴ φιλοτιμία οὐδὲ τὰ τοιαῦτα παραλίπῃ.

303. Τυδείδης μέγα ἔργον] Ὥστε δηλοῖ μετὰ τὰ Τρωϊκὰ ἔγραψε τὸ βιβλίον.

313. ὑπ' Ἀγχίσῃ τέκε] Καινοτέρα ἡ σύνταξις, ἔστι δὲ Ἀττικὸν ἰδίωμα.

340. ἰχὼρ] Ὑγρασία τῆς σαρκὸς, διεφθαρμένη, ὕφαιμος.

342. ἀναίμονες] Ἀναίμονες μὲν ἐπεὶ οὐ τρέφονται, ἀθάνατοι δὲ ὅτι ἀναίμονες. ὁ γὰρ θάνατος ψύξει τοῦ θερμοῦ γίνεται.

350. εἰ δὲ σύγ' ἐς πόλεμον] Ὁ δὲ λόγος, ἐὰν δὲ πάλιν ἔλθῃς εἰς τὸν πόλεμον, τηνικαῦτά σε κακῶς διαθῶμαι, ὥστε καὶ ἄλλοτε ποτὲ πολέμου ἀκούσασαν εὐλαβηθῆναι.

406. νήπιος] Ἐπὶ τῶν πραττόντων ἄδικα καὶ ἀνόητα ἐπιφωνεῖ τὸ νήπιος.

417. ἄλθετο χεὶρ] Τῇ συντομίᾳ τῆς φράσεως δηλοῖ τὴν συντομίαν τῆς θεραπεύσεως.

460. Περγάμῳ] Ἡ Πέργαμος ἐκφέρεται καὶ οὐδετέρως.

[a] Imo πίσυνος sec. Cod. Lips.

510. Τρωσὶ θυμὸν ἐγεῖραι] Ἡ ἀπέλευσις τῆς φρονήσεως ἐπιδημία ἐστὶ τῆς ἀφροσύνης καὶ τῆς ἀλογίας. ὡς καὶ ἡ ἀπουσία τοῦ φωτὸς ἐπιδημία τοῦ σκότους.

550. ἡβήσαντε] Ἡ πρώτη τρίχωσις τῶν αἰδοίων λέγεται ἥβη. λέγομεν ἡβᾷν τὸν νέον ὅτε τριχοῦται τὰ ἄτριχα.

572. ὡς εἶδε δύο φῶτε] "Ἀγαθοὶ δύο ὑπὲρ ἕνα," κατὰ τὴν παροιμίαν "καὶ οὐδὲ Ἡρακλῆς πρὸς δύο."

586. ἐπὶ βρεχμὸν] Βρέγμα τὸ ὑπεράνω τοῦ μετώπου.

618. ἔχευαν] Δηλοῖ τὸ πλῆθος τῶν τόξων.

765. Ἄγρει] Ῥῆμα ἐστὶ δηλοῦν σπουδὴν, ὁποία πρέπει καὶ τοῖς ἀγρεύουσι.

774. Σιμόεις συμβάλλεται] Ἀλκμανικὸν[b] τὸ σχῆμα καὶ προεπίζευξις.

777. ἀνέτειλε] Ἀνεβλάστησε, δηλοῖ τὸ αὐτόματον τῆς τροφῆς.

845. δῦν' Ἄϊδος] Παροιμία λεγομένη ἐπὶ τῶν ἀφανῶς κεκαλυμμένων.

848. ἐξαίνυτο] Ἀπὸ τοῦ ἀνύω τὸ ἀνέρχομαι.

869. πὰρ δὲ Διὶ Κρονίωνι] Παραπεποιημένος ἀπὸ τῆς α ῥαψῳδίας.

889. ἀλλοπρόσαλλε] Ἄλλοτε ἄλλῳ χαριζόμενος, λέγει δὲ ταῦτα ὁ εἰς νοῦν ἐκλαμβανόμενος Ζεύς.

908. ἀλαλκομενηΐς] Ἡ δυναμένη προσβοηθεῖν ἐν τῇ δυνάμει αὐτῆς. ἐπιπρέπει δὲ ὁ λόγος ἀνδρὶ στρατηγῷ.

Z.

V. 12. Ἄξυλον δ' ἄρ' ἔπεφνε] Ἀπὸ τοῦ ἄγω ἄξω, ὁ ἄγων εἰς ξενίαν τοὺς παροδεύοντας. ἐν Ἀρίσβῃ, μεταξὺ Ἀβύδου καὶ Περκώτης. ἔστι δὲ καὶ πόλις Μιτυλήνης. "Ἄξυλον" ἀπὸ τοῦ ἄγω ἄξω ὁ ἄγων εἰς ξενίαν τοὺς παροδεύοντας.

22. Νηῒς Ἀβαρβαρέῃ] Νηρηΐδες νύμφαι αἱ τῆς θαλάσσης, Νηΐδες αἱ τῶν πηγῶν, καὶ Ἀμαδριάδες αἱ τῶν ὀρέων.

29. Ἀστύαλον δ' ἄρ'] Καὶ ἐν ταῖς βολαῖς τῶν πιπτόντων ποικίλος ἐστὶν ὁ ποιητὴς καὶ πολυειδής.

[b] ἀλκαμανικὸν Cod.

35. Πήδασον] Πόλις Τρωϊκὴ, ἔστι καὶ πόλις Καρίας ᾗ τινι διέδραμεν ὁ Πήδασος.

39. ἀγκῦλον] Τὸ ἀγκύλον σημαίνει τρία παρὰ τῷ ποιητῇ, τὸ σκολιὸν κατὰ τὴν βούλησιν, ὡς ὅταν λέγῃ ἀγκυλομήτην τὸν Κρόνον, καὶ τὸ περιφερὲς κατὰ τὸ σχῆμα, ὡς τὸ "ἀγκύλα κύκλα," καὶ τὸ ἰσχυρὸν ὡς τὸ "ἀγκύλον ἅρμα."

40. ἆξαντ' ἐν πρώτῳ] Ἐπὶ ἀπήνης καὶ ἅρματος ῥυμὸς, ἐπὶ δ' ἀρότρου ἱστοβοεύς.

65. λὰξ ἐν στήθεσσι] Λαγὼν παρὰ τὸ λήγειν τὰ ὄστινα πλευρὰ ἐκεῖσε, καὶ λαπάρα παρὰ τὸ λάπτω, καὶ κενεὸν ἀπὸ τὸ κενῶ.

78. καὶ Λυκίων] Ὀνομάζει τοὺς ἐπικούρους Λυκίους ἀπὸ ἑνὸς ἔθνους ἀξιολογωτάτου.

92. θεῖναι] Θέσθω, πλὴν οὐχὶ δευτέρῳ προσώπῳ ἀλλὰ τρίτῳ.

Ib. ἐπὶ γούνασιν] Ἢ ἀντὶ τῆς παρὰ ἢ ἀντὶ τοῦ εἰς γουνασμὸν καὶ εἰς παράκλησιν.

97. ἄγριον αἰχμητὴν] Τοὺς γὰρ δυσπραγοῦντας εἴωθε τὰ ὑπόγεια κακὰ καὶ μᾶλλον λυπεῖν, εἰ καὶ κρείττω τὰ πρώην.

99. οὐδ' Ἀχιλῆα] Κατὰ ποσῶν διαστημάτων μέμνηται τοῦ Ἀχιλλέως.

100. ὅνπερ φασὶ θεᾶς] Σύγκρισιν ἐκ τοῦ μείζονος, καὶ ἔχει αὔξησιν ὁ λόγος καὶ ἐπίτασιν.

101. ἰσοφαρίζειν] ἐξομοιοῦν ἀπὸ τοῦ ἴσον φέρειν.

103. ἐξ ὀχέων] Δηλοῖ ἀγαθὸν στρατηγόν.

109. Τρωσὶν ἀλεξήσοντα] Ὡς ἐν συντόμῳ παραδώσει παραβολῆς ἐπιφωνήματι.

113. ὄφρ' ἂν ἐγὼ] Δεῖ γὰρ καὶ ἐν καιρῷ ψεύδεσθαι τὸν στρατηγόν.

126. ὅτ' ἐμὸν δολιχόσκιον ἔγχος] Δεδήλωκεν[c] ὁ ποιητὴς ἐν ποίᾳ Νύσᾳ τὰ περὶ τὴν Λυκούργου δίωξιν ἐγένοντο.

127. ἐμῷ μένει ἀντιόωσιν] Γράφεται καὶ ἐπὶ τῆς ἀπολαύσεως ὡς τὸ "ἀντιόων ἑκατόμβης," καὶ ἐπὶ τοῦ ἀξιῶν ἐπιμελείας, ὡς τὸ "ἐμὸν λέχος ἀντιόωσαν."

134. θύσθλα] Σημαίνει τρία, τὰς θυσίας, τοὺς κλάδους, καὶ τὰς κλεῖς.

[c] Vulg. οὐ δεδ.

135. βουπλῆγι] Ἐν βουπλῆγι, ἐν τῇ μάχῃ, ἢ τῷ κέντρῳ, ἢ πελέκει ἐν ᾧ αὐτοὶ σφάττονται, ἢ μάστιγι ἐκ βύρσης γινομένῳ.

152. ἔστι πόλις] Ἡ εἰσβολὴ τοῦ διηγήματος ἀπὸ ἀρκτικοῦ ῥήματος ἄρχεται.

157. αὐτὰρ οἱ Προῖτος κάκ' ἐμήσατο] Καὶ ὅρα σχῆμα πρωθύστερον περιφανές.

211. καὶ αἵματος] Σπέρματος, ὡς τοῦ σπέρματος ὕλην ἔχοντος τὸ αἷμα.

234. ἐξελέξατο[d] Ζεὺς] Ἐξαιρέτους ἐποίησε διὰ τὸ μὴ γλισχρεύσασθαι περὶ τὴν δόσιν.

240. ὅ δ' ἔπειτα θεοῖς] Δεῖ γὰρ τὸν σπουδαῖον μὴ πρὸς τὰς ἐρωτήσεις ποιεῖσθαι τὰς ἀποκρίσεις ἔνθα οὐ δεῖ.

καὶ πόσιας] Τίθησιν ἐν τοῖς ἄκροις τὰ φίλτατα ὡς ἐκ τοῦ συμποσίου.

243. αἰθούσῃσι, ἤγουν ἐν λιθίναις στοαῖς λαμπομέναις ὑπὸ ταῖς ἡλιακαῖς ἀκτῖσι.

251. ἠπιόδωρος, ἐπίθετον οἰκεῖον φίλῃ μητρὶ, ἀγαθῇ.

264. μή μοι οἶνον ἄειρε] Διότι παρὰ καιρὸν πινόμενος ὁ οἶνος πάρεσιν ποιεῖ, ἤγουν ἔκλυσιν.

288. κατεβήσετο] Οὐ μόνον βάθος δηλοῖ ἀλλὰ καὶ μέγεθος.

294. ὃς κάλλιστος ἔην] Κομματικῶς καὶ κατὰ κάλλος παρισωτικὸν ἐπαινεῖ τὸν πέπλον.

295. νείατος] Ἀντὶ τοῦ ἔκκριτος καὶ ἔσχατος καὶ ἰδιάζων.

301. αἱ δ' ὀλολυγῇ πᾶσαι] Σὺν οἴκτῳ ηὔχοντο, εἰ καὶ οἱ ὕστερον ἐπὶ τοῦ κλαίειν καὶ θρηνεῖν τὴν λέξιν μετήνεγκαν, ἐξ οὗ καὶ ὄρνεον ὀλολυγὼν, ἀπὸ τοῦ ὀλολύζειν.

320. πόρκης] Ὁ κουσπὶν, ἡ ἀπερινόητος γλῶσσα ὀνομάζει ἀπὸ τοῦ περικεῖσθαι ἢ περιέχειν, τραπέντος τοῦ δασέος εἰς κ̄ ψιλόν.

Ἡ παροιμία "εἷς ἀνὴρ" ἀντὶ τοῦ οὐδείς. εἷς ἀνὴρ πολὺς ἀνήρ.

378. εἰνατέρων] Εἰνατέρες καλοῦνται αἱ τῶν ἀδελφῶν γυναῖκες πρὸς ἀλλήλας, οἷον Ἑλένη πρὸς Ἀνδρομάχην.

380. ἱλάσκονται] Ἀπὸ τοῦ ἵεμαι τὸ ἐπιθυμῶ καὶ τοῦ λάω τὸ βλέπω.

394. Πολύδωρος] Ἤτοι πολλὰ δῶρα ἐπενεγκαμένη τῷ τοῦ ἀνδρὸς οἴκῳ.

[d] Sic: leg. ἐξέλετο.

506. ὡς δ' ὅτε τίς στατὸς ἵππος] Παρείληπται ἡ παραβολὴ πρὸς προθυμίαν μόνην καὶ σπουδὴν δρόμου.

H.

V. 5. οὖρον] Ἀπὸ τοῦ οὐρὰ, ἐπειδὴ καὶ τέλος ἐστὶ σώματος. καὶ οὔριος ἄνεμος ὁ τύπτων τὴν πρύμναν κατὰ πρόσωπον, καὶ κατὰ πρύμναν ἐχόντων τὰ πράγματα ἤγουν εὐτυχῶς.

33. προσέειπε θεὰ γλαυκῶπις] Ἡ κατ' αὐτὸν σύνεσις τοῦ ποιητοῦ.

39. οἰόθεν οἶος] Εἷς ἐκ τοῦ ἑνὸς μέρους πρὸς τὸν ἐκ τοῦ ἑτέρου μέρους μαχόμενος.

89. ἀνδρὸς μὲν τόδε σῆμα] Ὅρα ὅπως ὁ ποιητὴς δεξιὸς κατὰ τοῖς ἐπιγράμμασι.

94. νείκει ὀνειδίζων] Ἐν ταῖς δυσκόλοις ἀγγελίαις χρήσιμος ὁ λόγος.

102. νίκης πείρατ'] Τέλος τῶν ἀγωνιζομένων ἡ νίκη, ὁ ποιητὴς ἐν τῷ θ̄ λέγει.

113. καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ] Ψεύσεται ἐν καιρῷ, ἵνα καταστείλῃ τὸ ἀδελφικὸν θράσος.

121. παρειπὼν] Ἕνεκα τοῦ μέτρου διπλοῦν ρ̄.

206. νώροπι χαλκῷ] Ἀπὸ τοῦ νη̄ στερητικοῦ μορίου καὶ τοῦ ὁρᾶν κατὰ τὴν ὄψιν.

212. μειδιόων] Μειδίαμα μέσον κατηφείας καὶ γέλωτος.

218. χάρμῃ] Ἀπὸ τοῦ χαίρειν ἐν ταῖς μάχαις, καὶ τῶν ἀνδρείων χαιρόντων ἐν ταῖς μάχαις. ἕτεροι τὸ φάσγανον ἀπὸ τοῦ ταῖς σφαγαῖς γάννυσθαι, καὶ μαχαίρα ἀπὸ τοῦ ταῖς μάχαις χαίρειν.

224. στέρνοιο φέρων] Ἡ κίνησις τοῦ αἵματος τὸ τῆς ψυχῆς ὑπεμφαίνει θάρσος. τῶν δὲ δειλῶν μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵξει.

238. βῶν ἀζαλέην] Εἰπὼν βῶν ἀζαλέην θηλυκῶς, ἐπιφέρει "τό μοι ἐστὶ ταλαύρινον," πρὸς τὸ σημαινόμενον ἀποβλέψας τοῦτο εἶπεν, ἤγουν τὸ σάκος.

388. μῦθον Ἀλεξάνδροιο] Παραπρεσβεύει ἐνταῦθα ὁ κῆρυξ, καὶ γὰρ οὐχὶ παρηγγέλθη εἰπεῖν τοῖς Ἕλλησιν ἀποδώσει ὁ

Ἀλέξανδρος ὅσα ἤνεγκεν, ἀλλὰ μόνα ὅσα ἀπῆρεν, ἀπὸ τὴν Σπάρτην τῆς Ἑλένης.

422. ἐξ ἀκαλαρρείταο] Τοῦ ἄκρως μετὰ κάλλους ῥέοντος.

424. ἔνθα διαγνῶναι] Ἡ μέλαινα χολὴ διὰ τῶν ὀφθαλμῶν, ἡ ξανθὴ διὰ τῶν ὤτων, τὸ αἷμα διὰ τῶν ῥινῶν, τὸ φλέγμα διὰ τοῦ στόματος.

446. ἀπείρονα] Γαῖαν, διὰ τὸ κυκλοειδές.

Θ.

V. 39. Τριτογένεια] Ἡ φρόνησις.

47. πολυπίδακα] Ὁ λόγος οἰκεῖος γυναικὶ μεθυούσῃ μητρὶ ἀδίκων παίδων.

177. νήπιοι] Ἐπὶ τῶν μὴ καλῶς βουλευομένων.

199. ἐλέλιξε] Δηλοῖ τὴν ταχείαν κίνησιν τοῦ οὐρανοῦ.

210. Διῒ Κρονίωνι μάχεσθαι] Κατὰ τὴν δύναμιν λέγει, πολλὴ γὰρ διαφορὰ τῶν πολλῶν πρὸς τὸν Δία.

233. πίνοντες κρητῆρας] Ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον.

247. νεβρὸν] Ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ βορὰ ἡ τροφή.

248. κάββαλε νεβρὸν] Τὸ καταβαλεῖν τὸν νεβρὸν, τὸ τὴν δειλίαν ἀπορρίψαι τοὺς Ἕλληνας δηλοῖ, διεγερθῆναι δὲ πρὸς πόλεμον τῶν Τρώων, καὶ γὰρ δειλὸν ζῷον ἡ ἔλαφος.

268. ἔνθ' Αἴας μὲν ὑπεξέφερε] Ἀναστρέψας τὸν λόγον ἀποκαταστήσοις τὴν σύνταξιν.

299. τοῦτον δ' οὐ δύναμαι βαλέειν] Διὰ τὸ πολὺ τῆς θρασύτητος.

306. μήκων δ' ὡς] Ὅλον ὅλῳ παραβέβληται, μηδενὸς ἐλλείποντος. ἔστι δὲ διάκενος ἡ μήκων, διὸ βαρεῖται. κοινὸν δέ ἐστι τὸ "κάρη βάλεν."

551. ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα] Ἀηδὴς μὲν ἡμέρα νυκτίμορφος, ἡδεῖα δὲ νὺξ ἡμεροφαής.

I.

V. 5. Θρῄκηθεν] Λέγεται γὰρ ἡ Θρᾴκη κατοικητήριον ἀνέμων.

7. κορθύζεται] Ὡς ἀπὸ μεταφορᾶς τῆς κόρυθος τῆς περικεφαλαίας.

15. αἰγίλιπος] Ἡ λιπομένη καὶ τῆς αἰγὸς, δηλοῖ ἐντεῦθεν τὴν ὑψηλὴν πέτραν διὰ τὸ μέγεθος τῆς βασιλείας.

49. εἰλήλουθμεν] Πᾶν ῥῆμα πληθυντικὸν πρώτου προσώπου, ἑκάστοτε πρὸ τῆς μεν φωνῆεν ἔχει, οὐδέποτε σύμφωνον, εἰ δὲ ἔχει σύμφωνον κατὰ συγκοπὴν γίνεται.

63. ἀφρήτωρ] Ἐκ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ φατρία ἡ συγγένεια ἡ καὶ φρήτηρ, ἐξ οὗ καὶ φρήτηρ καὶ φράτηρ καὶ φρήτωρ καὶ φράτωρ.

ἀφρήτωρ] Καὶ μὴ ἔχων φράτορας, καὶ φατριάζειν τὸ εἰς ταυτὸ συνιέναι.

Ib. ἀθέμιστος] Θέμις δὲ ἡ δικαιοσύνη παρὰ τὸ θεμίσσω τὸ δικάζω καὶ νομοθετῶ.

66. φυλακτῆρες] Οἱ αὐτοὶ φύλακες, φυλακτῆρες, σκοποὶ, ὀπτῆρες.

70. δαίνυ δαῖτα γέρουσιν] Ὁ Ὅμηρος τὴν ἐν δοτικῇ σύνταξιν ὡς γέρουσιν σώζοντι καὶ τὸ ἀκριβὲς ἐν τῷ νοεῖσθαι, ἀντὶ τοῦ ἵστα κρατῆρα, καὶ τίθει δαῖτα γέρουσιν.

73. πᾶσα τοι ἔσθ'] Ἀντὶ τοῦ περιουσιάζῃ τοῖς ἀναγκαίοις, καὶ πάντα ἔχεις τὰ πρὸς ξενίαν καὶ ὑποδοχὴν γερόντων ἐπιτήδεια. φασὶ γὰρ ἐν τῷ τῶν λαφύρων δραγμῷ μοίραν τῷ βασιλεῖ ἐπικρίνεσθαι εἰς τὰ κοινὰ συμπόσια.

77. τίς ἂν τάδε γηθήσειε] Τὸ "τίς ἂν τάδε γηθήσειεν" ἢ κατ' ἔλλειψιν προθέσεως συμβιβάζεται, ἢ κατὰ ἀντίπτωσιν, καὶ γὰρ τὸ γήθω δοτικῇ συντάσσεται.

137. νῆα ἅλις] Ναῦς ἀπὸ τοῦ νῶ τὸ σωρεύω, εἰς ἣν σωρεύονται πάντα τὰ ἀγώγιμα.

143. τηλύγετος] Τὸν μόνον γεννηθέντα ἄρρενα.

153. ἐγγὺς ἁλὸς νεάται] Ἀρετὴ γὰρ πόλεων τὸ εἶναι ἐγγὺς τῆς θαλάσσης, τὸ εἶναι εὔγαιων, τὸ εἶναι εὔανδρον.

158. Ἀΐδης τοι ἀμείλιχος] Πάντες ἄνθρωποί τε καὶ θεοὶ δώροις ἡττῶνται χωρὶς τοῦ Πλούτωνος.

157. μεταλλήξαντι χόλοιο] Κατὰ γοργότητα κομματικὰ τὰ ἔπη ἐπάγει.

171. εὐφημῆσαι] Ὁμιλῆσαι καὶ ἐνθουσιαστικῶς εἰπεῖν ἀγαθὰ τὸν λαόν.

206. κρεῖον μέγα] Οἱ πλείους τῶν παλαιῶν γεγράφασι τὸ κρεωδόχον ἀγγεῖον. Εὐφορίων δὲ αὐτὸ τὸ κρέας λέγει.

227. μενοεικέα] Μενοεικέα δαῖτα, ᾗ τινι τὸ μένος διὰ τὸ αὔταρκες, ἢ τὴν ἐπαρκοῦσαν τὴν κατὰ φύσιν μένει.

355. ἔνθά ποτ' οἶον ἔμιμνε] Διπλῶς νοεῖται, ἢ ἐκεῖσε ποτὲ μόνον ἐμὲ περιέμενε, ἢ ἐκεῖσε ποτὲ ἅπαξ ἔμεινεν.

404. ἀφήτορος] Ἀπόλλωνος ἤτοι ὁμοφήτορος, ὁμοίως πᾶσι προφητεύοντος καὶ μαντευσαμένου τῷ τε πένητι καὶ τῷ πλουσίῳ. ἢ τοξικοῦ, ἀπὸ τῆς τῶν βελῶν ἀφέσεως.

408. πάλιν ἐλθεῖν] Ἕως τοῦ ἐπανελθεῖν, ὃ καὶ παλλιζωεῖν λέγεται καὶ παλιγγενεσία.

417. μυθησαίμην] Μυθεύεσθαι δὲ παρὰ τοῖς μεθ' Ὅμηρον ψευδῶς λέγειν.

422. ἀπόφασθε] Ὅρα ὅτι οὐκ εἶπεν ἀπόφασθαι τῷ βασιλεῖ, ἀλλὰ τοῖς ἀριστεῦσιν, ἢ διότι ὀκνεῖ ὅλως ὀνομάζειν ἐκεῖνον, ἢ καὶ ἵνα τοὺς ἀριστέας ἐπισείρῃ τῷ βασιλεῖ, ἀκούσαντας ὡς δι' αὐτὸν κινδυνεύουσι καὶ αὐτοί.

433. ἀναπρήσας] Τὸ ἀναπρήσας ἀντὶ τοῦ ἀναπεράσας, ἐκ τοῦ ἐγκεφάλου ἀναφυσήσας, ὡς ἀπὸ τοῦ πέκω ῥήματος, γεμίσας τοὺς ὀφθαλμοὺς, ὅθεν καὶ τὸ " ἄνεμος[e] ἔπρησε."

Ib. δίε νηυσὶν] Τὸ δὲ δίε παρὰ νηυσὶν, ὅ ἐστιν ἐφοβοῦντο, ἐνεστώς ἐστι. τὸ δίω ῥῆμα διὰ μόνου διχρόνου, ἐξ οὗ κατὰ ἀναδιπλασιασμὸν τὸ δεδιέναι.

462. ἴφια μῆλα] Λέγονται δὲ καὶ ἴφια μῆλα παρὰ τὸ λιπαρὸν, τὰ γ ρ πάντη ἀλιπῆ ἀνίσχυρα.

502. πολλὸν ὑπεκπροθέει] Τὴν ταχύτητα δηλοῦσιν αἱ προθέσεις.

563. φόνοιο] Ἀπὸ τοῦ φόνου ποιεῖ τοὔνομα.

656. αἵ δ' ἐπιπειθόμεναι] Ἐν συντάξεσιν ἀρσενικῶν καὶ θηλυκῶν φασὶν ἐπικρατεῖν τὸ ἀρσενικὸν, ἔστι δὲ ὅτε τὸ οὐδέτερον, ὡς τὸ " σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας." ἐνταῦθα δὲ ἐπεκράτησε θηλυκὸν, τάχα φασὶν ἐπιτηδειότεραι πρὸς τὴν τοιαύτην ὑπηρεσίαν τὸ τοιοῦτον γένος.

657. κώεα] Εἰσὶ μὲν κώεα δέρματα εὐθετηθέντα εἰς τὸ

[e] ἄνομος Cod.

κεῖσθαι. οὐ μόνον κῶας, ἀλλὰ καὶ κῶος, ἐξ οὗ κώεα, ὡς τείχεα, βέλεα.

Ib. ἄωτον] Τὸ ἄωτον σκέπασμα τί σινδονοειδὲς, ἔστι δὲ ἄωτον οἱονεὶ ἀπάνθισμα.

694. μὴ ὄφελες] Τὸ μὴ ὄφελες ἀναύξητόν ἐστιν Ἰωνικῶς, κοινῶς δὲ ἀεὶ διὰ τοῦ ω̄ μεγάλου.

701. τεταρπόμενοι] Ἀντὶ τοῦ κορεσθέντες, καὶ συντάσσει αὐτὸ γενικῇ, ἤγουν κορεσθέντες οἴνου καὶ σίτου. ἢ καὶ ἄλλως κατ' ἔλλειψιν, ἵνα ᾖ ἀπὸ τοῦ τερφθέντες διὰ τὸ φαγεῖν καὶ πιεῖν. τὸ δὲ "τεταρπόμενοι φίλον ἦτορ," τὸ φίλον ἦτορ ἐκ περισσοῦ κεῖται.

K.

V. 23. δέρμα λέοντος] Δεικνύει ὁ ποιητὴς τὸ ὑπεροχικὸν καὶ ὑπερέχον τῆς ἐκείνου μεγαλειότητος.

38. ὀτρύνεις] Ἀγαμέμνων ἀγρυπνήσας ἀνίστησι τοὺς ἀρίστους τῶν Ἑλλήνων, αὐτός τε καὶ ὁ Μενέλαος, καὶ ἐπὶ τῆς τάφρου βουλευσάμενοι πέμπουσι κατασκόπους εἰς τὸ τῶν Τρώων στρατόπεδον, Ὀδυσσέα καὶ Διομήδην, οἳ Δόλωνα συναντήσαντες ἀναιροῦσι. πειθόμενοι δὲ παρ' αὐτοῦ τινὰ Ῥῆσον καὶ Θρᾳκας παρεῖναι ἔνθα στρατοπεδεύουσιν, ἀπελθόντες, Δόλωνα φονοῦσι, καὶ τοὺς ἵππεῖς ἀπελάσαντες, εἰς τὸν ναύσταθμον παραγίνονται.

Ἄλλως. Τῶν Ἑλλήνων πάντων βαθεῖ κατεχομένων ὕπνῳ, Ἀγαμέμνων προσαγρυπνεῖ. ἐδόκει δὲ αὐτῷ ἐξεγερθέντι νύκτωρ ἐξοπλίσαι τοὺς κρατίστους τῶν Ἑλλήνων......συντυγχάνουσι καὶ ἀθροίζουσι τὸ στράτευμα.

135. ἀκαχμένον] Ἀπὸ τοῦ ἀκίς.

160. ἐπὶ θρωσμῷ] Τόπος οὕτω καλούμενος ἐν Ἰλίῳ ὑψηλός.

164. σχέτλιος] Ὁ παρὰ τὸ δέον ὁρμῶν καὶ ὁ φερέπονος.

173. ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς] Ἐκ μεταφορᾶς τοῦ ξυροῦ τοῦ ἐπικειμένου τῇ τριχί.

183. ὡς δὲ κύνες] Παρήληπται ἡ παραβολὴ οὐ πρὸς μόνην τὴν ἀγρυπνίαν, ἀλλὰ καὶ δι' ἀσφάλειαν.

204. ὦ φίλοι] Ὡς φρόνιμος ἐξάγει τὸν λόγον κοινῶς.

205. μεγαθύμους ἐλθεῖν] Ὑπερβατὸν ἡ σύνταξις, ἀπὸ τοῦ ἐλθεῖν εἰς τὸ "ἐπεὶ δαμάσαντο Ἀχαιούς."

215. μέλαιναν] Διὰ τῆς νυκτὸς συμβολικῷ τρόπῳ, διότι ἤθελε τελεσφορήσειν.

274. ἐρωδιὸν] Ἀπὸ τοῦ ἐρᾶν τὸν Δία καὶ τὴν βροχήν.

288. μειλίχιον μῦθον] Τὸν διαλλαγὰς καταγγελλόμενον.

372. ἦ ῥα καὶ ἔγχος ἀφῆκε] Ἅμ' ἔπος, ἅμ' ἔργον.

391. πολλῇσι μ' ἄτῃσι] Ἤγουν παρήγαγε τοὺς λογισμοὺς βλαπτικαῖς καὶ ἀπατητικαῖς ὑποσχέσεσιν.

394. θοὴν] Τὴν ταχέως ἐπιλαμβάνουσαν τὴν γῆν, ἢ τὴν τῶν ζώων καταθετικὴν εἰς ἀνάπαυσιν, ἀπὸ τοῦ θέω θῶ τὸ τίθημι. ἢ φιλοσόφως τὴν κρονοειδῆ[f].

418. ὅσσαι μὲν Τρώων πυρὸς ἐσχάραι] Ἀντὶ τοῦ εἰπεῖν πρὸς τὸν Ὀδυσσέα ὁ Δόλων, ὡς φυλάσσουσι τὸν στρατὸν ὅσοι Τρῶες ἰθαγενεῖς, ἤγουν ἐγχώριοι, λέγει περιφραστικῶς "ὅσαι μὲν Τρώων "πυρὸς ἐσχάραι."

428. ἀγκυλότοξον] Οὐ μόνον οἱ χρώμενοι ἀγκύλοις τόξοις, ἤγουν στρεβλοῖς, ἀλλὰ καὶ οἱ ἀγκύλην ὡς τόξον μεταχειριζόμενοι. ἀκοντίου δὲ εἶδος ἡ ἀγκύλη.

430. ἀγέρωχοι] Αὐθάδεις, ἀναίσχυντοι. ἰστέον δὲ ὅτι ἡ λέξις δηλοῖ καὶ τοὺς ἄγαν ἀνδρείους καὶ ἐντίμους, παρὰ τὸ ἄγαν αὐτοὺς ἐπὶ τοῦ γέρως ὀχεῖσθαι.

437. Ἐν τῷ "λευκότεροι χιόνος" σχῆμα ἐστὶ καινοπρεπὲς, ἔδει γὰρ εἰπεῖν, λευκοτέρους καὶ ὁμοίους κατὰ τὴν τῆς φράσεως ἀκολουθίαν. ὁ δὲ ποιητὴς τῷ θαυμασίῳ τῶν ἵππων συνεξομοιοῖ καὶ τὸ τοῦ λόγου σχῆμα, ὡς ἂν ὁ ἀκροατὴς ἐπιστραφείη τῷ λόγῳ, καθάπερ Διομήδης[g] τῷ πράγματι.

462. τοῖς δ' ἐσσὶ] Διὰ τὸ μέτρον πλεονάζει τὸν "δὲ" σύνδεσμον ὁ ποιητής.

475. ἐπιδιφριάδος] Ἐπιδιφριὰς μέρος ἢ τοῦ δίφρου, ἢ τῆς τοῦ ἅρματος ἄντυγος, περὶ ἣν περατοῦται ὁ δίφρος.

483. Ἐπιστροφάδην, ἤγουν ἐνεργῶς, εὐτόνως.

516. ὡς ἴδ' Ἀθηναίην] Ἐνταῦθα τὴν νύκτα ἐκ τοῦ α̅ στερητικοῦ μορίου καὶ τοῦ θέω τὸ βλέπω.

560. πάντας ἀρίστους] Οὐ γὰρ ἂν συνεκοιμῶντο τῷ βασιλεῖ, εἰ μὴ ἄριστοι ἐτύγχανον.

[f] Leg. κωνοειδῆ. [g] διομῆ͂ς Cod.

576. ἀσαμίνθους] Τὰς λεκάνας ἀπὸ τοῦ σμίνειν καὶ ἀπορρίπτειν τὴν ἄσσαν καὶ τὸν ῥύπον. ἢ τὰς σκάφας τὰς εὐξέστους.

Λ.

V. 1. ἠὼς δ' ἐκ λεχέων] Οὐ ῥητορικὴ περίφρασις, ἀλλὰ ποιητική.

31. ἀορτήρεσσι] Κρεμαστῆρσι, τοῖς ἀπαιωροῦσι τὸ ξίφος ἱμᾶσι.

49. πρυλέες] Στρατιῶται οἱ πεζοί.

98. πεπάλακτο] Ἐβρέχετο τῷ αἵματι.

256. ἀνεμοτρεφὲς ἔγχος] Τὸ ὑπὸ τῆς ἀνέμου πνοῆς τρεφόμενον.

270. εἰλείθυιαι] Αἱ ὑπεξάγουσαι εἰς φῶς τὸ τικτόμενον, ἀπὸ τοῦ ἐλεύθω ἐλεύσω.

273. ἐς δίφρον δ' ἀνόρουσε] Ἵνα καὶ μᾶλλον συστήσῃ τὴν προθυμίαν τῶν ἄλλων καὶ τὰ φρονήματα, καὶ μετὰ τὸ παθεῖν πολλὰ τὸν Ἀγαμέμνονα καὶ ἀναγκασθῆναι, ἀναχωρεῖ οὐχ ὡς δειλὸς ἢ φυγοπόλεμος, ἀλλὰ δι' ἀνάγκην πολλήν.

292. ὡς δ' ὅτε πού τις θηρητὴρ] Θαυμασία ἡ παραβολή.

441. ἆ δεῖλ' ἦ μάλα] Ἐπιτιμητικὸν, δηλοῖ δὲ πάθος καὶ ἀγανάκτησιν.

629. κρόμυον] Κρόμυον ἐστὶ διουρητικὸν μαχόμενον τῇ φλεγμονῇ.

Ib. ὄψον] Τὸ ὄψον παρακεκλήρωται τοῖς ἰχθυοφάγοις.

710. Ἔστι δέ τις Θρυόεσσα] Τὸ αἰτιατὸν τῆς αἰτίας.

725. Ἀλφειοῖο] Ἀπὸ τοῦ τὰ ἄλφη ἰᾶσθαι.

807. τῇ δὴ καί σφι θεῶν] Ὅπου καὶ τῶν μεταπλευσάντων ἑκάστῳ Τρώων θεῶν βωμοὶ κατεσκευασμένοι ἦσαν.

831. δικαιότατος Κενταύρων] Τὸ ὑπερθετικὸν κεῖται ἀντὶ ἀπολύτου, ὅ ἐστιν ὁ μόνος ἐν Κενταύροις δίκαιος.

845. ῥίζαν βάλε πικρὴν] Τὴν ἴσχαιμον καλουμένην. πρὸς δὲ τοὺς ζητοῦντας πόθεν εἶχε τὴν ῥίζαν ὁ Πάτροκλος, ἔστι λέγειν, ὅτι κατὰ τὸ σιωπώμενον μεταπέμπεται αὐτὸν, ἡ γὰρ ἀρχαία ἰατρικὴ βοτάνη ἦν.

Μ.

V. 4. σχήσειν Δαναῶν] Ἀνθέξειν καὶ ἀντιπαρατάξειν τοὺς Τρῶας.

107. *σχήσεσθ' ἀλλ' ἐν νηυσὶ*] Τὴν ὁρμὴν τῶν Τρώων οἱ Ἀχαιοί.

154. *χερμαδίοισιν*] Τὸ ὑποκοριστικὸν αὔξάνει μετὰ ἐπιθέτου.

259. *ἐπάλξεις, στήλας τε προβλῆτας*] Τοὺς ὀρθοὺς λίθους ἐν οἷς ἵσταται ὁ πύργος.

323. *αἰεὶ δὴ μέλλοιμεν ἀγήρω*] Τὸ μὲν γὰρ ἀποθανεῖν κοινὸν ἡγεῖται πάντων, τὸ δὲ μετ' εὐκλείας, τῶν ἐντίμων καὶ ἀγαθῶν καὶ ὀλίγων.

431. *ἐρράδατ'*] Ἰωνικὸν ἀπὸ τοῦ ῥῶ ῥάζω.

433. *χερνῆτις*] Ἡ διὰ τῶν χειρῶν νήθουσα καὶ ποριζομένη τὰ πρὸς ζωήν.

459. *θαιροὺς*] Ἀπὸ τοῦ θέειν δι' αὐτῶν τὰς θύρας.

463. *ὑπώπια*] Τὰ ὑπὸ τὴν πρόσοψιν κάτω, ἤγουν τὰ ὑποκάτω τῶν ὀφθαλμῶν.

471. *ἀλίαστος*] Ὁ ἄπαυστος καὶ πολύς.

N.

V. 1. *Ζεὺς δ' ἐπεὶ*] Ποσειδῶν νικωμένους ἐλεῶν τοὺς Ἕλληνας, ὁμοιοῦται Κάλχαντι, καὶ ἀμφοτέρους τοὺς Αἴαντας παρορμᾷ, ἔπειτα δὲ καὶ τοὺς ἄλλους. μετὰ ταῦτα Ἰδομενεὺς ἀριστεύει καὶ ἀναιρεῖ Ὀθρυονέα καί τινας ἄλλους, πολλοὶ δὲ αὐτῶν ἀναιροῦνται. τιτρώσκονται δὲ Δηΐφοβος καὶ Ἕλενος. τοὺς δὲ ὑπηκόους συναγαγὼν ὁ Ἕκτωρ ἐπάγει τοῖς πολεμίοις, καὶ μεγάλως ἀμφοτέρωθεν ἀναιροῦνται.

3. *νωλεμέως*] Διηνεκῶς ἀπὸ τοῦ νῶ καὶ τὸ ὅλον καὶ τοῦ ἐμέω τὸ χέω, τὸ λιπόμενον τὴν διέκχυσιν τοῦ ὅλου.

27. *ἄταλλε*] Ἀταλὸς ὁ νέος, ἐξ οὗ καὶ ἀταλὸς κλάδος, ἐκ μεταφορᾶς τῶν νέων.

104. *αὔτως ἠλάσκουσαι*] Τὰ αἴτια τοῦ εἶναι ἐκείνους ἢ ἰέναι.

111. *αἴτιος*] Ὑπ' αἰτίας συγκείμενος.

115. *ἀλλ' ἀκεώμεθα*] Θεραπείας αἴτιοι.

122. *νέμεσιν*] Ἡ καθ' ἑαυτὸν ἢ ὑπὸ ἄλλου μέμψις.

134. *ἐπτύσσοντο*] Ἐπὶ τὸ αὐτὸ ἐγίνοντο.

143. *εἵως μὲν ἀπείλει*] Ἢ ἕως τινὸς ἤγουν μιᾶς αὔρας ἢ τέως.

162. *ἐν καυλῷ*] Τῷ ἄκρῳ τοῦ δόρατος.

219. ἀπειλαὶ] Ἀπειλὴ ἡ καύχησις ἀπὸ τοῦ ἄπο καὶ τοῦ εἰλῶ τὸ συστρέφω, ἀπειλὴ ἡ ἀγριότης, ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ πέλλα τὰ ἱερὰ ποτήρια.

222. ἀνὴρ νῦν αἴτιος] Ὑπὸ αἰτίασιν κείμενος.

236. σπεύδειν] Ἐνεργεῖν μετὰ κακοπαθείας.

237. ἀνδρῶν καὶ μάλα λυγρῶν] Ἡ τῶν ἀνάνδρων δύναμις εἰς ταυτὸ συνελθοῦσα ἀρετὴν γεννᾷ.

233. ἀλλ' αὖθι κυνῶν] Εἰώθασι γὰρ οἱ κύνες μετὰ τὸ κορεσθῆναι τὰ ἐναπολειφθέντα καταπαίζειν.

298. οἷος δὲ βροτολοιγὸς] Παρείληπται ἡ παραβολὴ μὴ ἄλλο τί καὶ μόνῳ εἰ μὴ διὰ τὴν εἰς πόλεμον εἰσβολήν.

302. Φλέγυας μεγαλήτορας] Τοὺς Θεσπρωτοὺς, ὄνομα ἔθνους.

346. ἀνδράσιν ἡρώεσσι] Ἀρετὴ γὰρ στρατιώτου καὶ ἡ τῶν ὅπλων διευθέτησις.

414. ἄτιτος] Ἀνεκδίκητος.

443. ἥ ῥά οἱ ἀσπαίρουσα] Τοῦ ὅλου σώματος νεκρουμένου ἡ καρδία ἔτι ζῇ.

458. δοάσσατο] Ἰωνικῶς δοκῶ δοκάσω δοάσω.

593. Ἀτρείδης δ' ἄρα χεῖρα] Ἤτοι τοῦ Ἑλένου.

637. ἀμύμονος ὀρχηθμοῖο] Τρία εἴδη ὀρχήσεως, ἐμμέλεια τραγικὴ, σίκινη σατυρικὴ, κόρδαξ κωμική.

Ξ.

Ἀγαμέμνων τοὺς τραυματίας συλλαβὼν καὶ Νέστορα σὺν αὐτοῖς, ἔξεισιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης κατέρχεται, καὶ τὸν ὕπνον πείσασα κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ, καὶ πολὺς φόβος γίνεται τῶν Τρώων. Αἴας δὲ λίθῳ βαλὼν Ἕκτορα πλήσσει. ἀριστεύει δὲ Αἴας ὁ Λοκρός.

V. 180. χρυσείης δ' ἐνετῇσι] Ἐσβολαῖς.

231. ἔνθ' ὕπνῳ ξύμβλητο] Τί ἐστιν ὕπνος; θάνατος βραχυχρόνιος. τί ἐστι θάνατος; ὕπνος μακροχρόνιος.

250. ὑπέρθυμος Διὸς υἱὸς] Ὁ Ἡρακλῆς.

256. ὁ δ' ἐπεγρόμενος χαλέπαινε] Ὁ δὲ Ζεύς.

290. ἐν ὄρεσσιν] Διατρίβουσαν.

319. *καλλισφύρου Ἀκρισιώνης*] Ἠράσθην.
349. *ὑψόσ᾽ ἔεργεν*] Ἀνεβλάστανε.
424. *περίβησαν*] Ὑπεράνω τούτου.
466. *τένοντε*] Τόπος ὁ συνδέων τὴν κεφαλὴν καὶ τὸν τράχηλον.
475. *ἦ ῥ᾽ εὖ γινώσκων*] Ἐπιστάμενος λέγω τοῦτο.
499. *κώδειαν*] Κεφαλήν.

Ὑπόθεσις τοῦ $\overline{\text{Ο}}$.

Ὁ Ζεὺς ἐγερθεὶς ἀπὸ τοῦ ὕπνου ὠργίσθη κατὰ τῆς Ἥρας καὶ τοῦ Ποσειδῶνος, ἰδὼν τοὺς Τρῶας νενικημένους· εἶθ᾽ οὕτως ἀποστέλλει τὴν Ἥραν εἰς τοὺς θεοὺς ἐπὶ τῷ πέμψαι τὴν Ἶριν πρὸς τὸν Δία, ἥτις καὶ ἀπελθοῦσα πρὸς αὐτὸν στέλλεται παρ᾽ αὐτοῦ εἰς τὸν Ποσειδῶνα, ἀγγελίαν κομίζουσα ὑποχωρῆσαι τῶν Ἀχαιῶν. ὁ δὲ πεισθεὶς, τῆς μάχης ὑπεκχωρεῖ. Ἀπόλλων δὲ κελευσθεὶς ὑπὸ τοῦ Διὸς ἀνεγείρει καὶ ῥωννύει τὸν Ἕκτορα. καὶ συμμαχῶν αὐτῷ καὶ τοῖς Τρωσὶ μετ᾽ αὐτῶν κινεῖται κατ᾽ Ἀχαιῶν. καὶ συγκροτηθέντος τοῦ πολέμου τρέπονται μὲν οἱ Ἕλληνες μέχρι καὶ τῶν νηῶν, πίπτουσι δ᾽ ἐν τῇ μάχῃ καὶ τῶν Ἑλληνικῶν ἀριστέων πολλοὶ, οἱ δὲ Τρῶες τὴν νίκην ἀναλαμβάνουσιν.

V. 7. *τοὺς μὲν ὀρινομένους*] Τῇ λύπῃ τεταραγμένους.
10. *κῆρ᾽ ἀπινύσσων*] Παραφρονῶν.
11. *ἀφαυρότατος*] Ἐξ ἀποφάσεως.
16. *κακορραφίης ἀλεγεινῆς*] Ἕνεκα κακοσυνθεσίας σῆς.
17. *καί σε πληγῇσιν ἱμάσσω*] Σὺ τῶν Ἑλλήνων ἢ τοῦ Ποσειδῶνος ἐπαπολαύσεις τιμωρίας.
19. *ἧκα δύο*] Ἔπεμψα.
Ib. *δεσμὸν ἴηλα*] Ἐνέβαλον.
21. *ἠλάτεον δὲ θεοὶ*] Ἐδεινοπάθουν.
22. *παρασταδὸν*] Κύκλῳ ἱστάμενοι.
23. *τεταγὼν*] Τινάξας.
24. *ὀλιγηπελέων*] Ὀλιγοψυχῶν.
Ib. *θυμὸς ἀνίει*] Ἐχαύνου, ἐγκατελίμπανε.
51. *τῷ κε Ποσειδάων*] Ὁμοίως.
82. *ἔνθ᾽ εἴη*] Ἐπορεύθη.
Ib. *μενοινήσειέ τε πολλὰ*] Διανοήσει ἐν οἷς ἔσται καὶ πορεύσεται.

104. μενεαίνομεν] Ὀργιζόμεθα.

109. τῷ ἔχεσθ' ὅττικεν] Ἀνέχεσθε.

159. πάντα] Τὰ πλεῖστα.

203. φρένες ἐσθλῶν] Πρὸς τὰ ἐσθλά.

645. ἄντυγι πάλτο] Ἐπλησίασεν.

653. εἰσωποὶ] Θεαταὶ καὶ φανεραί.

669. θεσπέσιον] Μέγα.

678. βλητρῇσι] Ἐμβλήμασι καὶ συνεμπλοκαῖς.

681. σεύας ἐκ πεδίοιο] Ὁρμῶν διώκει.

698. ἄντεσθ' ἐν πολέμῳ] Συναντᾷν.

705. ἔνεικεν] Ἔφερεν.

709. τόξων αἰκὰς] Τῶν τοξευμάτων ὁρμάς.

714. ἐκ χειρὸς] Σὺν τῇ χειρί.

728. οἰόμενος θανέεσθαι] Οἰόμενος μᾶλλον ἀποθανεῖν ἢ παραχωρήσειν Ἕκτορι.

731. ἄμυνε νεῶν] Ἀπεσόβει.

741. τῷ ἐν χερσὶ] Διὰ τοῦτο.

744. σὺν πυρὶ κηλείῳ] Καυστικῷ.

Ὑπόθεσις τῆς Π.

Πατρόκλῳ δεηθέντι, Ἀχιλλεὺς τὴν ἑαυτοῦ πανοπλίαν ἐπιτρέπει ἀναλαβεῖν καὶ τοὺς Μυρμιδόνας ἐξάγειν ἐπὶ τὸν πόλεμον. οὗτοι δὲ ἐξελθόντες τοὺς Τρῷας διώκουσι. Πάτροκλος δὲ Σαρπηδόνα τὸν Διὸς ἀναιρεῖ, τὸν παρήορον ἵππον Ἀχιλλέως ἀνελόντα Πήδασον. ἔπειτα δὲ Πάτροκλον Ἕκτωρ ἀναιρεῖ πληγέντα πρότερον, Ἀπόλλωνος ἀφελομένου τὴν πανοπλίαν αὐτοῦ.

V. 8. θέουσα] Βαδίζουσα.

Ib. ἀνώγει] Ἀξιοῖ.

13. Φθίης] Ἀπὸ τὴν πατρίδα ἡμῶν τὰ λεγόμενα Φύρσαλα.

17. ὡς ὀλέκονται] Πῶς.

22. μὴ νεμέσα] Τῶν δακρύων ἐμοῦ.

29. ἕλκεα κιάμενοι] Θεραπευόμενοι.

Ib. σὺ δ' ἀμήχανος] Ἀνίατος κατὰ τὸν θυμόν.

31. ἐναρέτη] Σύνθετον παραθηλυκὸν, ὁ ἐπὶ κακῷ ἔχων τὴν ἀρετήν.

37. ἐπέφραδε] Εἶπε.
38. πρόες] Πρόπεμψον.
39. ἤν που τις φάος] Ἐάν που ἢ ἵνα.
42. ἀνάπνευσις] Ἡ ἀπ' ἐμοῦ γινομένη.
44. ἀκμῆτες] Ἄνδρες.
45. ὤσαιμεν] Ἀποδιώξομεν.
46. μέγα νήπιος] Ὁ ἀνόητος τῶν μελλόντων, ἤγουν ὁ μὴ γινώσκων τὸν θάνατον αὐτοῦ.
47. λιτέσθαι] Παρακαλεῖν ὡς ἐπὶ ἀορίστου.
50. ἐμπάζομαι] Ἐπιστροφὴν ποιοῦμαι.
53. τὸν ὅμοιον] Τὸν ἰσότιμον αὐτοῦ.
Ib. ἀνὴρ] Ὁ Ἀγαμέμνων.
Ib. ἀμέρσαι] Στερῆσαι.
56. ἔξελον] Ἐξαίρετον.
57. κτεάτισσα] Ὡς κτῆμα ἔλαβον.
59. μετανάστην] Μέτοικον, ἄτιμοι γὰρ οἱ μέτοικοι.
60. προτετύχθαι] Ἢ ὅτι ἐγένοντο ὡς προτετυγμένα.
61. ἀσπερχὲς] Ἀδιαλείπτως.
62. μηνιθμὸν] Τὴν ὀργήν.
64. τύνη] Δωρικὴ ἡ ἀντωνυμία.
66. εἰ δὴ κυάνεον] ἢ ᾗ καὶ ὄντως, ἢ καὶ ὅπου.
67. νηυσὶν] Ἀχαιῶν.
68. κεκλίαται] Προσανάκεινται.
69. Τρώων δὲ πόλις] Ἤγουν ὅλοι οἱ πολῖται.
71. ἐναύλους] Τοὺς περὶ τὴν τάφρον τόπους.
72. εἴ μοι κρείων] Ἐὰν ἦν φίλος καὶ προσηνὴς ἐν ἐμοί.
73. ἤπια εἰδείη] Ἦν εἰδώς.
75. μαίνεται] Ὀργίζεται.
76. ἔκλυον] Ἤκουσαν.
78. περιάγνυται] Καταβάλλεται ὁ στρατός.
81. ἔμπεσ'] Ἄπελθε.
82. ἕλωνται] Οἱ Τρῶες.
84. ὥς ἄν μοι] Διαμέσον.
Ib. ἄρηαι] Λάβῃς.
85. οἳ περικαλλέα] Οἱ Ἀχαιοί.

86. ἀπονάσσωσι] Ἀποδώσωσι.

87. ἰέναι πάλιν] Ἔρχου.

92. ἡγεμονεύειν] Ἡγεμόνευε.

94. ἐμβήῃ μάλα] Ἐναντίον στῇ σου.

95. φάος] Νίκην.

100. κρήδεμνα] Νῦν τὰ τείχη, κρήδεμνον δὲ καλεῖται τὸ τῆς κεφαλῆς κάλυμμα.

108. ἐρείδοντες] Κατεπείγοντες.

117. πῆλ' αὔτως] Ἔπαλλε.

Ib. κόλον] Κολοβόν.

123. κατ' ἀσβέστη] Ἀκατάσβεστος.

128. μὴ δὴ νῆας] Ὅρα.

Ib. φυκτὰ] Ἀνεκτά.

142. ἐπίστατο πῆλαι] Κινῆσαι.

159. φοινὸν] Βεβαμμένον.

166. ῥῶοντ' ἐν δ' ἄρα] Ἐρρωμένως ἵσταντο.

174. διϊπετέος] Τοῦ ἀπὸ τοῦ Διὸς πίπτοντος.

180. παρθένιος] Ὁ γεννηθεὶς ἐκ τῆς παρθένου.

181. κρατὺς] Ὁ ἰσχυρός.

183. χρυσηλακάτου] Τὴν χρωμένην χρυσοῖς βέλοις.

200. ἀπειλάων] Καυχήσεων.

202. ὑπομηνιθμὸν] Ὑπὸ πάντα τὸν χρόνον.

217. ὡς πυκινοὶ] Συμπερασματικόν.

224. οὔλων] Ὁμαλῶν.

225. δέπας] Ποτήριον.

228. χηλοῖο] Κιβωτίου.

233. Δωδωναῖε] Θετταλικέ.

234. ἀμφὶ δὲ Σελλοὶ] Οἱ Ἀρκάδες οἵτινες πρῶτοι εὗρον τὰς αὐξημειώσεις τῆς σελήνης.

235. ἀνιπτόποδες] Οἱ φυλασσόμενοι μή τι μιαρὸν πατῆσαι.

Ib. χαμαιεῦναι] Οἱ χαμαὶ ὄντες καὶ τὰ πόρρω σκοποῦντες.

252. ἕτερον δ' ἀνένευε] Γρ. ἀνένευσε.

294. ἡμιδαὴς] Ἡμίφλεκτος.

295. ὁμάδῳ] Θορύβῳ.

300. ἄσπετος αἰθὴρ] Αἰθρία γέγονε.

313. ἐφορμηθέντα] Ὑποχωρήσαντα.
314. ἔφθη ὀρεξάμενος] Ἐκτείνας τὴν χεῖρα πρὸς τὸ τύψαι.
339. θεῖνε] Ἐπέτασσε.
350. πρῆσε χανὼν] Ἐξεφύσησε.
352. ἐπέχραον] Ἐπῆλθον.
354. διέτμαγον] Διεσκορπίσθησαν.
390. πολλὰς δὲ κλιτὺς] Ἀκρωρείας.
405. πεῖρεν ὀδόντων] Διῆλθε.
408. θύραζε] Ἔξω.
Ib. ἤνοπι] Τῷ ἐμφώνῳ,
410. ἔωσε] Κατέβαλε.
412. κεάσθη] Συνετρίβη.
414. θυμοραϊστὴς] Ὁ φθείρων τὸν θυμόν.
418. πέλασε] Χθονὶ ἐπέθηκε.
423. ἀνστήσω γὰρ] Ἐξ ἐναντίας ἔλθω.
426. ἦ ῥὰ καὶ] Ἔφη.
434. μοῖρ' ὑπὸ] Πεπρωμένον.
435. μέμονε φρεσὶν] Προθυμεῖ.
442. ἐξαναλῦσαι] Ἐμβαλεῖν καὶ ἐλευθερῶσαι.
455. δῆμον ἵκωνται] Καταλάβωσι.
456. ταρχύσωσι] Ἐνταφιάσωσι.
459. ψιάδας] Ῥανίδας, σταλαγμούς.
469. μακὼν] Μηκῶν καὶ βοῶν.
470. τὼ δὲ διαστήτην] Οἱ ἵπποι διεχωρίσθησαν.
Ib. κρίκε] Ποιὸν ἦχον ἀπετέλεσε.
474. οὐδὲ μάτησε] Ἀπέτυχε καὶ ματαίως ἔπραξε.
475. τὼδ' ἰθυνθήτην] Οἱ ἵπποι ἔστησαν ἐπ' εὐθείας.
Ib. ῥυτῆρσι] Ἡνίαις.
476. τὼ δ' αὖτις συνίτην] Ὁ Πάτροκλος καὶ ὁ Σαρπηδὼν συνῆλθον.
479. ὄρνυτο] Ὥρμησε.
482. ἀχερωῒς] Λεύκη.
484. νεήκεσιν] Νεωστὶ οἰκουμένοις.
488. αἴθωνα] Διάπυρον.
491. μενέαινε] Ἐλυποθύμει.

494. ἐελδέσθω] Εἰς ἐπιθυμίαν γενέσθω.

500. ἐν ἀγῶνι] Ἀθροίσματι.

502. τέλος θανάτοιο] Αὐτὸ τὸ ἀποπνεῦσαι.

504. αὐτῷ εἵποντο] Τῷ δόρατι.

506. σχέθον ἵππους] Ἐκράτησαν.

508. φθογγῆς ἀΐοντι] Τοῦ Σαρπηδόνος ἀκούοντι.

512. ἀρὴν] Εὐκταῖον ἢ βλάβην.

Ib. ἀμύνων] Βοηθῶν, ἀποσοβῶν.

516. κηδομένου] Λυπουμένου.

518. ἐλήλαται] Καταπεπόνηται.

519. τερσῆναι] Ξηρανθῆναι.

Ib. ὑπ' αὐτοῦ] Τοῦ ἕλκους.

542. εἴρυτο] Ἐφύλασσε.

544. νεμεσήθητε] Νέμεσιν λάβετε.

545. ἀεικίσσωσι] Ἀτιμάσωσι.

548. κατακρῆθεν] Ἐκ ψυχῆς ἢ ἀπὸ τῆς κεφαλῆς.

549. ἐπιεικτὸν] Κρατητόν.

552. λελιημένοι] Μάχης ἐπιθυμοῦντες.

554. Λάσιον] Μόρσιμον.

558. ἐσήλατο] Ἠφάνισε.

573. ἀνεψιὸν] Ἤγουν τὸν ἐξάδελφον αὐτοῦ.

575. ῥηξήνορι] Ἀνδρείῳ.

582. ἴθυσε δὲ] Κατ' εὐθεῖαν ἦλθε.

589. αἰγανέης] Ἀπὸ τοῦ νεῖσθαι καὶ πορεύεσθαι εἰς αἶγας.

612. ἐνισκίμφθη] Ἐνεπάγη ἐπὶ τῷ οὔδει ἡ ἐπιδορατὶς, ἐπεσείσθη.

626. ἐνένιπε] Ἔπληξε.

638. φράδμων] Ἔμπειρος.

702. ὑπ' ἀγκῶνος] Ἐξοχῆς.

714. ἀλῆναι] Συστραφῆναι.

737. ἀλίωσε βέλος] ἐματαίωσε.

748. εἰ καὶ δυσπέμφελος εἴη] Δυσχείμερος, δυσκίνητος ὁ πόντος.

750. ἦ ῥά καὶ] Οὕτως.

751. οἶμα] Ὅρμημα.

769. ἀγνυμενάων] Συντριβομένων.
780. ὑπὲρ αἶσαν] Ὑπὲρ τὸ πρέπον.
788. ἤντετο] Συνήντησε.
799. ῥύετ' Ἀχιλλῆος] Ἐφυλάσσετο.
823. ἐβιήσατο χάρμη] Κατηγωνίσατο.
834. ποσσὶν ὀρορέχαται] Ἐκτείνονται.
847. ἀντεβόλησαν] Ἐπῆλθον.
857. ἐκ ῥεθέων] Ὀλομελέων.
Ib. ἀνδροτῆτα] Τὴν ἀθρωπότητα.

Ὑπόθεσις Ἰλιάδος Ρ.

Περὶ τοῦ Πατρόκλου σώματος καρτερὰ συνίσταται μάχη, καθ' ἣν καὶ Εὔφορβος ἀναιρεῖται ὑπὸ Μενελάου. Ἕκτωρ δὲ τὴν Ἀχιλλεὺς ἐνδύεται πανοπλίαν καὶ ἀνθίσταται τοῖς Ἕλλησιν. οἱ δὲ περὶ Μενέλαον Ἀντίλοχον διαπέμπονται πρὸς Ἀχιλλέα τὸν Πατρόκλου θάνατον ἀγγεῖλαι. ὑποδύντες δὲ καὶ ἀράμενοι τὸ σῶμα τοῖς ὤμοις φέρουσιν. οἱ δὲ ἄραντες προμαχοῦσι καὶ ἀπείργουσι τοὺς πολεμίους.

COD. REG. 2766.

Cod. 2766. est Bomb. form. in fol. min. teste Catal. "e Constantinopoli in Bibliothecam Regiam illatus, quo continetur Homeri Ilias una cum Metaphrasi in omnes ferme hujusce poematis libros. Adjuncta sunt et Scholia, quorum Auctor aliquando Didymum exscribit. Ibi tamen non pauca occurrunt a cæteris Homeri interpretibus omissa, nec contemnenda, in iis præsertim quæ ad grammaticam pertinent. Veterum enim criticorum, Aristarchi, Dioclis, Dionysii, Cassii, aliorumque testimonia nonnunquam adhibentur. Is Codex sæculo decimo tertio exaratus videtur." Hæc quidem Scholia in nonnullis mihi convenire visa sunt cum Bekkeri Cod. A. cui etiam corrigendo nonnunquam inserviunt; alibi diversa abeunt, et quædam continent quæ alias frustra quærenda essent. Non autem continua sunt, sed hic et illic cum Historiis vulgo Didymo attributis, admiscentur. Scriptura quidem est minuta, inelegans, et lectu valde difficilis. His porro quæ ex hoc Codice enotavi, pauca quædam ex aliis Scholiastis Homericis adjunxi, et præcipue ex egregio Codice Townleiano in Museo Britannico adservato.

ILIAD. A.

V. 1. Πηλειάδεω] Ἐν ἡρωϊκῷ μέτρῳ τὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γενικὰς οὐ προφέρονται οἱ ποιηταὶ διὰ τοῦ ου, ἀλλ' ἢ διὰ τοῦ εω, ἢ διὰ τοῦ αο, ὡς Ὀρέσταο καὶ Ἀτρείδαο.

Ib. Θεά] Διατί ὡς προτάσσων ἐστὶ τῇ Μούσῃ; ἐροῦμεν οὖν ὅτι προτάσσει μὲν διὰ τὸ λέγειν ἐκ καταρχῆς, καὶ μήδ' ὅτι λέγει ποτὲ νοεῖν. θεὰν δὲ εἴρηκεν κοινῷ μὲν ὀνόματι προσαγορεύων τὴν Μοῦσαν, τῇ δὲ ἰδιότητι τῆς πράξεως προδήλωσας ὡς οὐχ ἑτέραν λέγει. μόναι γὰρ ᾄδουσιν αἱ Μοῦσαι. Ἄλλοι δέ φασιν, ὅτι κατὰ τὴν ποιητικὴν ἄδειαν ἤτοι συνήθειαν δεῖ ἐκλαμβάνειν.

Ib. Ἀχιλῆος] Οὕτως ἀναγνωστέον διὰ τοῦ ἑνὸς λ, καὶ διὰ τὸ μέτρον, καὶ διὰ τὸ ἄχος, ὅ ἐστι λύπη, ὑπενεγκεῖν τοῖς Ἰλιεῦσῖν,

θήλης

οἱ δὲ παρὰ τὸ μὴ θιγεῖν χείλεσι χιλοῦς Cod. Paris. Sch. Leips. χείλεσι τροφῆς. Cod. Townl. μὴ πίνειν χείλεσι τὸν [illegible]

2. οὐλομένην] Μετοχὴ ἀντὶ ἐπιθετικοῦ ὀνόματος τοῦ ὀλόην· ὡς τοὐναντίον ἐπὶ τῇ "ψάμμῳ κυανέῃ," ὃ καὶ χωρὶς τοῦ ι γράφεται τὸ η τοῦ κυανέη. σημαίνει γὰρ ψάμμῳ κυανίζουσα, ὄνομα ἀντὶ μετοχῆς[a].

Ib. μυρία] Τινὲς θρηνητικὰ παρὰ τὸ μείρεσθαι. πρὸ δὲ τοῦ ἡ διαστολή. πρὸ γὰρ τῶν ἀναφορικῶν μορίων αἱ διαφοραὶ τίθενται.

3. ἰφθίμους] Ἴφθυμος, καὶ τροπῇ τοῦ υ εἰς ι ἴφθιμος, ὡς Ἀφροδίτη, Ἀφροδίτης (leg. ἀφροδύτη, Ἀφροδίτη.)

4. ἥρωας] Ἥρωας δέ φασι κληθῆναι ἢ ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὡς φησιν Ἡσίοδος,

ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶσιν ἐπ' αἶαν.

ἢ ἀπὸ τῆς ἐρώσεως, τουτέστι τῆς μίξεως τῶν θεῶν.

Ib. ἑλώρια] Κτητικὸν ἀντὶ τοῦ ἕλωρα ἐχρήσατο. χρειώδης δὲ καὶ ἡ τεῦχε παράστασις. καὶ οἱ γύπες γὰρ ἀντερείδοντες τοῖς ποσὶ, τῇ βίᾳ τὸ πᾶν ἕλκουσι σῶμα· οἱ καὶ τίκτουσι δίχα ἄρρενος. εἰ δὲ καὶ μὴ πάντες ἤσθιον, ἀλλ' οὖν ἀνέδην πᾶσι προὔκειτο. ἢ ὅτι καὶ τοὺς μὴ ἐσθιόντας προετρέπετο.

In long. Schol. ad v. 5. Διὸς βουλὴν οἱ μὲν τὴν εἱμαρμένην. id. Cod. leg. ἐς Δωδώνην φάτο θήμεναι—ἐπακούσοι—τὴν γῆν βαρυνομένην—ὑποθεμένου δὲ αὐτῷ γνώμας δύο—θυγατέρος καλὴν γένναν—πλάτους αἴης—ἠλέησε—παμβώτορα γαῖαν ἀνθρώπων—θανάτου βάρος—Ἀριστάρχειον καὶ Ἀριστοφάνειον δόξαν—καθάπερ καὶ τὰ κεφάλαια ἐν τῷ προοιμίῳ κεῖται τῆς ποιήσεως.

Ib. Ἀτρείδης τε] Μία ἡ ὀξεῖα. σπονδεῖος γάρ. χώρις εἰ μὴ ἐπιφέροιτο διὰ τῆς . . φύσεως ἀντωνυμία, ὡς ἐπὶ τοῦ, "τόξου σφεων," "ἀλλ' ἤτοι σφέας." καὶ χώρις τοῦ "λοέσσαι τε χρίσαι τε" καὶ τοῦ "γενέσθαι τε τραφέμεν τε." τὸ μὲν γὰρ "λοέσσαι τε" ἵνα ἀποφύγωμεν τὸ ὑποτακτικὸν ῥῆμα. τὸ δὲ "γενέσθαι τε," ἵνα μὴ διπλασιασμὸς τὸ τραφέμεν.

9. Λητοῦς καὶ Διὸς υἱός] Ὡς ἀπὸ Μούσης ἀναφωνεῖ τοῦτο.

10. λαοί] Λᾶες κατὰ διάλεκτον οἱ λίθοι λέγονται, ἀφ' ὧν

[a] Cf. Auct. Epimer. Hom. Anecd. Nostr. I. p. 315, 22. et Etym. M. v. οὐλομένην.

λαοὶ οἱ ὄχλοι ἀπὸ ἱστορίας. seq. hist. ut in Didymo. ἡ ἱστ. παρὰ Ἀπολλοδώρῳ.

11. Τὸν Χρύσην] Παρὰ τάξιν ἐχρήσατο τῷ ἄρθρῳ· ἐχρῆν γὰρ εἰρηκέναι τὸν ἀρητῆρα Χρύσην· ὁπόταν γὰρ δύο ὀνομάτων συντασσομένων, τὸ μὲν κύριον ᾖ, τὸ δὲ προσηγορικὸν, τὸ ἄρθρον οὐ τῷ προσηγορικῷ ἀλλὰ τῷ ἐπιθέτῳ συντάξομεν. οὐδεὶς γὰρ ἐρεῖ τὸν γραμματικὸν καλὸν, ἀλλὰ τὸν καλὸν γραμματικόν. καὶ ἄλλως τὰ ἄρθρα τῶν κυρίων, καὶ τῷ πολιτικῷ λόγῳ ἐντάττειν προσήκει. οἱ μέντοι ποιηταὶ καὶ οὕτως ἐντάττουσι, ὡς καὶ ὁ ποιητὴς ἐνταῦθα, "τὸν Χρύσην ἀρητῆρα."

14. Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ—καταλαμβανομένην δὲ αὐτὴν—αὐτὴν δέξασθαι—αὐτὸς ἐστέψατο.

Ib. Χρυσέῳ] Τουτέστι τῇ χρυσῇ ῥάβδῳ, τῇ βασιλικῇ. εἰ μὲν εἶεν θεοσεβεῖς τὸ στέμμα· εἰ δὲ φιλοχρήματοι, τὰ ἄποινα, εἰ δὲ οἰκτείρμονες, τὸ γῆρας αἰδεσθήσονται. ὁ δὲ στίχος ἔχει τὴν καλουμένην περὶ τὸ μέτρον συνίζησιν.

23. αἰδεῖσθαι] Ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, δεισίδαιμον γὰρ καὶ φιλοπόνηρον τὸ πλῆθος.

34. παρὰ θῖνα] Παρὰ τὸν αἰγιαλόν. καί ἐστιν ἀρσενικὸν,

ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν καὶ ὑπήνεμον ἀκτήν.

37. κλῦθί μευ] Λαμψακηνὸν τὸ κλῦθι.

39. ἔρεψα] Ἐστεφάνωσα, παρὰ τὸ ἐρέφω, ὅθεν καὶ εἰραφιώτης ὁ Διονύσος λέγεται. ἐστέφετο γὰρ κίσσῳ. ἢ ἀπὸ τοῦ ἐρράφθαι αὐτὸν τῷ μήρῳ τοῦ Διός. ἢ παρὰ τὸ ἐρίφῳ αὐτὸν συναναστραφῆναι. ἐξ ὅλων οὖν τῶν ἐτυμολογίων ἡ ει δίφθογγος αἰτεῖται. μηδεὶς γὰρ ἡμᾶς νεμεσητοὺς ἀποφήνειεν, ὡς εἰκῇ τὸ εἰραφιώτης ἐνταῦθα γράψαντας. οὐ γάρ ἐστι τοῦ ποιητοῦ.

41. τό δέ μοι[c]] Ἀρίσταρχος ὀξύνει, ὁμοίως τῷ "τό δέ τι ξυνήϊον ἐστὶν" ἵνα ᾖ δύο μέρη λόγου. Πτολεμαῖος δὲ εὖ ποιῶν ἐπὶ τοῦτον τίθησι τὴν ὀξεῖαν. ἐπείσθη γὰρ ἡ παράδοσις Ἀριστάρχου.

42. Διατί δε ὁ Χρύσης—ζήτησεις μὲν ἦν τοῦ πένθους (πάθους 2 man.) ἀπόδοσις δὲ τῆς κόρης. καὶ ἀπαθανὼν μὲν Ἀγαμέμνων ἄλυπος ἦν, ζῶν δὲ βασανίζεται, ὁρῶν ἀπολλυμένους τοὺς ὄχλους.

[c] Cf. Epimerism. Hom. p. 408, 4. Cf. Schol. Cod. 2556. ad eund. v. p.

43. τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων] Ἀνωφέλης ἡ μυσαρὰ, οἷα ἡ Αἰγίσθου

πολλὰ δ' ἀγάλματα ἀνῆψεν.

53. ἐννῆμαρ] Τὸν λοιμὸν φησὶν ἐπὶ ἐννέα ἡμέρας κατασχεῖν τὸν στρατὸν τῶν Ἑλλήνων. ἤτοι ὅτι εὐεπίφορός ἐστιν ὁ ποιητὴς ἐπὶ τὸν θ' ἀριθμόν· φησὶν οὖν "οἱ δ' ἐννέα πάντας ἀνέσταν" καὶ "ἐννέα δὲ σφέας κηρύκες βοόωντες." ἢ ὅτι περὶ φθορᾶς ἀνθρώπων διαλέγεται, ὁ δὲ ἐννέα ἀριθμὸς τῶν καταχθονίων θεῶν ἐστιν.

65. εὐχωλῆς] Ὥσπερ παρὰ τὸ παύσω παυσωλὴ, θάλπω θαλπωρὴ, ἀλέω ἀλεωρὴ, οὕτω καὶ παρὰ τὸ εὔχω εὐχωλή.

67. ἀπολοιγόν] Ὀρθοτονητεόν. ἀρκτικὰ γάρ ἐστι κατὰ τὴν σύνταξιν, ὁμοίως δὲ καὶ κατὰ τὴν ἀπὸ πρόθεσιν, ὀρθοτονητέον ῥήματι ἐπαγόμενον· (sic) ὀρθοτονεῖ γὰρ πᾶσαν πρόθεσιν ῥήματι ἐπαγομένην.

80. χέρηϊ] Ἡ δοτικὴ χερείονι, καὶ συγκοπῇ τοῦ ον χέρειϊ, αὐξήσει τῆς ει διφθόγγου εἰς η, χέρηϊ.

82. Ἔδειξε διαφορὰν τοῦ χόλου πρὸς κότον. διὰ πάντων δὴ ὑποφαίνει τὸ ὕπουλον τοῦ Ἀγαμέμνονος· ἁπλοῦς δὲ ὁ Ἀχιλλεύς.

85. εἰπέ] Τρία εἰσὶν ὀξυνόμενα, εἰπὲ, ἐλθὲ, εὑρέ. ὁ Ἡρωδιανὸς δὲ λέγει ὅτι ταῦτα παραληγόμενα μακρᾷ ταύτης ἔλαχε τῆς τάσεως. τὰ γὰρ βραχέως παραληγόμενα βαρύνονται. Ἀττικὸν δὲ τὸ ἴδε καὶ λαβέ.

87. θεοπροπίας] Τὸ δ' αὐτὸ σημαινόμενον ὅταν λέγῃ μετοχικῶς

Κάλχας δ' αὐτικ' ἔπειτα θεοπροπέων ἀγόρευε

καὶ θηλυκῶς

μαντειας[c] θεοπροπίας ἀναφαίνεις.

98. ἑλικώπιδα] Μελανόφθαλμον, ἑλικὸν γὰρ κατὰ διάλεκτον τὸ μέλας καλεῖται, ἢ τὴν οὐκ ἀγεννῆ. τὴν θέαν γὰρ τὴν ἀξιοθέατον, πρὸς ἣν πᾶς ἑλίσσει τὴν θέαν.

100. Πεπίθοιμεν καὶ παρπεπίθοντο.

104. ἔϊκτην] Εἴκω τὸ ὁμοιῶ. εἶκα, εἰκέτην, εἴκτην, καὶ ἐν διαιρέσει ἐΐκτην.

113. Τὸ δὲ προβέβουλα μέσος παρακείμενος ἀπὸ τοῦ βουλῶ, μὴ ὂν ἐν τοῖς ἐνεργητικοῖς.

[c] Leg. Δαναοῖσι.

117. σόον ἔμμεναι ἢ ἀπολέσθαι] Τὸ ἢ ἀντὶ τοῦ ἤπερ διασαφητικοῦ. ἔστι δὲ μετὰ ἤθους. Πορφύριος δὲ παραδιαζευκτικὸν ἀντὶ τοῦ καί. θέλω γάρ, φησι, τὸν ὄχλον σώζεσθαι καὶ αὐτὸς ἀπολέσθαι. καὶ ἔλαβε τὸν σύνδεσμον ἀντὶ τοῦ καί.

120. λεύσετε] Τὰ εἰς πτω λήγοντα οἱ Αἰολεῖς διὰ τῶν δύο σσ λέγουσι, οἷον, πέπτω πεπέσσω (leg. πέσσω), βλέπτω, οὗ σύνθετον ἀβλεπτῶ, βλέσσω. παρενείραντες οὖν τὸ υ ἰδίῳ ἔθει τοῦ βαλέσω (vel βαλεύσω) παρέσσει[d].

128. Οὐ γέρως ἀλλὰ κέρδους περιποιεῖται.

129. Οὐ μάχεται τῇ "ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον." κατὰ γὰρ κτητικὴν σύνταξιν ἐπηνέχθη· ἔνθεν οὐ διῃρέθη εὐτείχεον, διὰ τὸ ὑπὸ θεῶν τετειχίσθαι.

131. Θεοείκελος διὰ τοῦ ει διφθόγγου. ἔστι δὲ ἐκ τοῦ εἴκω τὸ ὁμοιῶ. καὶ γὰρ τὸ ἔοικα παρακείμενος. εἴρηται γὰρ πολλάκις, ὅτι ὥσπερ ἀπὸ τοῦ σθένω Σθένελος, πέμπω πέμπελος, ἄγω ἄγγελος, εἴδω εἴδελος καὶ ἀείδελος, οὕτως εἴκω ἴκελος. τὸ δὲ ἁπλοῦν τοῦτο διφορεῖται· τὸ δὲ σύνθετον ἀεὶ διὰ διφθόγγου ἐστιν.

137. [e]Οὐκ ἐλλιπὲς τὸ τῆς φράσεως, ἀλλ' ἀρχαϊκὸν, Ἀριστοφάνης ἐν τῷ Πλούτῳ (v. 467.)

καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τὸ πρῶτον αὐτοῦ. κἂν μὲν ἀποφήνω μόνην
ἀγαθὴν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν, δι' ἐμέ τε[f] ζῶντας ὑμᾶς· εἰ δὲ μή,
ποιεῖτον ἤδη τοῦθ' ὅ τ' ἂν[g] ὑμῖν δοκῇ.

καὶ Πλάτων ἐν Ἑλλάδι· εἰ μὲν σὺ τὴν θάλασσαν ἀποδώσεις ταύτην ἑκών· εἰ δὲ μή, ταῦτα πάντα συντριαίνω (sic) ἀπώλεσα· καὶ Μένανδρος

εἰ μὲν δή τινα πόρον ἔχεις. εἰ δὲ μή, νενόηκ' ἐγώ,
μισῶμεν (Cod. μισῶ μὲν) ἀλλήλους.

καὶ Σοφοκλῆς ἐν Ἀκανθοπλῆγι

εἰ μέν τις οὖν ἔξεισιν· εἰ δὲ μή, λέγε.

136. ἄρσαντες] Ἄρω ἄρσω. Ἀρίσταρχος δὲ δασύνει, ὁ δὲ Ἡρόδοτος (leg. Ἡρωδιανὸς) οὐ δασύνει.

[d] Cf. Epimerism. Hom. p. 262, 19.

[e] Hoc Scholion jam exscripserat Ruhnkenius, ut refert Koen. ad Greg. Cor. p. 48. Schæfer.

[f] τὰ Cod. [g] ὅταν Cod.

141 *μελαίναν*] Βαθεῖαν ἢ πίσσῃ κεχρισμένην.

148. *ὑπόδρα*] Παρὰ τὸ δρῶ, ὅ ἐστιν ὑφορῶ . . . . οἱ δὲ ὑπόδηρα.

149. Διετύπωσε νέον φιλότιμον ἥττονα διακαοῦς[h] θυμοῦ.

151. *ἶφι*] Καὶ γράφεται διὰ τοῦ ι καὶ πάντα τὰ παρ᾽ αὐτό.

168. Ἂν γράφηται τὸ ἐπεὶ, ὁμοίως τὸ "εἰ δή περ τετύχῃσιν," εἰ δὲ ἐπὴν, ἐν διπλασιασμῷ τὸ ῥῆμα κεκάμω.

169. *Φθίηνδ᾽*] Πάντες σὺν τῷ δϊ (sic) Φθίηνδ᾽. Ζηνόδοτος δὲ χωρὶς τοῦ δέ.

Ib. Ὁ νοῦς ὑπέρβατον—καὶ πλοῦτον πολὺν σχεῖν καὶ ἀπαντλήσειν.

175. *μητίετα*] Ἐχρῆν αὐτὸ παροξύνειν, εἴγε τὰ εἰς της λήγοντα βαρύτονα βραχὺ παραληγόμενα ἀπρόσληπτα τοῦ σ ἐπὶ γενικῆς καὶ κλητικῆς παροξύνονται, οἰκέτου, εὐνέτου, φυλέτου· παραλόγως ἄρα ἡ εὐρύοπα, δέσποτα, μητίετα. ἔστι δὲ εἰπεῖν ὅτι ἀπὸ μήτιτα κατὰ πλεονασμὸν τοῦ ε καὶ συστολῇ τοῦ ι ἀπὸ εὐθείας τῆς μητιέτης μητίετα. ἢ ὅτι Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τῶν ὀνομάτων σχηματισμὸς, οἷον "αὐτὰρ ὁ αὖτε Θυέστα."

176. *διοτρεφέων βασιλήων*] Ὡς καὶ Ἡσίοδός φησιν,

ἐκ γάρ τοι Μουσάων τε καὶ ἐκηβόλου Ἀπόλλωνος.

190. *φάσγανον*] Σφαγάντιον. σφάζω, σφάγανον καὶ φάσγανον.

193. Γελοίως παρέχουσι τὸν στίχον, ἀγνοοῦντες ὡς ἡ ὕβρις ἀνεζωπύρει, ἡ δὲ φρόνησις κατέστελλε. τὸ δὲ "ἠὲ χόλον παύσειε" περισπᾶται ὁ η σύνδεσμος. ὁ δὲ πρῶτος βαρυτονεῖται "ἢ ὅγε φάσγανον," οὕτως γὰρ ἡ σύνταξις ἐστὶν ἐν τῷ καθόλου.

213. *καί ποτε*] Περισσὸς ὁ καὶ σύνδεσμος. τὸ γὰρ τρίς τόσσα, οὐ τριπλασίονα αὐτῷ παρεσχέθη, ἀλλὰ σὺν τῇ Βρισηΐδι πολλὰ ἄλλα, ὡς αὐτὸς φησὶ ἐν τῷ ί.

216. Τὸ δὲ χρὴ ὀξυνόμενον—ὡς εἴρηται Ἀλεξάνδρῳ ἐν Διονυσίῳ,

ἰδοὺ κάτοπτρον. εἰπέ μοι τι τούτων χρή;

219. *ἦ*] Ταῦτο τὸ ἦ ψιλῶς λεγόμενον καὶ περισπώμενον·

ἦ δὴ λοιγία ἔργα, ὅτε μ᾽ ἐχθοδοπῆσαι.

καὶ σεσημείωκεν Ἀρίσταρχος.

[h] Male omnes alii Codd. δικαίου.

225. κραδίην δ' ἐλάφοιο] Ἐλέχθη δὲ κραδίη ἀπὸ τοῦ κραδαίνεσθαι καὶ πάλλεσθαι ἀεὶ τὸ τῆς καρδίας σπλάγχνον.

230. δῶρ'] Ἵν' ᾖ Ἀχαιῶν δῶρα προαιρεῖσθαι.

245. ποτὶ δὲ γῇ] Πρὸς τῇ γῇ. ἡ διάλεκτος τῶν Δωριέων. σκῆπτρον δὲ τὴν ψιλὴν ῥάβδον (Cod. ῥαῦδον) οὕτως. κινῶν δὲ ὁ θυμὸς ἃ μετὰ χεῖρας ἔχομεν ἀπορρίπτει.

251. ἐφθίαθ'] Ἐφθαρμένοι ἦσαν. Ἡρακλέους γὰρ ἐν Πύλῳ στρατεύσαντος καὶ ἀποκτείναντος τοὺς πρεσβύτας, ἰδίαν ὄντας γενεὰν, ὡς καὶ ὁ Νέστωρ καὶ μόνος περισωθεὶς τῆς τρίτης γενεᾶς ἐβασίλευε τῆς περὶ τοὺς παῖδας.

272. Τοῦτο τὸ σχῆμα οἱ μὲν κλίσιν, οἱ δὲ μετάληψιν ὠνόμασαν, ὅταν ἡ τεθεῖσα πτῶσις κλίνηται, "τοὺς ὅσοι τὸ Πελασγικὸν" (Il. B. 681.)

277. Ἤτοι τῆς Πελοποννήσου οὕτω κληθείσης ἐξ Ἄπιδος τοῦ Φορωνέως.

Οὐδέποτε παρὰ τῷ ποιητῇ εἴρηται δισύλλαβος ἡ τοῦ θέλω κλίσις. ὥστε ἐπὶ τοῦ "μήτε συ Πηλείδ' ἤθελε" τῷ λόγῳ τῆς συναλοιφῆς, εἰς τὸ η τίθεμεν τὴν ὀξεῖαν. ἔστι δὲ ὁ τρόπος ἀντισήκωσις. συντέμνει γὰρ τὴν παραίνεσιν, ὅπως μὴ μένων ἐπαχθὴς εἶναι δόξῃ. τὸ δὲ ε ἐτράπη εἰς τὸ η. ἔθελε γὰρ ὤφειλεν εἶναι.

292. ὑποβλήδην] Ὑποβαλὼν τὸν ἴδιον λόγον Ἀχιλλεὺς καὶ μεσολαβήσας Ἀγαμέμνονα, πρὶν ἢ σιωπήσῃ αὐτὸς εἰπὼν, σύμβολον δὲ θυμοῦ μὴ ἀνέχεσθαι διεξοδικῶς[8] τῆς κατηγορίας.

Ib. δῖος] Ἐξόχου, τῆς ἀπὸ Διὸς εὐγενείας χάριν δῖος ὁ Ἀχιλλεὺς, ὁ μέντοι Ὀδυσσεὺς δῖος χάριν συνέσεως, Ἀλέξανδρος καὶ Κλυταιμνήστρα κάλλους, Εὔμαιος εὐνοίας, θαλάσσα καὶ Χάρυβδις μεγέθους. τὸν μέντοι Ἀχιλλέα καὶ διογενῆ δίχα τοῦ κυρίου καλεῖ, ὡς τὸ

αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ.

430. Obiter moneo corrigendum esse Sch. Vict. ad v. 430. p. 35, 56. Bekker. Ζηνόδοτος τὸ προηγούμενον τῆς τοιαύτης ἐννοίας, e Cod. Townl. qui habet ζη^τ. (i. e. ζήτει) τὸ προηγούμενον κ. τ. λ.

Id. Cod. ad v. 434. v. ὑφέντες leg. Οὐ γὰρ ᾔδεσαν τῶν ἀνέ-

[8] διεξοδικῶς etiam Codd. Townl. et Lips.

μων τὸ παλίμβολον. ἄλλως τε ἐν Ἰλιάδι ταύτην μόνην ἔχων ἔκπλοιαν, τρόπον ἐδίδαξεν προσορμισμοῦ. ὑφέντες δὲ Ζηνοδότου. αἱ δὲ ἄλλαι ἐφέντες. πρότονοι δὲ τὰ ἀπὸ πρύμνης εἰς πρῷραν (Cod. [illegible]) *διήκοντα σχοινία.*

Notandum est autem Cod. Townl. omnia fere habere quæ Cod. Lips. a Bachmanno nuper editus exhibet, et præterea, ea Scholia quæ ut Victoriana vulgo citantur. Hæc porro in multis a Cod. T. corrigi debent, ut in v. 458. *προβάλοντο: προεβάλοντο εἰς τὸν βωμόν. οὐχ ὡς Ἀριστοφάνης* (Pac. 925. Bekker.)

σείου σὺ ταχέως· εὖ δὲ πρότεινε τῶν ὅλων

ubi male Sch. V. *τῶν λόγων.*

576. *Ἡρωδιανὸς ἐν τῷ Συμποσίῳ φησὶν ὅτι ἦδος βούλονταί τινες δασύνειν, ἡμεῖς δὲ ἐκρίναμεν ὥστε μᾶλλον ψιλοῦσθαι, ἐπειδὴ τὰ εἰς ος λήγοντα ὀνόματα οὐδέτερα δισύλλαβα, ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, θέλουσι ψιλοῦσθαι, οἷον, αἶσχος, εὖχος, εἶδος, οὐδὸς, τὸ ἦδος οὖν ψιλὸν, ὡς τροχαϊκὸν τῶν εἰς ος ληγόντων. παράγεται δὲ ἐκ τοῦ ἥδω ἦδος.*

591. *βηλοῦ*] *Τινὲς δὲ κατὰ Χαλδαίους τὴν ἀνωτάτω τοῦ οὐρανοῦ περιφέρειαν, οἱ δὲ κατὰ Δρύοπα τὸν Ὄλυμπον. ἄμεινον δὲ τὸν βατῆρα λέγειν, ὃν καλοῦσι φλοίαν.* mox *Πανύασις δὲ τὰ πέδιλα βίολα*[h] *καλεῖ.*

606. *Πρῶτος δὲ Ὅμηρος ἀρχὴν ἔδωκεν ἀπὸ τῶν μαθητῶν εὑρηκὼς, ἕκαστον τῶν θεῶν οἶκον ἴδιον ἔχειν.*

B.

V. 11. *Καρηκομόωντας δὲ λέγει τοὺς Ἀχαίους, ἐπειδὴ ἔθος ἦν αὐτοῖς κόμην τρέφειν, οὐ μόνον εἰς κάλλος ἀλλὰ καὶ διὰ τὸ φόβερον. ἐν πένθους δὲ καιρῷ, μόνον κείρεσθαι. καὶ ἐν ἀκμῆς καιρῷ, καὶ ἀνατιθέναι Ἀπόλλωνι κουροτρόφῳ, τοῖς ποταμοῖς· καὶ ἦν οὗτος μὲν ὁ πλοκαμὸς θρεπτήριος, πενθητήριος δὲ ὁ ἕτερος. τούτου δὲ τοῦ ἔθους προκατῆρξε Θησεύς. κειράμενος γὰρ τὴν ἐμπροσθίαν κόμην εἰς Δῆλον ἀνέθετο τῷ Ἀπόλλωνι. εἰ δέ τινες τῶν Ἑλλήνων οὐκ ἦσαν καρηκομόωντες παρεσημειώσατο αὐτοὺς ἡ ἱστορία, καὶ*

[h] Sic et multi alii Codd.

ἐκ τοιούτου παρασήμου τοὺς ἄνδρας ὠνόμασε Κουρῆτας καλέσασα, τοὺς δὲ ἀντιθέτους αὐτοῖς Ἀκαρνᾶνας. ἐκ δὲ τοῦ τοιούτου κομᾶν λέγεται καὶ τὸ ἐπί τινι κατορθώματι ἐπαίρεσθαι. Cod. 2681.

129. τόσσον ἐγώ φημι] Διπλασιασμὸς ὁ τρόπος. ἔστι δὲ διπλασιασμὸς τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ τὸ μέσον οὐκ ἀποτελοῦντος συλλαβὴν, οἷον ὅτι ὅττι, ἄδην ἄδδην, ἔνεπε ἔννεπε, ὅσος ὅσσος. τὸ πάθος Ἰώνων. τούτῳ ἐναντίον ἡ παρέλλειψις. ἔστι δὲ παρέλλειψις, ὅταν τῶν διπλασιαζομένων συμφώνων ἓν παρείληπται, οἷόν ἐστι παρὰ τῷ Ἀλκαίῳ τὸ κάλιον ἀντὶ τοῦ κάλλιον[i].

136. αἵ δέ που ἡμέτεραι ἄλοχοι] Προσθεὶς δὲ τὸ "ποτι-"δέγμεναι" ὀρθῶς καὶ κατ' ἐπικρατείαν τοῦ θηλυκοῦ γένους πεπλεόνακεν, καὶ οὐ ποτιδέγμενοι.

145. Βορέας ἀπὸ ἄρκτου πνεύσας ἄνωθεν κινήσει, ἤτοι φυσήσει. καὶ ὅτε μέντοι ῥῆμα προτάσσεται τῶν δύο ὀνομάτων, δύναται ἑνικῶς εἶναι,

> ἐξενάριξεν
> Ἕκτώρ τε Πριάμοιο πάϊς καὶ χάλκεος Ἄρης.

ὅτε δὲ δευτερεύει, δυϊκὸν καὶ πληθυντικὸν

> ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
> τιλλέσθην

νῦν οὖν τοῦτον Εὐρόνοτον φησὶν, ὃς καὶ ἐκνεφίας καλεῖται, ὡς ἀπὸ τῶν γνοφωδῶν νεφῶν συμπεπλεγμένος τοῖς πολλοῖς.

151. ἀλλήλοισι κέλευον] Τουτέστι εἰς ἕνα ἐσπούδαζον.

155. ἐτύχθη δὲ κατ' ἔλλειψιν τοῦ ε, πολλάκις δὲ καὶ διὰ τοῦ υ ὡς ἐτεύχθη.

183. Ἀπεδύσατο δὲ τὴν χλαμύδα διὰ τὸ μὴ ἐμποδίζεσθαι αὐτὸν σπεύδοντα ὑπὸ τοῦ πλήθους τῶν ἱματίων.

190. οὔ σε] Ἡ ἀκριβὴς ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ κοινή.

193. τάχα δ' ἴψεται] Μετρίως, ἵνα μὴ καταισχύνῃ τοὺς Ἕλληνας. τινὲς δὲ ἐν ἐρωτήσει, μὴ οὐκ ἠκούσαμεν; τὸ δὲ μήτι ἐστι διστακτικόν.

τάχα δ' ἴψεται] Διστακτικὸν τοῦτο. Cod. Townl.

197. Ἢ τῶν "ἐκ Διὸς," οὕτω γὰρ οἰκειότερον ὂν διὰ τὸ μέτρον. τὸ γὰρ δῑ ἐνταῦθα βραχύ ἐστι, τὸ δὲ δηλοῦν τὸν εὐγενῆ[j], μακρόν.

[i] Sic et Trypho πάθη λεξ. Mus. Crit. p. 39. [j] εὐγῆ Cod.

199. Πῶς οὖν δημοχαρής[k] ἐστιν ὁ Ὀδυσσεὺς κατὰ τοὺς τραγικούς;

200. Ἵνα τούτων ἀκούοιεν καὶ ἔκδηλος ἡ βουλὴ γένηται.

212. In Schol. e Pherecyde pro Πορθάονος leg. Cod. Townl. Παρθάονος.

219. φοξὸς] Τῶν ἅπαξ εἰρημένων ἐστιν ἡ λέξις. εἴρηται δὲ ἀπὸ τῶν κεραμεικῶν ἀγγείων, τῶν ἐν τῇ καμίνῳ ἀπὸ τοῦ φωτὸς ἀποξυμένων, καθά φησι Σιμωνίδης,

αὕτη δὲ φοξίχειλος (Cod. φοξίχειρος) Ἀργείη κύλιξ.

ἔνιοι δὲ τῶν ἐπὶ τὰ φάη ἀποξυμμένην ἐχόντων τὴν κεφαλήν.

Ib. ἐπενήνοχεν (sic)] Ἔπηνθεν, ἐπέκειτο. τὸ ἐνήνοθεν οὐ δύναται εἶναι Ἀττικὸν, καθὰ ἤνοθε καὶ ἐνήνοθεν οὐ διπλασιασμὸς Ἀττικός. ἀπὸ γὰρ τοῦ ἔω τοῦ σημαίνοντος τὸ ὑπάρχω γίνεται παράγωγον ῥέθω, ὡς φλεγέθω, ἐρέθω, νεμέθω. εἶτα κατὰ συνέλευσιν τῶν δύο εε εἰς η ἤθω γίνεται τὸ θέμα. ὥστε οὐ δεῖ λέγειν ὅτι κατὰ πρόσθεσιν τῆς ἐν ἐγένετο ἐνήθω, ἤνοθα, ὁ μέσος παρακείμενος ἐνήνοθα. ἢ κατὰ Φιλόξενον ἐκ τοῦ ὄθω τοῦ σημαίνοντος τὸ κινῶ, μετὰ τῆς ἐν ἐνόθω, ἐνόσω ὁ μέλλων, ὅθεν Ἐνοσίχθων καὶ ἐνοσίφυλλος. ἤνοκα καὶ ἤνοθα ὁ μέσος, καὶ διπλασιασμὸς Ἀττικὸς ἐνήνοθα, ὅπερ καὶ ἄμεινον τούτου λαμβάνειν.

226. πλεῖαί τοι] Οὐκ ἀπὸ τοῦ πλεῖον ἀλλ' ἀπὸ τοῦ πλείω, ἀφ' οὗ τὸ "πλεῖος μέλανος θανάτοιο."

234. Ἄμεινον μετὰ τὸ "ἐόντα" στίζειν, εἶτα ἐπιφέρειν τὸ κακόν.

Ib. ἐπιβασκέμεν] Ἤτοι φέρειν ἡγέμονά, φησιν, ὑπάρχοντα τῶν ἡμῶν ἐπιβαίνειν καὶ τοὺς Ἕλληνας ἐν κακοῖς ποιεῖν, ἤγουν ἐπιβάζειν εἰς ὁδὸν κακήν.

238. ἠὲ καὶ οὐχὶ] Ἄμεινον ὀξύτονον· ἵν' ᾖ, ἢ δή τι αὐτῷ προσβοηθοῦμεν, ἢ οὐδαμῶς.

270. ἡδὺ ἐγέλασαν ἐπὶ τῇ ὄψει τοῦ Θερσίτου·

ὡς αἰσχρόν ἐστι μὴ[l] καλῶν ἀπ' ὀμμάτων
κλαίειν[m], πρόσωπον καὶ δακρυρροοῦν ὁρᾶν.

κολάζεται ὁ μὲν εὐφυὴς νουθεσίαις, ὁ δὲ ἄκοσμος βασάνοις, ὁ δὲ λελωβημένοις βραχείᾳ πληγῇ καὶ μεθ' ὅρκων ἀπειλῇ.

[k] δημοχαριστὴς Eur. Hec. 143. [l] καὶ Cod. Lips.
[m] κλᾶον leg. cum Cod. Lips.

278. Προκατεσκεύασε δὲ αὐτῷ ὁ ποιητὴς τὴν τῆς Ἰλίου πόρθησιν ὡς ὀψέ ποτε τοῦ Ὀδυσσέως ἐπινοήσαντος τὴν τοῦ δουρείου ἵππου κατασκευήν.

302. οὓς μὴ κῆρες ἔβαν] Ὅσους μὴ καθαρπάσας ὁ θάνατος ἐπῆλθε.

308. Ὁ δράκων Ἀθηνᾶς ἱερὸν, οἱ στρουθοὶ Ἀφροδίτης. χρόνον τε δηλοῦσιν, ἐπεὶ πτηνὸς ὁ χρόνος. ὁ δὲ λίθος, ἐπεὶ οὐκέτι κίνησιν ἔλαβεν ὁ πόλεμος. τὸ δὲ ἐφ᾽ ὕψους κεῖσθαι τὴν νεοττιὰν, τὴν ἠνεμόεσσαν Ἴλιον. οἱ δὲ ὑποπετάλιοι (Cod. Townl. ὑποπετήλιοι) νεοσσοὶ τὸ ὀλιγοχρόνιον τῶν Τρώων. μαραινομένων γὰρ ὅσον οὐδέπω τῶν φύλλων ἀποπεσεῖται. ἡ δὲ ἐνάτη μήτηρ τοῦ ἐνναέτους τοῦ πολέμου τὸ ἐναγώνιον ἐσήμανεν.

Ad v. 307. πλατανίστῳ leg. cum Cod. Townl. καὶ Πλάτων Φαίδρῳ πλάτανον καὶ τὸ παρραρέον ὕδωρ φησί. Id. Cod. ad 308. μέγα σῆμα: ὧδε ἡ στιγμή.

316. πτερύγος] Ὁ μὲν κανὼν προπαροξύνεται πτέρυγος, ἀλλ᾽ ἐπειδὴ οὕτω δοκεῖ στίζειν τῷ Ἀριστάρχῳ, πειθόμεθα αὐτῷ ὡς πάνυ ἀρίστῳ γραμματικῷ [n].

417. χαλκῷ ῥωγαλέον] Τῷ σιδήρῳ διακοφθησόμενον. ἢ παρὰ τὸ ῥήσσω, ἐξ οὗ καὶ "κατερρωγότα ἱμάτια." Cod. Townl.

420. ἀλλ᾽ ὅγε δέκτο μὲν ἱρὰ] Ὡς τῶν μάντεων λεγόντων, ὡς δέδεκται τὴν θυσίαν, καὶ δώσει τὸ πέρας, οὐκ ἀκουιτὶ δέ. Cod. Townl.

484. Ὁ νοῦς, ὑμεῖς γὰρ θεαί ἐστε καὶ ἀεὶ ἐνυπάρχετε τοῖς ζῶσι, καὶ ἐπίστασθε πάντα ἀκριβῶς. ἡμεῖς δὲ μόνα τὰ ἐν τῷ βίῳ εὐκλεῆ ἀκούομεν. Cod. Townl.

Καὶ γὰρ Ἡσίοδος τὴν Καλλιόπην κυριωτέραν φησὶν, λέγων οὕτω·

Καλλιόπη δὲ προφερεστάτη ἐστὶν ἁπασῶν.

716. Μηθώνην] Τὸ ἐθνικὸν Μεθωναιεὺς, Πορφύριος δὲ Φθίους ἑτερωνύμως λέγει. Cod. 2681.

722. Φησὶν ὁ Πορφύριος περὶ Τένεδον ἢ Ἴμβρον δηχθῆναι τὸν Φιλοκτήτην. Cod. 2681.

751. ἔργ᾽ ἐνέμοντο] Ἰακῶς τὸ νέμοντο Ἀρίσταρχος. Cod. 2681.

[n] Cf. Anecd. Oxon. t. IV. p. 337, 22.

Γ.

V. 6. Πυγμαίοισι] Φησὶ δὲ αὐτοὺς Ἑκαταῖος ἐπὶ σχῆμα τῶν κριῶν ἐξίοντας ἀλέξασθαι αὐτάς. Cod. Townl.

18. Ἄνευ τοῦ ἄρθρου ἐν πάσαις καὶ χαριεστέραις. εἰ (leg. ἡ) δὲ σὺν ἄρθρῳ γραφὴ, καίτοι μὴ οὖσα Ἀριστάρχου, ὅμως δὲ ἔχει Ὁμηρικὴν συνήθειαν, ἔθος γὰρ αὐτῷ περὶ τὰ αὐτοῦ διαλεγομένῳ μεσολαβεῖν τὸ ἄρθρον, ὡς περὶ ἄλλου γέγονε, ὡς ἐπὶ Σαρπηδόνος,

αὐτοῦ μὲν ἀπήμβρωται, ὁ δὲ Πήδασον οὖτα.

Cod. Townl.

39. Τὸ "γυναιμανὲς" ἀπὸ τῆς γυναικὸς γενικῆς συνεκόπη γυναικομάνης, καὶ οὐχὶ ἀπὸ τῆς κλητικῆς. οὐδέποτε γὰρ ἀπὸ κλητικῆς σύνθετον ὄνομα συντίθεται, ἀπὸ δὲ ἄλλων πτώσεων. Cod. Townl. sec. man.

42. Ἢ ὅτι οὕτως ἐπὶ πάντων ὁρώντων τὴν ἀπὸ τῆς φυγῆς αἰσχύνην κερδαίνειν. δεῖ δὲ εἰς τὸ λώβην στίξαι, καὶ τὸ λοιπὸν συναπτέον ἕως τῶν ἄλλων. Cod. Townl.

61. δουρὸς] Παντὸς ξύλου διὰ τὴν δρῦν. Cod. Townl.

64. Ἑστιαία φησὶν ἡ γραμματική—Ἀπλεάνθης δὲ καὶ ἐν Λέσβῳ. Sic Cod. Townl. et Par. 2556.

75. Ἄργος ἐς ἱππόβοτον] Ἑλλανικός φησι Φορωνέως γεγενῆσθαι παῖδας τρεῖς, οἵτινες μετὰ θάνατον τοῦ πατρὸς διενείμαντο τὴν Ἀργείαν. καὶ τὴν μὲν πρὸς Ἐρασινῷ τῷ ποταμῷ Πελασγὸς λαχὼν ἔκτισε τὴν νῦν καλουμένην Λάρισσαν, Ἴασος τὰ πρὸς Ἦλιν. ἀναλωθείσης δὲ τῆς γῆς ὁ νεώτερος Ἀγήνωρ πολλὴν ἵππον ἐκτήσατο. ὅθεν ἐν τῷ αὐτῷ χρόνῳ ὠνόμασται τρίχως τὸ Ἄργος, Ἴασον Ἄργος, Πελασγικὸν Ἄργος, ἱππόβοτον Ἄργος. Cod. Townl.

99. Ἀπὸ δὲ τοῦ πήθω τὸ πέποσθε, τοῦ πεπόνησθε συγκοπῇ. οἱ δὲ ἀπὸ τοῦ πέπασθε μεταβολῇ. Cod. Townl.

117. Τὸ "καρπαλίμως" τούτῳ τῷ στίχῳ συναπτέον οὐ τοῖς ὀπίσω. Cod. Townl.

144. Πιτθῆος θυγάτηρ] Καὶ πῶς τοσούτων ἐτῶν οὖσα ἀμφιπολεῖν δύναται; ἀλλὰ καὶ ἐπὶ τῆς γραὺς κεῖται. "γρηῒ σὺν "ἀμφιπόλῳ." πιθανώτερον δὲ ὁμωνυμίαν εἶναι. οὐ γὰρ ἡ ἡλικία ἐᾷ.

τοὺς περὶ Θησέα γὰρ προτέρους ἄνδρας ὁ Ὀδυσσεύς φησι. πῶς τε εἰ ἐν Τροιζῆνι ἐκεῖνος ἦν; πῶς τε Μενέλαος τὴν θείαν δουλεύειν ἠνείχετο; Πελοπὶς γὰρ ἦν· κουριδίην (κουρίην Cod.) τε ἄλοχον Μενέλαος αὐτον (sic) φησίν. Cod. Townl.

145. Σκαιαὶ πύλαι] Καὶ Δαρδανίας ἐνίοτε αὐτὰς φησὶν, ἢ τὰς ἀριστέρας, ἢ ὅτι κατὰ ταύτας εἰσῆλθεν ὁ δούρειος ἵππος, καὶ ἐπορθήθη ἡ πόλις. Cod. Townl.

175. Δίαιθος καὶ Μορραφίων. Cod. Par. 2556.

186. Ὀτρεὺς καὶ Μυγδὼν παραδίδονται ἡμῖν παῖδες Δύμαντος, ἀδελφοὶ τῆς Ἑκάβης, βασιλεῖς Φρυγίας. Cod. Townl. sec. man.

189. Ἀμαζόνες] Post ὄφεσι καὶ σαύραις Cod. Townl. add. τινὲς δὲ ταῖς σαυροματίσι φασὶν αὐτάς.

206. ἀγγελίης] Ὡς "ἀγχονίης θάνατος ὀρθῆς." Cod. Townl.

250. Στάμις δὲ] Στάμων Cod. Par. 2556. 2679. Σταμὼν δὲ 2766. Θόωσαν 2766. ἀντὶ Τεύκρου 2766.

262. Ὁ μὲν Ἀρίσταρχος ἄμεινόν φησι τὸ βήσετο, οὐ μεταποιεῖ δὲ τὴν γραφήν. Cod. Townl.

Δ.

V. 43. longum Scholion quod incip. Πῶς Ζεὺς δῶκά σοί φησιν. Porphyrio attribuit Cod. 2681.

66. In Schol. quod inc. Τὰ εἰς δας ὑπὲρ δύο συλλαβάς. Cod. 2766. leg. κυδήεις κυδήεντος καὶ ὑπερκυδήεις. et mox ὑπερκυδάναντος καὶ κατὰ συγκοπὴν ὑπερκύδαντος.

137. Τὸ δὲ ἔρυμα Ζηνόδοτος καὶ Ἀριστοτέλης ἔλυμα λέγουσιν.

141. —ἐπὶ παντὸς γὰρ ζῴου τὸ μελάγχρουν ἐστὶν ἰσχυρότατον—μιήνῃ δὲ τὸ μίξει ἢ βάψει. Cod. 2681.

193. Μαχάονα υἱὸν Ἀσκληπίου καὶ Ἀρσινόης ἢ Κορωνίδος, κατὰ δέ τινας Ἡσιόνης τῆς Μέροπος. κατὰ δὲ Ἡσίοδον Ξανθινόης. ἰατρὸν ἀπὸ τοῦ ἰᾶσθαι τὰ πάθη. Cod. 2767.

218. Ἰστέον ὅτι τρεῖς φαρμάκων ἰδέαι παρ' Ὁμήρῳ. ἐπίπαστα ὡς νῦν ἐπὶ Μενελάῳ, "ἤπια φάρμακα εἰδὼς πάσσεν."

ὁ Μαχάων χριστὰ, οἷον "ἶκε χρίεσθαι." καὶ πιστὰ τὸν Αἰσχύλον, τουτέστι πότιμα, ὡς ἐπὶ Ἑλένης ἐν Ὀδυσσείᾳ τῷ κρατῆρι ἀναμιξάσης φάρμακα. Cod. 2767.

226. Πορφυρίου. Ἐζήτηται πῶς τοὺς ἵππους καὶ τὰ ἅρματα εἴασα. κ. τ. λ. Cod. 2681.

296. Οἱ δὲ οὐχ ὡς ἐπιτιμᾶται ἔταξε, καὶ γὰρ Βοιωτοὺς οὕτω τάττειν δοκεῖ. Cod. 2681.

Πορφυρίου ἑτέρα ἐξήγησις εἰς τὸ αὐτό. καὶ γὰρ καὶ τὸ

ἱππῆας μὲν πρῶτον σὺν ἵπποισι καὶ ὄχεσφι

οὔ φασι τακτικὸν εἶναι, οὐδὲ γὰρ οὕτως τάσσειν ὡς Νέστωρ εἰσῆκται. τινὲς μὲν οὖν φασὶ Βοιωτοὺς εἰρῆσθαι τούτῳ, ὥστε ἀπὸ τοῦ ἔθους ἡ λύσις. οἱ δὲ ἀπὸ τῆς λέξεως. ὁ γὰρ πρῶτον δῆλον τὸ δεξιὸν κέρας, ὄπισθεν δὲ τὸ ἀριστερόν. Cod. 2681.

425. Ἄχνη παρὰ τῷ Ὁμήρῳ τὸ λεπτότατον τοῦ κύματος, ὅπερ ἐν ταῖς ἔξω προσρήξεσιν ἀπαφρίζεται. Σοφοκλῆς δὲ ἄχνην τὴν δρόσον φησὶν, ὡς ὅτε

θάλλει δ' οὐρανίας ὑπ' ἄχνης
ὁ καλλίβοτρυς νάρκισσος

οὐδ' αὐτὸς προσφυῶς γράψας διὰ τὸ μηδὲ τὰς τοῦ ὑετοῦ σταγόνας συνεχεῖς ἀλλὰ διεχεῖς, ὅθεν καὶ ἡ ἄχνη ὠνόμασται ἀέχης τις οὖσα καὶ κατὰ κρᾶσιν καὶ πλεονασμῷ τοῦ ν ἄχνη. Εὐριπίδης δὲ καὶ αὐτὸς μιμησάμενος τὸ ἁλὸς ἄχνη, "οἰνωπὸν ἄχνην" (Orest. 115.) λέγει τὴν ἐν λοιβαῖς καταχεομένην τῆς γῆς. τοῦ δὲ ἀέχνη ἄχνη ταυτότης μὲν ἐν τῷ ἀέχην ἄχην ὁ πτωχὸς, ὁμοιότης δέ τις ὡς τὸ ἀέχω ἄχω παρὰ Σοφοκλεῖ. Cod. 2681.

E.

V. 69. Πήδαιον] Βαρυτονητέον. τὰ γὰρ διὰ τοῦ αιος ὀνόματα τρισύλλαβα κύρια, μὴ ὄντα ἀπὸ ῥημάτων παράγωγα μηδὲ σύνθετα, ἢ ἀντιδιαστελλόμενα, προπερισπώμενά εἰσιν· οἷον, Ἀλκαῖος, Ὑβλαῖος, Μουσαῖος. μὴ ἀπὸ ῥημάτων εἶπε παράγωγα, διὰ τὸ τιμῶ Τίμαιος, καὶ λύω Λύαιος, καὶ φιλῶ Φίλαιος, καὶ πηδῶ Πηδαῖος. μηδὲ σύνθετα διὰ τὸ Εὔμαιος, μητὲ ἀντιδιαστελλόμενα διὰ τὸ μὴν μηνὸς μήναιος. τὸ μέντοι τρυγῶ Τρυγαῖος οὐ κύριον, ἀλλ' ἐπίθετον Διονύσου.

269. θηλέας ἵππους] Ἡ διπλῆ ὅτι οἱ περὶ Ἑλλανικὸν ἀνέγνωσαν θηλέας ὡς ταχέας, ὡς Δωρικῶς συνεσταλκότος τοῦ ποιητοῦ.

Ζ.

V. 24. σκότιον ὡς λόγιον. ἔστι δὲ καὶ ὄνομα κύριον. τὸ δὲ κύριον ὄνομα παροξύνεται, ὡς παρὰ Πινδάρῳ.

507. κροαίνων] Ἐπικρούων τοῖς ποσὶ, ἢ ἐπιθυμῶν, ἢ χρεμετίζων. οἱ δὲ νεώτεροι ἐπιθυμεῖν τὸ κροαίνειν, καὶ Ἀρχίλοχος.

518. ἠθεῖ'] Ταῦτά τινες προσαγορευτικὰ, οὐδέποτε δὲ πατρὶ υἱὸς αὐτά φησιν, ἀλλὰ πρός τινα, τέττα, ἄττα, πάππα, ἠθεῖε· ἔστι δὲ προσφώνησις νεωτέρου ἀδελφοῦ πρὸς πρεσβύτερον. ἢ παρὰ τὸ θεῖος δεῖ αὐτὸν κανονίζεσθαι, καὶ κατὰ τὸν πλεονασμὸν τοῦ η αὐτὸν γεγονέναι.

Ι.

V. 603. ἄττα, γεραιὲ] Ἄττα Θεσσάλων ἡ φωνὴ, καί ἐστι προσφώνησις νεωτέρου πρὸς πρεσβύτερον. τοῦτο δὲ ὑπερβιβάσαντες λέγουσιν, ὅ ἐστιν, ἑταῖρε.

Κ.

V. 56. Ἦτοι μέγα—ὡς Εὐριπίδης ἐν Πολυείδῳ

μάτην γὰρ εἰκοστὸν τόδ' ἐκβαίη τέλος.

334. πολιοῖο] Καὶ γὰρ Πελίαν ἐντεῦθέν φασιν ὠνομάσθαι κ. τ. λ. Ex Hellanico hæc esse desumpta certum est coll. Auct. Epimerism. Homer. p. 344, 9.

408. πῶς δαί] ὁ δαὶ διὰ διφθόγγου. καί ἐστι μὲν συμπλεκτικὸς, μόνοις δὲ τοῖς πυσματικοῖς συντάσσεται. καὶ ἀπορεῖ ὁ Ἀπολλώνιος περὶ αὐτοῦ λέγων, ὡς οἱ μὲν παραπληρωματικὸν αὐτὸν θέλουσιν εἶναι ἰσοδυναμοῦντα τῷ δὴ, ὅτε παρέλκει. οἱ δὲ περὶ Ἀρίσταρχον αὐτόν φασιν ἰσοδυναμεῖν τῷ δὲ, διὰ τοῦ ε ψιλοῦ, καὶ εἶναι συμπλεκτικόν. διόπερ ἐν τῷ "πῶς δαὶ (Cod. δὲ) τῶν "ἄλλων Τρώων φυλακαί τε," δυνάμενος μὲν ἀποστρέψαι τὸ δαι, ἵνα ᾖ ὁ δὲ συμπλεκτικὸς συναληλιμμένως. δασύνει δὲ τὴν αι δίφθογγον, καὶ πληθυντικὸν ἄρθρον ἐκδέχεσθαι. δεῖται γὰρ τοῦ ἄρθρου ἡ σύνταξις. τοῦτο μὲν οὐ πεποίηκε, ψιλῶς δὲ τὸν δαι προσήγαγε, καθ' ἓν μέρος λόγου σύνδεσμον ἐκδεχόμενος συμπλεκτικῶς, γινώσκων τοῦ ποιητοῦ τοῦτο τὸ ἰδίωμα, ὡς ἐλλειπτικὸς

τῶν ἄρθρων ἐστί. τούτῳ δὲ τῷ συνδέσμῳ μετὰ πυσματικῶν χρῆται "τίς δαὶ (Cod. δὲ) ὅμιλος ὅδ' ἔπλετο;" "ποῦ δαὶ ναῦς ἕστηκεν;" οἷς ὅμοιόν ἐστι τὸ προκείμενον.

N.

V. 48. Αὐΐαχοι ἀντὶ τοῦ ἀνίαχοι. τοῦ γὰρ ν ἐξαιρεθέντος, ὑπεισῆλθε τὸ υι, καὶ γίνεται αὐΐαχοι, ὡς καὶ τὸ ἀγαθοὶ ἀγαυοί. Χρύσιππος δὲ ὁ ἱστορικὸς[o] καὶ Διονύσιος ὁ Θρᾷξ βαρύνουσι τὸ ἴαχοι, ἵν' ᾖ ξηρόφωνοι.

96. νέας ἀμὰς] Τὸ ἁμὰς ἐκτείνει κατὰ τὸ τέλος, καίτοι Δώριον ἔχει τὴν προτέραν συλλαβὴν, ἐπεὶ ἐν οἴκῳ[p] παραμυθεῖται τὸ διὰ τοῦ η λεγόμενον ἁμὴν, ὅπερ ὁλόκληρον ἡμᾶν Δωρικὸν, εἴπερ εἰς αν κατέληξεν.

103. θώων παρδαλίων τε] Οἱ θῶες ζῶον ἄλκιμον εὐκίνητον. ἔνιοι δὲ τὸ παραπλήσιον. τὸ δὲ θοῶν (sic) ἔνιοι περισπῶσιν, ἵν' ὁμοτονεῖ τὸ θυρῶν καὶ κυνῶν, οὕτω δὲ καὶ 'Αρίσταρχον φασὶ προφέρεσθαι. Διοκλῆς καὶ ὁ Θρᾷξ Διονύσιος, ὡς βαρύνοντα τὴν λέξιν τὸν 'Αρίσταρχον διαβάλλουσιν. Κάσσιος (Cod. κάσιος) δὲ ἀπολογούμενος ὑπὲρ τῆς βαρυτονήσεως λέγει ὅτι τὰ μονοσύλλαβα, ὅταν μὴ ἔχῃ τὴν πληθυντικὴν ἐπὶ τῆς τελευταίας συλλαβῆς μετὰ συμφώνου ληγομένην, πάντως καὶ κατὰ γενικῆς περισπᾶται. οἷον θῆρες, κύνες, χεῖρες ὅτε δὲ ἀπὸ φωνήεντος ἄρχεται, πάντως βαρυτονεῖται, οἷον, Τρῶες, δμῶες, θῶες. ἀντίκειται δὲ αὐτοῖς τὸ παίδων καὶ πάντων. Χάρης δὲ οὐκ εἶναι ἐν δισυλλάβοις ἀπολογίαν φησίν.

137. ὀλοοίτροχος] 'Ο ἐν τῷ τρέχειν ὀλοὸς, ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπίπτον βλάπτει. Δημήτριος γοῦν ὁ Γονυπεσὸς δασύνει, ἵν' ᾖ ὁλετροχοειδὴς καὶ κατὰ πᾶν μέρος ἀστήρικτος. οὕτω δὴ καὶ 'Ερμαδίας[q] καὶ Νικίας καὶ 'Αριστέας καὶ 'Αριστονίκος. Κομανὸς δὲ καὶ Πτολεμαῖος ὁ 'Ασκαλωνίτης ψιλοῦσι καὶ παροξύνουσιν, ἀκούοντες τὸ ἐπὶ τὸ τρέχειν ὀλοὸν καὶ δεινόν. ἐπένθεσις δὲ τοῦ ι περιττή. καὶ γὰρ χωρὶς αὐτοῦ σώζεται τὸ μέτρον. καὶ δεῖ αὐτοὺς ἀναλογίσαι τὸ "Ἄτλαντος θυγάτηρ ὀλοόφρονος." Δημόκριτος δὲ τὸ κυλινδρικὸν σχῆμα ὀλοοίτροχον καλεῖ.

[o] Leg. Στωϊκός. [p] Leg. ἐνικῷ. [q] 'Ερμαπίας Bekker.

Ο.

V. 138. Ἀπολλώνιος ἐν τῷ περὶ ἐπιρρημάτων ἠὺς καὶ γενικῇ ἠέος (Cod. υἱέος) καὶ ὑπερθέσει τοῦ ε ἔηος.

194. βέομαι] Δημήτριος ἀποβιώσομαι.

207. Ἀγγελὸν ἐσθλὸν ἔφα τιμᾶν μέγιστα πράγματα φέρειν Πίνδαρος Cod. Townl.

336. Ὁμοίως τῷ ποιητῇ καὶ Ἑλανικὸς τὴν Ἐριώπην μητέρα Αἴαντός φησι. Φερεκύδης δὲ ἐνεω (sic) καὶ Μνασεας ἐνῆ (sic) Ἀλκιμάχην. ὁ δὲ τῶν Ναυπακτίδων ποιητὴς διώνυμον αὐτήν φησιν

τὴν δὲ μεθ' ὁπλοτάτην Ἐριώπην ἐξωνόμαζεν
Ἀλκιμάχην δὲ πατήρ τε καὶ Ἄδμητος καλέεσκεν.

Cod. Townl.

410. Πᾶσαν δὲ τέχνην οὕτω καλοῦσιν. σοφοὺς τοὺς τεχνίτας καὶ τὸν κιθαρῳδὸν σοφιστὴν Σοφοκλῆς, καὶ τὸν ῥαψωδὸν Εὔπολις· (εὔπωλις Cod.) οἱ δὲ φιλόσοφοι σοφίαν εἶναι θείων καὶ ἀνθρωπίνων καὶ τῆς περὶ ἑκάτερον αἰτίας Cod. Townl. id. legit εὐειδῆ σοφίης.

470. Ὅτι Ζηνόδοτος γράφει πρῴην. ἔμφασιν δὲ ἔχει πλείονος χρόνου. τὸ δὲ πρώϊον σημαίνει πρωΐας ἐν τῇ κόλλ μάχῃ ἐν τῇ πρὸ ταύτης ἡμέρᾳ διερράγη ὑφ' Ἕκτορος. "ἡ δέ οἱ νεύρην," ὥστε εὔλογον τῇ ἑξῆς ἡμέρᾳ πρωΐας ἐνέβαλε τὴν νευρὴν ἐν τῷ τόξῳ. Cod. Townl.

Π.

V. 143. Καὶ ὁ τῆς μικρᾶς Ἰλιάδος ποιητὴς

ἀμφὶ δὲ πόρκης
χρύσεος ἀστράπτει καὶ ἐπ' αὐτῷ δικρ̊ αἰχμῆς.

Cod. Townl.

170. Καὶ Πίνδαρος πεντήκοντα ἐρεγμούς φησιν τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι. Cod. Townl.

221. χηλὸς] Οἱονεὶ κειλὸς παρὰ τὸ ἐγκεῖσθαι. οἱ δὲ παρὰ τὸ κῆλα, ὅ ἐστι τὰ ξύλα. οἱ δὲ παρὰ τὸ χωρῶν. Λάκωνες μὲν κιβωτὸν βούλονται, ἄλλοι λάρνακα, Μιτυληναῖοι δὲ ἀντίπηγα. Cod. Townl.

234. Διὰ τὸ Καλλιμάχου, κρηναίων τ' Εὐρώπη μισγομένων ῥ̄. Cod. Townl.

287. ἱπποκορυστὰς] Μίμνερμος, Παιᾶνας ἄνδρας ἄγων. Cod. Townl.

690. Ῥηϊδίως ὅτε δ' αὐτὸς] Ἀριστοφάνης τότε δ' αὐτός. Cod. Townl.

P.

V. 41. Ἔν τισι τῶν ὑπομνημάτων "ἐπὶ δηρὸν" ἐπεὶ καὶ ἀλλαχοῦ φησίν· "ἐπὶ δηρὸν δέ μοι αἰών." Cod. Townl.

51. κόμαι χαρίτεσσιν ὁμοῖαι] Ἀπίθανόν ἐστιν, ἀμόρφωτος γὰρ ἡ κόμη, εἰ μὴ οὕτως Μακεδόνες καὶ Κύπριοι χάριτας λέγουσι τὰς συνεστραμμένας καὶ οὔλας μυρσίνας, ἅς φαμεν στεφανιτίδας.

Cod. Townl. add. "πάρος γε μὲν οὐ θέμις εἶεν ἱππόκομον "πήλικα μιαίνεσθαι." ταῖς δὲ τῶν χαρίτων. οἱ δὲ γράφουσι "χαρίτεσσι μέλαιναι" ὑπὸ χαρίτων μελανθεῖσαι, αὗται γὰρ οὖλαι.

52. Παρειμένοι ἄνωθεν περιεδέδεντο. καινὰς τῆς

χρυσὸν ἔχων πόλεμον δ' ἴεν ἠΰτε κούρη.

ἔστι δὲ βαρβαρικὸς ὁ κοσμός. ταῦτα δέ τινες κάλυκάς φασιν. Cod. Townl.

54. Ἄλλως—χώρῳ ἐν οἰοπόλῳ] Πρὸς τὸ μὴ ἐκκόπτεσθαι ὑπὸ ὁδοιπόρων ἢ μὴ ἐμποδίζεσθαι τῇ ἐκφύσει τῶν πλησίον ῥιζῶν· ἧττον γὰρ εὔτροφα τὰ τοιαῦτα φυτὰ, ἀλλήλων τὴν εὐφυΐαν ἀφαιρούμενα. Cod. Townl.

65. δηϊῶν] Σὺν τῷ ι, καὶ περισπάσεις διὰ τὸ "δήιουν ἀλλή-"λων." τὸ γὰρ ἐντελὲς θέμα δηϊόων ἐστί. Cod. Townl.

458. ῥίμφα φέρον] Γρ. ῥίμφ' ἔφερον. Cod. Townl.

514. ἐν γούνασι] Τοῖς κόλποις, ὡς πολλάκις "γούνασιν ἐφεσ-"σάμενος," ὅ ἐστι πρόχειρα πάντα ἔχουσιν οἱ θεοί· οἱ δὲ ἐν τῇ τῶν θεῶν δυνάμει ἀπὸ μέρους. Cod. Townl.

542. Καὶ Ἀνακρέων "διὰ δέρην κόψε μέσην, καδδελωπὸς "ἐσχίσθη." Cod. Townl.

607. δόρυ] Ἡ ἐπιδορατὶς, ὡς πρώρας οὔσης τοῦ στύρακος. Cod. Townl.

Σ.

V. 198. Ζηνόδοτος αὐτὸς ἀντὶ τοῦ ψιλῶς δίχα ὅπλων. Cod. Townl.

206. ἐκ δ' αὐτοῦ] Αὐτοῦ τοῦ νέφους. Id.

285. Πουλυδάμα] Δίχα τοῦ ν, ὡς "Λαοδάμα τί μοι ταῦτα "κελεύετε;" Id.

312. Ἕκτορι μὲν γὰρ ἐπῄνεσαν: (ἐπήινεσα Cod.) Πιθανὴ ἡ οἰκονομία, εἰ γὰρ ἔφυγον εἰς τὴν πόλιν, ταυτὰ τοῖς ἐν ἀρχῇ ἐγένετο· τειχήρεις οἱ Τρῶες καὶ πολιορκία, καὶ οὐδ' ἂν ὁ Ἕκτωρ ἀπώλετο κωλυόμενος ὑπὸ τῶν δημογερόντων προελθεῖν, ὡς καὶ αὐτός που λέγει,

οἵ με θέλοντα ἰέναι ἐπὶ πρύμνῃσι νέεσσι,
αὐτόν τ' ἰσχανάασκον, ἐρητεύοντό τε λαοί.

Id.

352. ἑανῷ] Λεπτῷ, ὡς τὸ "ἑανοῦ κασσιτέροιο," ἀντὶ τοῦ λεπτοῦ, οἱ δὲ ὅ φασιν Ἀττικοὶ ληΐδιον. Id.

λιτὶ] Μεταπλασμός ἐστι τῆς λιτῷ δοτικῆς, ὥσπερ καὶ ἐπὶ τοῦ πολυπάταγι ἐκ τοῦ πολυπατάγῳ. οὐκ ἀνεβίβασε δὲ τὸν τόνον, κεκώλυκε γὰρ ἡ δισυλλαβία. ἐπὶ μέντοι τῆς αἰτιατικῆς τῆς λῖτα ἀνεβίβασε τὸν τόνον ἡ μετάπλασις, ἐπεὶ πᾶσα αἰτιατικὴ εἰς α λήγουσα βαρύνεται, χῆνα, παῖδα, ὑπεσταλμένου τοῦ τινα κατὰ ἀόριστον προφοράν. δεῖ δὴ ἀναγινώσκειν τὸ λιτὶ ὀξυτόνως κατὰ τὸν κανόνα Ἡρωδιανοῦ "πᾶσα δοτικὴ ἰσοσύλλαβος ἐπὶ ὀνομάτων "ὀξύνεσθαι θέλει, φωτὶ, παντὶ, θητὶ, οὕτω γὰρ καὶ ἐν τῇ Ἰλιακῇ "Προσωδίᾳ ἐν τῇ ψ λέγει." ὅτι δεῖ ὀξύνειν κατὰ τοῦτον τὸν κανόνα, οὕτω γὰρ καὶ Ἀρίσταρχος. εἰσὶ δὲ οἱ προπερισπῶσιν οὐ καλῶς εἶτα ἐπάγει οὕτως "παραιτητέον δὲ τὸν Ἀσκαλωνίτην οἰόμενον ἀπὸ τῆς λὶς εὐθείας κεκλῖσθαι τὴν λιτὶ δοτικὴν καὶ λῖτα αἰτιατικὴν, οὐ γάρ ποτε μεμελέτηκε τὰ εἰς ις μονοσύλλαβα διὰ τοῦ τοῦ κλίνεσθαι.

375. Τὸ μέντοι "τάλαρόν θ' ὑπόκυκλον ἔθηκε" ὑφ' ἓν, καὶ ἔχει οὐδετέρου παρασχηματισμόν. Cod. Townl.

376. δυσεάτ' ἀγῶνα] Οὕτως· ἐν δὲ ταῖς εἰκαιοτέραις, "θεῖον "κατὰ δῶμα νέοιντο." Id.

521. ἀρδμὸς] Καὶ ἐν Ὀδυσσείᾳ "ἐν δ' ἀρδμοὶ ἐπηετανοί" ἐκτατέον δὲ τὴν ἄρχουσαν τοῦ ἀρδμός. τὸ ἄρδω γὰρ

τὸν νῦν ἴν' ἄρδω, καὶ λέγω τι δέξιον.

Id.

563. κάμαξι] Καλάμαξι· πολυειδῶς δὲ τὰς ἀμπέλους φράζει. Id.

570. Λίνον] Ἀρίσταρχος εἶδος ᾠδῆς τὸν λίνον φησὶν, ὡς παιᾶνα καὶ ἤ τι τοιοῦτον, ἀπὸ Λίνου τοῦ ἥρωος. ἡ δὲ περὶ τὸν Λίνον ἱστορία παρὰ Φιλοχόρῳ ἐν τῇ ιθ´ καὶ παρὰ Μελανιππίδῃ. ἥτε καλουμένη σφαῖρα ποίημά ἐστιν εἰς τὸν Λίνον, ἀναφέρεται δὲ εἰς Ὀρφέα. ὁ δὲ Φιλόχορος ὑπ' Ἀπόλλωνος φησὶν αὐτὸν ἀνηρεθῆναι, ὅτι τὸν λίνον καταλύσας πρῶτος ἐχρήσατο εἰς τὰ ὄργανα. φησὶν δὲ αὐτὸν ἐν Θήβαις ταφῆναι καὶ τιμᾶσθαι ὑπὸ ποιητῶν ἐν θρηνώδεσιν ἀπαρχαῖς. ἐπιγραφή ἐστιν ἐν Θήβαις

ὦ Λίνε πᾶσι θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρῶτοι μέλος ἀνθρώποισιν ἀεῖσαι
ἐν ποδὶ δεξιτέρῳ· Μοῦσαι δέ σε θρήνεον αὐταὶ
μυρόμεναι μολπήϊσιν, ἐπεὶ λίπες ἠελίου αὐγάς.

Ἄλλως.

κρύπτω τὸν θεὸν ἄνδρα Λίνον, Μουσῶν θεραποντα.
τὸν πολυθρήνητον Λίνον αἴλινον ἥδε πατρῴα
Φοιβίοις βέλεσιν γῆ κατέχει φθίμενον

καὶ Ἡσίοδος

Οὐρανίη δ' ἔτικτε Λίνον πολυήρατον υἱὸν,
ὃν δή σοι βροτοί εἰσιν αλθίδαι[1] καὶ κιθαρισταὶ,
πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε,
ἀρχόμενοί τε Λίνον καὶ λήγοντες καλέουσιν.

Λίνον] Οἱ μὲν ὅτι πρῶτον ἀντὶ χορδῶν λίνῳ ἐχρῆτο τὸ πρὶν τὴν κίθαραν ἀπομείναντος τοῦ ὀνόματος, ὡς καὶ λίθον τὴν ἄγκυραν καλοῦσιν ἕως νῦν. οἱ δὲ ὅτι ὡς ἄγροικος ἐντετάκει τῇ κιθάρᾳ. Ἀρίσταρχος ὄνομα ὕμνου ἐπὶ Λίνῳ τῷ ἥρωϊ. ἔστι δὲ οὗτος ᾠδῆς εὑρετὴς Οὐρανίας υἱὸς, ὃν ἀνεῖλεν Ἀπόλλων ἐπεὶ τὸ λίνον καταλύσας χορδαῖς ἐγένετο ὄργανον. Cod. Townl.

572. ποσὶ σκαίροντες] Τὸ σπ[αρ]έρειν μετὰ τοῦ α φησὶν ὁ ποιητὴς κατὰ Ἀττικοὺς ἀσπαίροντα. ἔπειτα "ἣ ῥά οἱ ἀσπαίρουσα"—"ἀσπαίροντα λέων"—"ἤσπαιρ' ὡς ὅτε βοῦς." τὸ δὲ σκαίρειν οὐκ ἔτι· τὸ μὲν οὖν σπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὅ τινες ἐν ἰχθῦσι καὶ τῷ δεδεμένῳ κατὰ τὸν ποιητὴν βοΐ. τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον. οἶμαι δέ ἐγω τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον οὕτω προσηγορεύεσθαι, τῆς κινήσεως οὐχ ὁμοίως ἑκατέροις γινομένης, τῷ δὲ σκάρῳ πάντως ὀξυτέρας. καὶ Ὀππιανὸς ἐν τοῖς Ἁλιευτικοῖς "καὶ σκάρος ὃς δη.... ἐν ἰχθυσι

[1] Sic Cod. null. spirit. not. ἀοιδοὶ Eustath.

πᾶσιν ἀναύδοις φθέγγεται ἰκμαλέην λαλαγήν." ἀφ' ... καὶ τὴν "πολύσκαρθμον Μύρινάν" φησιν ὁ ποιητής, μίαν τῶν Ἀμαζόνων, καὶ εὐσκάρθμους ἵππους[k]. Cod. Townl.

576. Ζηνόδοτος ῥοδανὸν τὸν εὐκράδαντον διὰ τὸ ὕψος. Id.

579. Ζηνόδοτος κυάνεοι δὲ λέοντες. Id.

580. Προπαροξυτόνως τὸ ἐρύγμηλον, ἐγένετο δὲ παρὰ τὸ ἐρύγω ἐρύγηλος, καὶ πλεονασμῷ τοῦ μ ἐρύγμηλος. Id.

T.

V. 92. τῇ μέν θ'] Ἀριστοφάνης τῇ μέν. ἢ κατὰ ἀντίπτωσιν. Cod. Townl.

171. Καὶ οὗτος ἀπρεπῶς. οὐ γὰρ ἀντιλέγει καθάπαξ, ἀλλὰ τὰ τοῦ συμβούλου πράττει· τὴν μὲν ἐξουσίαν τοῦ παντὸς ἀπονέμων Ἀχιλλεῖ, παρακαλῶν δὲ ἐπιμεληθῆναι τοῖς στρατιώταις ἐπιτρέπει. Id.

Υ.

V. 36. βλεμεαίνων] Οἷον βλεεμένων αἶσ ὕδρελός (sic). Cod. Townl.

53. Δημήτριος ὁ Σκήψιος Καλλικόλωνον αὐτὸν καλεῖσθαί φησιν λόφον σταδίων πέντε τὴν περίμετρον κεῖσθαι μεταξὺ Ἰλιέων κώμης καὶ Σιμοῦντος. ἀπέχει δὲ Σιμοῦντος μὲν σταδία πέντε, Ἰλιέων δὲ κώμης ι'. Id.

114. Ἀρίσταρχος ἄρθρον ἐκδέχεται τὸ η ὑποτακτικὸν, τὸν δὲ δὴ παραπληρωματικὸν σύνδεσμον. Ζηνόδοτος δὲ περισπᾷ τὸν η καὶ ψιλοῖ, ῥῆμα ἐκδεχόμενος τὸ η καὶ κίνησιν, καὶ ὅλον τὸν στίχον μεταποιεῖ,

ἠδ' ἄμυδις καλέσασα θεοὺς ῥεῖα ζώοντας

ἔφη δὲ εἰς ἓν συναγοῦσα τοὺς θεούς. οὐ χρῆται δὲ Ὅμηρος τῷ η ῥήματι ἐν ἀρχῇ, ἀλλ' εἰρημένοις αὐτὸς πᾶσι τόδε ἔφη καὶ λεχθησόμενον προστίθησιν ὡς ἐν τῷ "τὸν δὲ βαρυστενάχων προσέφη" καὶ εἰρημένοις ἐπάγει. "ὡς ἄρ' ἔφη καὶ ἀναΐξας." Id.

Ἄμυδις ψιλὸν, καίτοι παρὰ τὸ ἅμα παρηγμένον, καὶ τάχα ἁμύδις αὐτὸ ἔδει εἶναι ὡς χαμάδις. τροπῆς δὲ ἅπαξ γενομένης

[k] Cf. Epimerism. Hom. p. 391, 27. et Etym. M. p. 722, 51. v. σπαίρω.

Αἰολικῆς τοῦ α εἰς ι, ἐψιλώθη Αἰολικῶς καὶ τὸ πνεῦμα. προπαροξύνεται δὲ ὁμοίως τῷ ἄλλυδις. καί ἐστι δύο ταῦτα προπαροξυνόμενα τῶν εἰς δις ἐπιρρημάτων τῷ υ παραληγομένων. ὅτι δὲ ψιλοῦται δηλοῖ καὶ ἡ συναλοιφὴ καὶ

οὔτ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὁμίχλην

Id.

239. Ἀγχίσην τέκε παῖδα] Ἐξ Ἐρυθίας τῆς Ἴλου. Id.

251. τίη] Ὁ η τῷ μὲν τι ὑποτασσόμενος ὀξύνεται, τῷ δ' ἐπεὶ περισπᾶται. Id.

255. Τὰ δὲ εἰκαιότερα τῶν ἀντιγράφων, "πολλ' ἔτεά τοι." Id.

259. ἐν δινῷ σάκει] Τῷ δινωτῷ. "δινωτὴν φορέεσκε δύο κανό- "νας ἀραρυῖαν." καὶ ἔστι τὸ μὲν δινῷ διὰ τοῦ ι. τὸ δὲ σάκεϊ κατὰ διαίρεσιν. τρισυλλάβως δὲ τὸ ἔλασεν διὰ τοῦ σ. Id.

273. Ζηνόδοτος "δεύτερον αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίονα "ἔπειτα νύξε χαλκὸν ἀμύμονος Αἰνείαο." ὥστε ἐκ χειρὸς τετρῶσθαι, ἀλλὰ μὴ βεβλῆσθαι." Id.

331. Ζηνόδοτος "καί μιν νεικείων ῥεῖα νόστον (leg. Ῥιανὸς τὸν) καὶ νεικίων προσέφη. Id.

346. Οὐκ εἶπεν ἔνυξα ἢ οὔτασα· μάχεται οὖν ἡ Ζηνοδότειος γραφή. Id.

357. Οἱ περὶ Ἀρίσταρχον ἐν παρολκῇ λαμβάνουσι τὸν δὲ, οὕτω καὶ ἡ παράδοσις· ὁ δὲ Ἀσκαλωνίτης περισπᾷ τὸ τοσοῦς. Id.

395. Ἀρίσταρχος Δηϊλέοντα. Id.

Φ.

V. 122. "Ἐνταυθοῖ" Ἀττικόν ἐστι. οἱ δὲ ἀπὸ τοῦ ἐνταυθί. ἧσο δὲ, διάγε, ὕπαρχε. Id.

"Ἐνταυθοῖ" Διωνύσιος (διῶν Cod.) ὁ Θρᾷξ, Τίμαρχος καὶ Ἀριστοτέλης ὁμοίως τῷ ἐνταῦθα περισπωμένως ἀνέγνωσαν. χρὴ δὲ περισπᾶν τὴν προκειμένην λέξιν, ἅτε δὴ καὶ τοῦ χαρακτῆρος. τὰ γὰρ εἰς οι λήγοντα τοπικὰ ἐπιρρήματα ὑπερδισύλλαβα πάντα περιεσπάσθη, μεσαβοῖ, πανταχοῖ. διὸ καὶ τοῦτο δικαίως περισπασθήσεται[1].

[1] Se hunc Paris. Cod. descripsisse affirmat Ruhnkenius Præf. ad Hesych. p. viii.

Τὸ δὲ ἧσο δασυντέον. τινὲς δὲ ψιλοῦσιν, ἵν' ᾖ ἀπὸ τοῦ ἴσθι. ἔνιοι δὲ γράφουσιν "ἐνταυθοῖ νῦν κεῖσο." ἄμεινον δὲ τὸ πρῶτον. Cod. Townl.

126. Οὕτως αἱ Ἀριστάρχου "μέλαιναν φρῖκ' ἐπαΐξει." ἡ δὲ Χία, μελαίνῃ φρῖχ' ὑπαΐξει. οὕτω δὲ αὐτὸς Ἀρίσταρχος ἐξηγήσατο. Id.

162. ἁμαρτῇ] Περισπᾶται, καὶ σὺν τῷ ι γράφεται. ἔστι γὰρ παρὰ τὸ ἁμαρτῶ. ὁ δὲ Ἀρίσταρχος διὰ τοῦ ι, ἀπὸ τοῦ ἁμαρτήδην λέγων ἀποκέκοφθαι τὴν λέξιν, κακῶς. Id.

169. ἰθυπτίωνα] et in Schol. et text. Id.

362. κνίσσῃ μελδόμενος] Δύναται καὶ οὐδετέρως κνίσσῃ ὡς ἡ κωμῳδία "τὸ κνίδος ὀπτῶ." ἄλλοι δὲ τὸ κνίσος εἰς τοὺς γείτονας. ὁ δὲ ποιητὴς ἀεὶ θηλυκῶς τὴν κνίσαν φησὶ, ἵνα ᾖ μὴ παρὰ τὸ τὰ μέλη τήκων, ἀλλὰ τῇ κνίσσῃ ἄρδων τὰ μέλη τοῦ τρίποδος, μεταφορικῶς ὥς φησι, "μέλε' ἤλδετο ποιμένι λαῶν·" ἵνα ᾖ τὰ μέλη τοῦ λέβητος λιπαίνεσθαι.

Ἄλλως. Ὡς ἀπὸ εὐθείας οὐδετέρας τῶν πληθυντικῶν, ὅτι οὐκ ἔστι παρὰ τὸ τὰ μέλη ἄλδειν τὸ μελδόμενος, ἀλλ' ἀπὸ τοῦ ἄλδω, ὅθεν τὸ "μέλε' ἤλδανε," τὸ μελδόμενος παθητικὸν ἀντὶ ἐνεργητικοῦ τοῦ μέλδων, ὅ ἐστι κατατήκων.

Ψ.

V. 361. ὡς μεμνέῳτο] Προπαροξυτόνως καὶ μετὰ τοῦ ι. Ξενοφῶν δὲ μεμνῷτο ἀνεὺ τοῦ ε. Κρατίνος[m] (sic) δὲ μέμνοιτο. τὸ δὲ ἀνάλογον διὰ τοῦ η, προσκειμένου τοῦ ι. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ (v. 992.)

ἵνα τοσοῦτον[n] ἱμάτιον φορῶν μέμνῃτό μου.

Πίνδαρος δὲ Δωρικώτερον διὰ τῆς αι διφθόγγου ἐν Προσῳδίοις

μεμναίατ' ἀοιδῆς.

μεμνέῳτο δὲ ἀντὶ τοῦ ἐπισκοποίη τὸν δρόμον, μήτις περὶ τὸν καμπτῆρα πανουργήσοι, ἢ ἐπιμέλοιτο[o].

Ω.

V. 81. κέρας] Κεράτιόν τι προκείμενον τῷ ἀγκίστρῳ, ἵνα μὴ οἱ ἴχθυες ἀποβιβρώσκωσι τὴν ὁρμιάν. Cod. Harl. 5693.

[m] Κράτης Etym. M. v. Μεμνέῳτο. [n] Leg. τοὐμὸν. [o] Pleniora hæc quam in Etym. M. v. Μεμνέῳτο p. 578, 54.

De Signis Homericis hæc habet Cod. Harl. 5693.

Περὶ τῶν παρ' Ἀριστάρχου σημείων παρατιθεμένων τῶι Ὁμήρωι.

— Ὀβελός.

> Διπλῆ ἀπερίστικτος.

>: Διπλῆ περιεστιγμένη.

※ Ἀστερίσκος.

※— Ἀστερίσκος μετὰ ὀβελοῦ.

ↄ Ἀντίσιγμα.

•• Δύο στιγμαί.

— Ὁ μὲν δὴ ὀβελὸς παρατίθεται πρὸς ἀθέτησιν (Cod. ἀθαίτησιν). ἡ δὲ ἀπερίστικτος διπλῆ πρὸς τὰς Ζηνοδοτείους μεταγραφάς. ὁ δὲ ἀστερίσκος. πρὸς τὰ Ὁμήρου ἔπη τὰ καλῶς κειμένα. ὁ δὲ ἀστερίσκος μετὰ ὀβελοῦ, ὅποτ' ἂν τὰ ἔπη Ὁμήρου μὲν ᾖ διὰ τοῦ ἀστερίσκου δηλούμενα, ἀκαίρως δὲ κειμένα διὰ τοῦ ὀβελοῦ δηλούμενα.

Τὸ δὲ ἀντίσιγμα καὶ αἱ στιγμαὶ ὅταν κατὰ τὸ ἑξῆς δὶς ᾖ τὸ αὐτὸ νόημα κείμενον. καὶ ἐπὶ μὲν τοῦ προτέρου τίθεται τὸ ἀντίσιγμα, ἐπὶ δὲ τοῦ δευτέρου αἱ δύο στιγμαί.

COD. COISL. 387.

"Cod. Coislin. 387. (teste Montf. in Catal. p. 589.) membra- "naceus X. sæculi form. in 8°. fol. 241. fuit Monasterii seu Lauræ "S. Athanasii in Monte Atho, ut initio dicitur." Quæ ex hoc optimo nunc vulgamus Codice sunt 'Επιμερισμοὶ sive exercitationes grammaticæ in Iliadis A, non ordine alphabetico compositi, sicut eos quos in primo Vol. Anecd. Oxon. dedimus, e Cod. Nov. Coll. sed secundum versuum ipsorum seriem. Hos etiam Epimerismos habet Cod. Nov. Collegii, sed non æque amplos ac Coislin. qui optime scriptus est et insignis vetustatis. Quamvis autem hæc vix Scholiorum nomine dignanda sint, quippe quæ fere ad grammaticas quæstiones et etymologias spectent, tamen veterum grammaticorum mentem de poetæ verbis sæpius recitant, et nonnunquam varias lectiones notatu dignas exhibent.

Nostrum autem Grammaticum adhibuisse visus est Heynius, ubi eum S. Germani Scholiastæ nomine laudat ad Iliad. B. 498.

Idem vero Codex alios quosdam in Homerum Epimerismos continet fol. 219. alphabetico ordine. Hi fere iidem sunt cum iis Anecd. Oxon. vulgatis, sed non ultra lit. A. procedunt, nec æque docti sunt aut copiosi.

'Επιμερισμοὶ στν Θεᾶι τῆς Α 'Ομήρου.

V. 1. *μῆνις*] *Ὄνομα προσηγορικὸν ῥηματικὸν, παρὰ τὸ μένω, μένις καὶ μῆνις, ἡ ἐπίμονος ὀργή. παρὰ δὲ τὸ μένω γέγονεν μένος ἡ ψυχὴ, ἀΐδιος γάρ. ἔστι δὲ μένος ἡ προθυμία, ἀπὸ τοῦ μένω, τοῦ προθυμοῦμαι, ἀφ' οὗ καὶ τὸ*

μέμονε δ' ὅγε ἶσα θεοῖσιν.

ἐκ δὲ τοῦ μέμονα μέσου παρακειμένου κατ' ἐπένθεσιν τοῦ ι, καὶ μεταβολὴν τοῦ τέλους εἰς ω, καὶ ἐναλλαγῇ τῶν στοιχείων μενοινῶ, καὶ "μενοινώω δὲ οἶος," (Il. N. 79.) *ἑτέρου ω πλεονάσαντος. μεταβάλλει δὲ τὸ τέλος εἰς ω, Σικελικῶς, ὡς τὸ λήθω, λέληθα,*

καὶ Ἰακῶς λέλαθα. καὶ ὡς μέμηκα, μέμακα, καὶ μεμαυῖα. τὸν οὖν λέλαθα παρακείμενον, οὗτοι λελάθω λέγουσιν, ὡς τὸ πεποίηκα, πεποιήκω, ἀφ' οὗ καὶ

ἐκλελάθοντο κιθαριστήν[a].

καὶ τῶν ἀπὸ τοῦ βρώθω βέβρωθα, μεταβάλλοντες λέγουσι βεβρώθω,

ὠμὸν βεβρώθοις Πρίαμον.

τὸ δὲ βρώθω ἀπὸ τοῦ βρῶ, ἐξ οὗ καὶ βρῶσις καὶ βρωτύς· οὕτως οὖν καὶ ἀπὸ τοῦ μέμονα, μενοινῶ, ὡς εἴρηται. τοῦτο δὲ φασὶ καὶ ἀπὸ τοῦ μένος γίνεσθαι μενονὴ καὶ μενοινὴ, καὶ ἐξ αὐτοῦ μενοινῶ. παρὰ γοῦν τὸ μένω, μένος, μένις, καὶ ἐκτάσει τοῦ ε εἰς η, ὡς ἕνος ἐνιαυτὸς, ἕνις καὶ ἧνις, ἥνιδος, ὅπερ κατὰ τὴν ἥνιδας αἰτιατικὴν πληθυντικὴν ἔκθλιψιν τοῦ δ καὶ κρᾶσιν τῶν φωνηέντων παθὸν, γέγονεν

ἥνις ἠκέστας.

ἀπὸ γοῦν τοῦ μένω, μένιγξ, καὶ μήνιγγες, οἱ συνέχοντες τὸν ἐγκέφαλον ὑμένες, παρὰ τὸ μένειν ἐν αὐτοῖς. ἐκ τούτου καὶ μήνη ἡ σελήνη κατ' εὐφημισμὸν, ἡ ἀεὶ ἐν κινήσει οὖσα. ἢ παρὰ τὸ μανίς τις οὖσα παρὰ τὴν μανίαν γέγονε μῆνις· ἐοίκασι γὰρ τοῖς μαινομένοις οἱ ὀργιζόμενοι.

Περὶ δὲ τῆς κλίσεως τῶν εἰς ις, οὕτως ἔνι διαλαβεῖν. Τὰ εἰς ις λήγοντα ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν πάντα διὰ τοῦ δος κλίνεται, εἴτε ἐκτείνουσι τὸ ι, εἴτε συστέλλουσι. τὰ μὲν ἐκτείνοντα οἷον, κνημὶς, σφραγίς· τὰ δὲ συστέλλοντα, οἷον, ἀσπὶς, ῥανίς. πλὴν τοῦ ἀγλὶς, ἀγλίθος, σημαίνει δὲ τὴν κεφαλὴν τῶν σκορόδων. πρόσκειται ὑπὲρ μίαν συλλαβὴν, διὰ τὸ κὶς καὶ λίς. τὸ ἀκτὶς διὰ τοῦ νος κλινόμενον δικατάληκτόν ἐστι. ταῦτα δὲ τὰ εἰς ις ὀξύτονα, μόνως εἰς α ἔχει τὴν αἰτιατικὴν, πλὴν εἰ μὴ Αἰολικῶς μετὰ βαρείας τάσεως, κάμνιν γὰρ λέγουσι καὶ σράγιν καὶ ἄψιν.

τρισπίθαμον δ' ἄψιν. (Hesiod. Opp. II. 234.)

ταῦτα δὲ τὰ εἰς ις ὀξύτονα, οὐ γίνονται παρὰ τοῖς Ἴωσι κατὰ ἀποβολὴν τοῦ δ ἐν τῇ γενικῇ, κνημίος, ἀσπίος, ὡς Πάριος, Θέτιος. τὰ δὲ εἰς ις περισπώμενα θηλυκὰ διὰ τοῦ δος κλίνονται, καὶ εἰς ν μόνως ἔχουσι τὴν αἰτιατικὴν, οἷον, Βενδῖς, Ἀταργαστῖς, Μοσχῖς, Τιτῖς, δαίμονες τιμώμενοι παρὰ Θρᾳξί. τὰ δὲ εἰς νις μακρᾷ

[a] Leg. ἐκλέλαθον κιθαριστύν.

παραληγόμενα, διὰ τοῦ δος κλίνεται, ὄνωνις, ὀνώνιδος, εἶδος ἀκάνθης, καὶ τὰ τοιαῦτα. τὸ δὲ κόνις καὶ ὕνις καὶ σπάνις βραχυπαραληκτοῦντα διὰ τοῦ ος ἐκλίθη. ἡμάρτηται τὸ ὄρνις, ἢ ὅτι τὰ εἰς ις λήγοντα ἔχοντα πρὸ τοῦ ι δύο ἀμετάβολα διὰ τοῦ θος κλίνεται, δέλλις, δέλλιθος· ἔστι δὲ ζῶον ὅμοιον μελίσσῃ· μέρμις, μέρμιθος, τὸ λεπτὸν σχοινίον· ὁμοίως καὶ ὄρνις, ὄρνιθος, πλὴν τοῦ Τράλλις Τράλλεως. ὡσαύτως καὶ τὰ εἰς ρις διὰ τοῦ δος, ἔρις, θοῦρις, χάρις, χάριδος, τὸ δὲ χάριτος Δωρικὸν, πλὴν τοῦ ὕβρις καὶ ἄγυρις, καὶ ὅσα παρὰ τὲ γύρις. τὸ δὲ κίσιρις καὶ κάπαρις διφορεῖται. πλὴν τοῦ ἄκρις, ἄκριος, ἔστι δὲ ἡ τοῦ ὄρους ἐξοχή. τοῦτο δὲ ἰστέον ὅτι ἐπὶ τῶν εἰς ις βαρυτόνων τῶν διὰ τοῦ δος κλινομένων εἰς ν μόνως ὀφείλει γίνεσθαι ἡ αἰτιατική· εἰ μὴ κατὰ ποιητικὴν ἐξουσίαν ἢ διάλεκτον,

Ζεὺς δ' ἔριδα προΐαλλεν.

τὸ δὲ νις ι. τὰ εἰς ις εἴτε ἀρσενικὰ, εἴτε θηλυκὰ, εἴτε δικατάληκτα. Καὶ ἄλλως—Εἴτε βαρύτονα, εἴτε μὴ κοινολεκτούμενα, ἀποστρέφονται τὴν ει δίφθογγον, εἰ μὴ ἔχοι τὸ ε ἐν τῇ γενικῇ, ὡς χαρίεις, χαρίεντος, καὶ εἷς ἑνὸς, πλὴν τοῦ κλεὶς καὶ τὰ παρ' αὐτοῦ, κατακλεὶς, καὶ ἀντήρεις, ὃ λέγεται πᾶν εἰς ὃ ἐπερείδεταί τις, ἀλλὰ τοῦτο κατὰ τὴν εὐθεῖαν τηρεῖ τὴν δίφθογγον. τὴν δὲ κλίσιν ὡς ἀπὸ ὀξυτόνου εὐθείας συνεσταλμένου τοῦ ι ἐποίησεν, ἀντηρῖδος γάρ.

Βαρύνεται τὸ μῆνις, ὅτι τὰ εἰς νις δισύλλαβα, ἔχοντα πρὸ τέλους ἓν φωνῆεν μακρὸν ἢ ἐκτεινόμενον, βαρύνεσθαι θέλει, εἰ μὴ ὑποκοριστικῶς τετυπωμένα, ἢ ἐθνικὰ, οἷον Θῶνις, Τάνις, εἰσὶ δὲ πόλεις Αἰγύπτου· ἦνις, νῆνις ἡ νεᾶνις. πρόσκειται εἰ μὴ ὑποκοριστικῶς εἴη, διὰ τὸ φωνὶς ἀντὶ τοῦ φωνή· ἐθνικὸν δὲ διὰ τὸ Θυνὶς, παρὰ γὰρ τὸ Θῦνος ἐγένετο, ὡς παρὰ τὸ Λοκρὸς Λοκρίς.

Διαφέρει μῆνις κότου. κότος μὲν ἐστὶν ὀργὴ μόνιμος πρὸς τὸ ἀντιλυπῆσαι ὁρῶσα, μῆνις δὲ ἡ ἁπλῶς μνησικακία.

Ib. ἄειδε] Προκατάρχει ῥῆμα ἀείδω, ὅπερ ἐκ τοῦ εἴδω κατ' ἐπέκτασιν τοῦ α, ὡς τὸ ἀχανὲς πέλαγος, τὸ πολλὰ εἰδέναι. τοῦ εἴδω διάφορα σημαίνοντος, τό τε γινώσκω, καὶ τὸ ὁμοιῶ, καὶ τὸ ὁρῶ, καὶ περισπώμενον εἰδῶ, ἐξ οὗ καὶ τὸ εἰδήσω καὶ εἰδήμων, καὶ οἴδημι Αἰολικῶς, καὶ κατὰ τὸ δεύτερον οἴδης, καὶ ἐπεκτάσει

τῆς θα συλλαβῆς, καὶ οἶσθα κατὰ συγκοπήν. και ἕτερον ἥδω διὰ τοῦ η τὸ ἀρέσκω, ἐξ οὗ καὶ τὸ

ἇδε δ' Ἕκτορα

καὶ

ἇδος τέ μιν[b] ἵκετο θυμῷ

καὶ ἡδονὴ καὶ τὰ παραπλήσια. τὸ δὲ ἐπὶ τοῦ γινώσκω κατὰ τὸν μέσον παρακείμενον εἶδα κοινῶς, Αἰολικῶς οἶδα, Ἀττικῶς ᾔδα καὶ ᾔδειν, ὅπερ Ἰωνικὸν ἤδεα,

εἰ γὰρ ἐγὼ τόδε ἤδε' ἐνὶ φρεσίν.

Ἀττικὸν ᾔδη διὰ τοῦ η κατὰ τὸ τέλος ᾔδεες Ἰωνικῶς. τοῦτο δὲ τὴν ει δίφθογγον πλεονάσαν ἐποίησε τὸ

ἐκ Διὸς ἠιδείεις τὸν ἐμὸν μόρον.

τὸ τρίτον ᾔδεε καὶ ᾔδη Ἀττικὸν κατὰ τὴν παλαιὰν Ἀτθίδα,

ὃς ᾔδη τά τ' ἐόντα.

ἐκ τοῦ εἴδω ὁ μέλλων εἴσω, ἐξ οὗ καὶ τὸ ἶς, ὃ σημαίνει τὸν ἔμπειρον, καὶ νῆϊς ὁ ἄπειρος. καὶ ἴσω ῥῆμα, ἐξ οὗ ἴσημι, ὅπερ κλινόμενον πεποίηκε τὸ ἴσαμεν καὶ ἴσμεν, καὶ ἴσασιν ἑπόμενον τῷ τόνῳ τῆς μετοχῆς. ἡ δὲ μετοχὴ ἴσας ἐβαρύνθη, ὡς βρίσας, κτίσας, λακτίσας. κατὰ δὲ τὸ προστακτικὸν παρῆξε τὸ ἴσαθι, καὶ ἴσθι τὸ γίνωσκε. ἐκ τούτου τὸ ἴστωρ καὶ ἱστορῶ, καὶ ἁπλῶς τὰ ἐκ τούτων κινούμενα. εἴδω οὖν καὶ ἀείδω, τοῦ α ἀεὶ συστελλομένου, ἅπαξ δὲ ἐκτεταμένου ἐν τῷ

ἀείδει δεδαώς. (Od. P. 519.)

ἅπαξ δὲ εὑρέθη κατ' ἀρχὴν, ὡς Διόνυσος ἅπαξ διὰ τοῦ ο μικροῦ

Διονύσου μαρτυρίῃσι. (Od. Λ. 324.)

καὶ τὸ ἠέλιος διηνεκῶς, ἅπαξ δὲ

ἥλιος ὅσφ' ἐνόησεν. (Od. Θ. 271.)

τὸ ἀπαρέμφατον Δωρικῶς ἀείδῃν καὶ ἄειδεν. τούτων γὰρ τὸ την ἔθος εἰς εν ποιεῖν. τὸ δὲ ἀειδέμεναι οὐ Δώριον. κατὰ γὰρ ἐνεστῶτα τὸν εἰς ν λήγοντα οὐ ποιοῦσι παραγωγὴν Δωριεῖς. φασὶ δὲ ταῦτα πάντα ποιητικὰ μᾶλλον εἶναι. ὅθεν Δωρικῶς μὲν τὸ ἔμεν ἀπὸ τοῦ εἰμὶ, ποιητικῶς δὲ τὸ ἔμεναι καὶ ἔμμεναι, ἑτέρου μ πλεονάσαντος. ὁμοίως τιθέμεναι, στήμεναι, καὶ ὅσα διὰ τοῦ μεναι ἔσχον τὴν κίνησιν, πενθήμεναι, οὐτάμεναι, εὑρέμεναι, δύμεναι, οὐ Δώρια ἀλλὰ

[b] ἀδοτέμιν Cod.

ποιητικά. ἐκ τοῦ ἀείδω Δωρικοῦ γίνεται τὸ ἀηδὼν διὰ τοῦ η. ἀντιπαράκειται αὐτῷ ὄνομα ἀοιδὸς, ὃ κράσιν παθὸν, γέγονεν ᾠδὸς, καὶ ἀοιδὴ καὶ ᾠδὴ, ἀπὸ τὸ ἀοιδὸς παράγεται ῥῆμα ἀοιδῶ. εἶτα ὡς τὸ κνήθω κνηθιῶ, ἀτῶ ἀτιῶ, μειδῶ μειδιῶ, οὕτως ἀοιδῶ ἀοιδιῶ. Ὅμηρος,

ἡ δ' ἔνδον ἀοιδιοῦσ' ὀπὶ καλῇ[a]

καὶ

καλὸν ἀοιδιάει.

ἐκ τοῦ ἀοιδῶ παράγωγον ἄλλο ἀοίδιμος. τοῦτο δὲ ἰστέον ὡς πολλάκις οἱ ποιηταὶ παρατίθενται τοῦ ὀνόματος τοῖς ἀφ' ὧν γεγόνασι, περπόλιστο πόλις, μάχην ἐμάχοντο, βοῦς βουκολέεσκε.

μοῦσ' ἄρ' ἀοιδὸν ἀνῆκεν ἀειδέμεναι.

τὸ ἀείδω συναλειφὴν παθὸν ἅπαξ γέγονεν ᾄδω. κράσεως δὲ γεγονυίας μακρὸν γίνεται τὸ α, τὰ ἐμὰ, τἀμά. εἰ ἔστιν ἀείδω διὰ τῆς ει ἐδιδασκόμεθα γὰρ, ἐκ τοῦ ἀοιδὸς γέγονε κράσις τοῦ α καὶ ε εἰς α μακρόν. ὑπερηχεῖται δὲ τὸ ι διὰ τὸν μακρὸν χρόνον, ὡς καὶ τὸ Νηρηῒς Νηρῇς. τὸ δὲ πάϊς παῖς οὐχ ὑπερηχεῖται. οὐ γὰρ μακρὰ ἡ συναλειφή. οὐκ ἂν δέ τις εἴποι ὡς παραπλησίως τὸ ᾄδω ἐκ τοῦ ἀείδω γέγονε τὸ φαίνω καὶ αἴρω, ἐκ τοῦ φαείνω καὶ ἀείρω. ὤφειλε γὰρ οὕτως ὑπερηχεῖσθαι τὸ ι διὰ τὸ μακρὸν γίνεσθαι τὸ α ὡς ἀείδω, ᾄδω, οὕτως ἀείρω, ᾄρω καὶ φαείνω, φαίνω, νῦν δὲ φαίνω καὶ αἴρω ὡς τεκμαίρω, σκαίρω, χαίρω, καὶ ἐθείρω, ἐγείρω, οὕτως ἀείρω καὶ αἴρω λέγεσθαι. καὶ πάλιν ὡς ἀλεείνω καὶ ῥαίνω καὶ δραίνω, καίνω, οὕτως οὖν φαείνω καὶ φαίνω, κατ' ἴδιον χαρακτῆρα ἑκάτερα. ἐκ δὲ τοῦ ἀείδω ἀοιδὸς, οὐκ ἀνάπαλιν.

Ἔστι γὰρ ἴσως εἰπεῖν καθολικῶς, ὅτι ἡνίκα ἰσοσυλλαβεῖ τὰ ὀνόματα τοῖς ῥήμασι, τῶν μὲν ῥημάτων περισπωμένων, τῶν δὲ ὀνομάτων ἢ βαρυνομένων ἢ ὀξυνομένων, ἐκ τῶν ὀνομάτων γίνεσθαι τὰ ῥήματα, οἷον φίλος, φιλῶ, χρυσὸς, χρυσῶ. ἡνίκα δὲ πάλιν ἰσοσυλλαβοῦσιν ἑκάτερα, τῶν μὲν ῥημάτων βαρυνομένων, τῶν δὲ ὀνομάτων ὡς ἔτυχε τονουμένων ἢ ὀξυνομένων, ἐκ τῶν ῥημάτων γίνεσθαι τὰ ὀνόματα, λέγω λόγος, φθείρω φθορὰ, οὕτως ἀοίδω ἀοιδός. ἡνίκα δὲ περιττοσυλλαβοῦσι τὰ ῥήματα τοῖς ὀνόμασι, τῶν δὲ ῥημάτων βαρυνομένων, τῶν δὲ ὀνομάτων ὀξυνομένων, ἢ βαρυ-

[a] ὀπὴ καλὴ Cod.

τονουμένων, ἐκ τῶν ὀνομάτων γίνεσθαι τὰ ῥήματα, οἷον κακὸς κακίζω, ἵππος ἱππεύω. ἡνίκα δὲ τὸ ἀνάπαλιν ὁρᾶται τῶν ὀνομάτων περιττοσυλλαβούντων τοῖς ῥήμασιν, εἰ μὲν βαρύνονται τὰ ῥήματα ἢ περισπῶνται, τῶν ὀνομάτων ὡς ἔτυχεν ἐχόντων κατὰ τὸν τόνον, ἐκ τῶν ῥημάτων παράγεσθαι τὰ ὀνόματα, εὐδοκῶ, εὐδοκία, ἅζω, ἅγιος, χωρὶς εἰ μὴ ἀπὸ μελλόντων ὦσι κατὰ ἀποβολὴν τοῦ ω, ὡς τὸ κλείσω, κλεὶς, καὶ ἀνάσσω, ἄναξ. ταῦτα γὰρ ἐνδέοντα τοῖς ῥήμασι συλλαβῇ ἐξ αὐτῶν γίνονται. βαρύνεται τὸ ἀείδω, ὅτι τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους εἰς φωνῆεν λήγοντα, περισπᾶται, εἰ μὴ τύχοι ἡ ει δίφθογγος, ὀπηδῶ, ἀοιδῶ, τραγῳδῶ, ληρῳδῶ, σταφιδῶ, ὁμαδῶ, ἀφ' οὗ τὸ ὁμάδησαν ἐκ τοῦ ὅμαδος, τοῦτο δὲ παρὰ τὸ ὁμοῦ αὐδᾷν, ὅμαδός τις ὢν, καὶ κελαδῶ, τὸ γὰρ Κελάδων Κελάδοντος ἑτέρῳ λόγῳ κατώρθωται· ἐξέφυγεν ἄρα τὸ ἀείδω καὶ ἐρείδω. β' κανών. Τὰ εἰς δω ὑπὲρ δύο συλλαβὰς περισπώμενα ὀνόματα ἔχει προκατάρχον, ὅμαδος ὁμαδῶ, κέλαδος κελαδῶ, τὸ ἀείδω καὶ ἐρειδω οὐκ ἔχει.

Ib. Θεὰ] Παρὰ τὸ θεος, ἢ παρὰ τὸ θεῖν ἀεί. ἰστέον δὲ ὅτι τὰ εἰς ος ἁπλᾶ καθαρὰ ποιοῦντα θηλυκὸν, εἰς α αὐτὸ ποιοῦσιν, οἷον θεὸς θεὰ, κύριος κυρία. εἰ δὲ μὴ καθαρὰ, εἰς η, οἷον σοφὸς σοφή. τὰ δὲ σύνθετα ὁμοφώνως ἐκφέρονται τοῖς ἀρσενικοῖς, οἷον ὁ ἀθάνατος καὶ ἡ ἀθάνατος. οἱ μέντοι Ἀθηναῖοι τὸ ἐναντίον ποιοῦσιν, ἐπὶ μὲν τῶν ἁπλῶν ὁμοφώνως τοῖς ἀρσενικοῖς, ὁ θεὸς καὶ ἡ θεὸς, ὁ σοφὸς καὶ ἡ σοφὸς, ἐπὶ δὲ τῶν συνθέτων εἰς η, οἷον ἀθάνατος ἀθανάτη, ἀρίζηλος ἀριζήλη. θεὰ ὀξύνεται. τὰ γὰρ εἰς α λήγοντα ἐκτεταμένα ἢ εἰς η παρεσχηματισμένα τοῖς εἰς ος λήγουσιν ὀνόμασι, τὸν ἐκείνων τόνον ἀναδέχονται, οἷον φοβερὸς φοβερὰ, ἰσχυρὸς ἰσχυρὰ, σοφὸς σοφὴ, θεὸς θεὰ, κοῦφος κούφη.

Ib. Πηληϊάδεω] Ὄνομα γενικόν. δεῖ γινώσκειν ὅτι ἔστι Πηλεὺς τὸ πρωτότυπον, καὶ τὸ πατρωνυμικὸν αὐτοῦ Πηλείδης, καὶ κατὰ διάλυσιν Πηλεΐδης, καὶ τροπῇ τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ α, διὰ τὸ κακόφωνον ἢ διὰ τὴν συνέμπτωσιν, Πηληϊάδης· ἡ γενικὴ Πηληϊάδου κοινῶς, Δωρικῶς Πηληϊάδαω, καὶ Ἰωνικῶς καθ' ὑπέρθεσιν χρόνου Πηληϊάδεω. Πηλείδης· τὰ εἰς δης πατρωνυμικὰ ἢ ὡς πατρωνυμικὰ βαρύνεσθαι θέλει, ὧν καὶ ἡ γενικὴ ἀπρόσληπτος τοῦ σ, Κρονίδης, Πηλείδης, Πλυτίδης, Ἀτρείδης. Ἡρωδιανός.

Ἰστέον δὲ ὅτι τὰ εἰς δης πατρωνυμικὰ, ἢ τῷ ι παραλήγει μόνον, ἢ καὶ ἐν διφθόγγῳ, ἢ τῷ α. εἰ μὲν οὖν ἀπὸ τῶν εἰς ος γενικῶν γένηται ἡ πατρωνυμία, τῷ ι μόνον παραλήγεται ἐν βραχείᾳ, ὁποίας ἂν εἴη καταλήξεως, χωρὶς τῶν ἀπὸ τῶν εἰς ευς καὶ ἀπὸ τῶν εἰς ης, οἷον Ἀγαμέμνονος Ἀγαμεμνονίδης, Νέστορος Νεστορίδης, Βίαντος Βιαντίδης. τὸ γὰρ Βιαντιάδης πλεονασμῷ τοῦ α. καὶ παρὰ τὴν Δευκαλίονος γενικὴν, καὶ Ἀνθεμίονος, ὤφειλε Δευκαλιονιδης καὶ Ἀνθεμιονίδης, ἀλλὰ συγκοπὴν πεπόνθασιν ἐν τῷ Δευκαλίδης καὶ Ἀνθεμίδης. καὶ τὸ Λαοκοδοντιάδης[b] καὶ Τελαμωνιάδης πλεονασμὸν ἔχουσι τοῦ α. ὁμοίως καὶ ἀπὸ τῶν εἰς ους γενικῶν, διὰ τοῦ ειδης γίνεται ἡ παραγωγὴ, Ἡράκλεις Ἡρακλεΐδης καὶ Ἡρακλείδης, Δημοσθένης, Δημοσθενείδης. καὶ ἀπὸ τῶν εἰς ευς εὐθειῶν διὰ τοῦ ειδης, οἷον Πηλεὺς, Πηλεΐδης καὶ Πηλείδης. ἐν τούτοις γὰρ γίνεται συναίρεσις εἰς τὴν ει δίφθογγον, ἐπείπερ ἀνεφάνη τὸ ε ἐν τῇ γενικῇ τῶν πρωτοτύπων. εἰ δὲ ἀπὸ τῶν εἰς ος εὐθειῶν εἰσὶν, εἰ μὲν καθαρῶν ὄντων διὰ τοῦ α ἐκφέρονται, οἷον Ἧλυος Ἡλυάδης[c], Θέστιος Θεστιάδης, τὸ Πάνθοος, Πανθοΐδης καὶ Πανθοίδης ἡμάρτηται. εἰ δὲ μὴ καθαρῶν, διὰ τοῦ ι, Ὕλλος Ὑλλίδης, Κύδρος Κυδρίδης[d]. εἰ δὲ ἀπὸ τῶν εἰς ας ἢ εἰς ης ὧν ἡ γενικὴ εἰς ου, διὰ τοῦ αδης ποιεῖ τὸ πατρωνυμικὸν, Βορέας, Βορέου, Βορεάδης, Ἱππότης, Ἱππότου, Ἱπποτάδης.

Ib. Ἀχιλῆος] Οὕτως ἀναγνωστέον δι' ἑνὸς λ διὰ τὸ μέτρον καὶ διὰ τὸ ἄχος, ὅ ἐστι λύπην, ἐνεγκεῖν τοῖς Ἰλιεῦσιν· ἢ διὰ τὸ μὴ θίγειν χείλεσι θηλῆς, ὅ ἐστι τροφῆς. ὅλως γὰρ οὐ μετέσχε γάλακτος. ἀναλογώτερον δὲ ἡ δι' ἑνὸς λ γραφή.

2. οὐλομένην] Ὄνομα μετοχικὸν ἀπὸ τοῦ παθητικοῦ οὐλόμενος οὐλομένη, καὶ ἡ αἰτιατικὴ οὐλομένην. γέγονε δὲ ἀπὸ τοῦ ὀλῶ, ὀλέσω, ὀλοῦμαι, ὀλούμενος, ὀλουμένη καὶ ὑπερβιβασμῷ οὐλομένη. οὐκ ἀπὸ τοῦ οὔλω, καθώς τινές φασιν, οὐδὲν γὰρ διὰ τοῦ οὔλω βούλεται, πλὴν τοῦ βούλω. ἢ παρὰ τὸ ὄλω τὸ ἀπολύω, καὶ πλεονασμῷ τοῦ υ. εἶπεν δὲ ἀντὶ τοῦ ἐπιθετικοῦ ὀνόματος τοῦ οὐλοήν. ὡς γὰρ τοὐναντίον ἐπὶ τοῦ

ψάμμῳ κυανέην,

[b] Leg. Χαλκωδοντιάδης. [c] Leg. credo ἥλιος, Ἡλιάδης. Cf. Etym. M. v. Βουτίδης p. 210, 10. [d] Leg. Κόδρος Κοδρίδης. Cf. Epimerism. Hom. Anecd. Oxon. t. I. p. 346–7.

ὃ καὶ χωρὶς τοῦ ι γράφεται, σημείωσα[e] δὲ ψάμμῳ κυανίζουσαν. γέγονε δὲ ἀπὸ τῆς μετοχῆς ὄνομα, ὥσπερ καὶ τὸ ἡγουμένη καὶ ἐρωμένη. μετὰ μὲν γὰρ τῆς ὑπὸ προθέσεως συντασσόμενα δηλοῦσιν μετοχὴν, ἐρωμένη ὑπὸ Δίωνος. ἀπολύτως δὲ λεγόμενα λαμβάνει ὀνοματικὴν σύνταξιν.

Ib. ἣ] Ἄρθρον ὑποτακτικὸν, πρὸ δὲ τῶν ἀναφορικῶν μορίων τίθεμεν διαστολήν. ἣ δασυνόμενον καὶ ὀξυνόμενον σημαίνει ε. ἄρθρον προτακτικὸν,

ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ.

ἄρθρον ὑποτακτικὸν,

ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε.

ἀντωνυμίαν ἀναφορικὴν,

ἥγ' ἀμφιπόλοισι

καὶ

ἄλλη γ' ἱστὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο.

καὶ ἀντὶ τῆς ὡς παραβολῆς,

ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ.

καὶ ἀντωνυμία σύνθετος τρίτου προσώπου, τῆς ἐμὴ, σὴ, ἥ. παραδείγματα οὐκ ἔστι παρ' Ὁμήρῳ, αἱ δὲ πλάγιαι αὐτῆς κεῖνται. δασυνόμενον καὶ περισπώμενον σημαίνει δ. ἄρθρον ὑποτακτικὸν πτώσεως δοτικῆς,

ᾗ ἔπι πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα.

καὶ ἀντωνυμία σύναρθρος τρίτου προσώπου,

εἴπως ἱμείρετο περιδραθεὶς[f] φιλότητι
ᾗ χροιῇ.

καὶ ἀντὶ τοῦ ὡς,

ᾗπερ δὴ κρανέω τε.

καὶ ἀντὶ τοῦ ὅπου,

ᾗτ' ἀλόχῳ παιδὶ τὸν ἐν μεγάροισιν ἔλειπον.

καὶ ἐπεκτάσει τῆς χι ᾗχι.

ᾗχι ἑκάστῳ δώματα[g] περικλυτός.

ψιλούμενον καὶ περισπώμενον σημαίνει ϛ'. βεβαιωτικὸς ἀντὶ τοῦ ὄντως.

ἦ μάλα δὴ τέθνηκεν Μενοιτίου ἄλκιμος υἱός.

[e] Leg. σημαίνει. [f] Leg. ἱμείραιτο παραδραθέειν Il. Ξ. 163.
[g] Leg. δῶμα.

καὶ ἀπορηματικὸς ἀντὶ τοῦ ἄρα,

ἦ οὐχ Ἑλένης ἕνεκ' ἠϋκόμοιο.
ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων.

καὶ ῥῆμα ἀντὶ τοῦ ἔφη.

ἦ καὶ κυανέῃσιν.

καὶ ἐρωτηματικόν.

ἦ ἐπὶ Μυρμιδόνεσσι πιφαύσκεαι.

ἢ παραπληρωματικὸς,

ἐπεὶ ἦ πολὺ φέρτερον ἐστι.

τοῦτο δὲ μετὰ πύσματος ὀξύνεται.

τί ἤτοι ταῦτ' εἰδυίῃ πάντ' ἀγορεύω;

καὶ ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω εἰμὶ, ἦν, ἦς, ἦ, παρατατικὸς ἀντὶ τοῦ ὑπερσυντελικοῦ, τοῦτο δὲ ἄχρηστον. ψιλούμενον καὶ βαρυνόμενον σημαίνει ζ. σύνδεσμος διαζευκτικὸς,

ἢ εὖ ἠὲ κακῶς νοστήσομεν υἷες Ἀχαιῶν.

καὶ συναπτικὸν ἀντὶ τοῦ ει.

οὐδ' ἀφαμαρτοεπὴς, ἢ καὶ γένει ὕστερος ἦεν.

καὶ ἀντὶ τοῦ πρότερον.

ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος.

καὶ ὁρκικὸν, ὡς Ἡρωδιανός φησι,

ἢ μέν μοι πρόφρων ἔπεσσι καὶ χερσὶν ἀρήξειν.

καὶ παρέλκεται.

ἀλλὰ τί ἤ μοι ταῦτα φίλος διελέξατο θυμός.

καὶ διασαφητικὸν, ὃς οὐδέποτε ἐν ἀρχῇ τίθεται, μετήνεκται δὲ ἀπὸ τοῦ διαζευκτικοῦ, εἰς διασαφητικὸν,

βούλομ' ἐγὼ λαὸν σῶον ἔμμεναι ἢ ἀπολέσθαι.

τοῦτο δὲ οὐ λύεται ἐν ἤθει.

καὶ πάντες κ' ἀρησαίατ' ἐλαφρότεροι πόδας ἦσαν,
ἢ ἀφνειότεροι χρυσοῖό τε ἐσθῆτός τε.

καὶ συγκριτικός.

ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον, ἢ τοῦ παρασχόντος τὰ σπέρματα[f].

Ib. μυρία] Ἐκ τοῦ μύριος, μυρία, μύριον. σημαίνει δὲ τὸ μὴ δυνάμενον ὁρισμῷ καθυποβληθῆναι, ἀντὶ τοῦ πολλὰ ἀριθμῷ, καὶ παροξύνεται. τινὲς δὲ θρηνητικὸν αὐτὸ λέγουσιν παρὰ τὸ μύρεσθαι. οὐδὲν δὲ ἄτοπον εἰ παρὰ Μουσῶν Ὅμηρος ταῦτα ἐρωτᾷ. φρόνησις

[f] Cf. Epimerism. Hom. Anecd. Oxon. t. I. p. 192.

μὲν γάρ ἐστιν ἡ πάντων εἴδησις. προαίρεσις δὲ ἀκριβὴς ἡ τῶν ἀμεινόνων ἐκλογή.

Ib. Ἀχαιοῖς] Ἀπὸ Ἀχαιοῦ τινὸς, ὀξύνεται. τὰ γὰρ διὰ τοῦ αιος, εἰ ἔχοι πρὸ τῆς αι διφθόγγου τὸ χ, προπερισπᾶσθαι θέλει, οἷον ἀρχαῖος, τροχαῖος. σεσημείωται τὸ Ἀχαιὸς ὀξυνόμενον, καὶ τὸ Εὐρυσιχαιὸς [g], ἔστι δὲ ὄνομα ἔθνους.

Ib. ἄλγεα] Ἐκ τοῦ ἄλγος, τοῦτο δὲ παρὰ τὸ λέγω τὸ φροντίζω.

Ib. ἔθηκε] Ἐκ τοῦ τίθημι.

3. πολλάς] Ἐκ τοῦ πολλὸς πολλὴ, τὸ πολλὸς καὶ πολὺς ἀμφότερα ἐκ τοῦ πέλω τὸ ἀναστρέφομαι. διαφέρει δὲ, ὅτι τὸ μὲν πολὺς δι' ἑνὸς λ ἐκ τοῦ πέλω, τὸ δὲ πολλὸς διὰ δύο πρὸς ἀντιδιαστολήν.

Ib. ἰφθίμους] Παρὰ τὸ ἶφι, ὃ σημαίνει τὸ ἰσχυρῶς καὶ γενναίως, παρήχθη ἴφιμος, ὡς πρωῒ, πρώϊμος, τοῦ μέσου ι βραχέος ὄντος, καὶ κατὰ πλεονασμὸν τοῦ θ ἴφθιμος. μετὰ γὰρ τὸν πλεονασμὸν τίθενται οἱ χρόνοι. τοῦ μὲν πρώτου συσταλέντος φύσει, τοῦ δὲ ἑξῆς ἐκταθέντος. ἢ παρὰ τὸ ἶφι καὶ τὸ θυμὸς, ὃ σημαίνει τὴν ψυχὴν, γέγονεν ἰφίθυμος, ὁ ἔχων τὴν ψυχὴν ἰσχυρὰν, καὶ κατὰ ἀποβολὴν τοῦ ι, καὶ τροπῇ του υ εἰς ι, ὥσπερ Ἀφροδύτη, Ἀφροδίτη, γέγονεν ἴφθιμος. τὸ δὲ ἶφι γέγονε παρὰ τὸ ἶς, τὸ σημαῖνον τὴν δύναμιν, ἰνὸς, ἶνοσφι, καὶ συγκοπῇ ἶφι. τὸ ἶς παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἡ ὑπάρχουσα ἔν τινι.

Ib. ἄϊδι] Ὄνομα, δοτικὴ κατὰ μεταπλασμὸν ἄϊδι γεγοννῖα. καὶ φησὶν Ἡρωδιανὸς ἐκ τοῦ ἀΐδη, ἄϊδι, ὡς λιτῷ λιτί. καὶ ἐν ἑτέρῳ ὁ ποιητὴς λέγει,

ἀλλ' ὑπ' ἐμοῦ δμηθέντα πύλας 'Αΐδαο περήσειν.

ἢ παρὰ τὸ εἴδω, τὸ βλέπω, ὁ μέλλων εἴσω, καὶ ὄνομα ῥηματικὸν ἴς. πολλὰ γὰρ εἰσὶν ὀνόματα ἀπὸ ῥημάτων γινόμενα, καὶ τὰ ἑξῆς. καὶ μετὰ τοῦ στερητικοῦ α, ἄϊς, ἐν ᾧ οὐδέν ἐστιν ὁρᾷν, καὶ ἡ γενικὴ ἄϊδος, οἷον

δῦναι δόμον Ἄϊδος εἴσω.

καὶ ἡ δοτικὴ ἄϊδι.

ἴαψε] Ἀόριστος πρῶτος, τὸ θέμα ἰάπτω, καὶ τὰ λοιπὰ δῆλα. τὸ δὲ ῥῆμα τοῦτο ποιητικόν ἐστιν· ὁ ἐνεστὼς γὰρ μόνος εὑρίσκεται. ὁ

g Leg. Ἐρυσιχ.

γὰρ ἀόριστος ἀπὸ τοῦ ἴπτω γέγονε, τοῦ σημαίνοντος τὸ βλάπτω, καὶ κατὰ πλεονασμὸν τοῦ α, ἰάπτω, ὡς καὶ ἐν ἑτέρῳ λέγει ὁ ποιητὴς,

τίμησας[f] μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν.

τὸ δὲ ἴψαο ἐκ τοῦ ἴπτω, ἴψω, ὁ μέσος ἀόριστος παθητικὸς ἰψάμην, ἴψαο, Ἰωνικῶς μόνως λεχθέν. τὸ δὲ ἴπτω παρὰ τὸ ἶς[g], ὃ σημαίνει τὸ βέλος, τὸ διὰ βέλους πέμπον θάνατον. ἰάπτω βαρύνεται. πᾶν ῥῆμα εἰς πτω λῆγον βαρύνεται, εἰ μὴ προκατάρχει ὄνομα, ἢ διαστολὴ γένοιτο σημαινομένου, σκάπτω, πίπτω, ῥίπτω. τὸ γὰρ ῥιπτῶ Ἀττικὸν ἢ ποιητικόν. νίπτω, τύπτω. τὸ δὲ τυπίσω[h], ὡς ἀπὸ περισπωμένου, ἴπτω, θάπτω. πρόσκειται εἰ μὴ διαστολὴ σημαινομένου γένηται, διὰ τὸ ὀπτῶ πρὸς ἀντιδιαστολὴν τοῦ ὄπτω. ἢ προκατάρχει ὄνομα, διὰ τὸ ἄβλεπτος ἀβλεπτῶ, ἀλείπτης ἀλειπτῶ.

4. ἡρώων] Ἥρωες δὲ ἐκλήθησαν ἀπὸ τῆς ἀρετῆς, ἢ ἀπὸ τοῦ ἀέρος, ὥς φησιν Ἡσίοδος,

ἠέρα ἑσσάμενοι.

ἢ ἀπὸ τῆς ἐράσεως τουτέστι μίξεως τῶν θεῶν. ἢ ἀπὸ τῆς ἔρας, ἔρα δὲ ἡ γῆ κατὰ διάλεκτον. ἥρως δὲ γέγονεν παρὰ τὸ ἔρω τὸ κουφίζω, ἢ παρὰ τὸ ἀρῶ τὸ ἁρμόζω.

Ib. ἑλώρια] Παρὰ τὸ ἕλωρ, τοῦτο παρὰ τὸ ἕλω, τὸ ἑλκύω, πλεονασμῷ τοῦ ρ ἕλωρ, καὶ ἑλώριον.

Ib. τεῦχε] Παρατατικὸς, ἀφῃρέθη ἡ αὔξησις. οἱ γὰρ Ἴωνες καὶ οἱ ποιηταὶ συναρχομένους ποιοῦνται τοὺς παρῳχημένους τοῖς ἰδίοις ἐνεστῶσι. τοῦτο δὲ ὅλον κλίνεται. τεύχω βαρύνεται. Τὰ εἰς χω δισύλλαβα, ἀρχόμενα ἀπὸ συμφώνου, βαρύνονται. εἰ δέ που περιεσπάσθησαν, τοῦτο ἢ ἐκ βαρυνθέντος τόνου παρῆκται, ὡς τρέχω τροχῶ, ἢ παρὰ ὀνόματος γέγονεν, ὡς τεῦχος, τευχῶ

τετευχήσεσθαι[i] γὰρ ἀμείνων,

οἷον σίχω, τεύχω, ψύχω. τὸ ἠχῶ ἀπὸ φωνῆς καὶ τὸ αὐχῶ.

Ib. κύνεσσι] Διὰ τῶν πληθυντικῶν κατὰ τὴν Αἰολέων διάλεκτον, καὶ κανονίζεται ἀπὸ τῆς εὐθείας τῶν πληθυντικῶν. οἱ γὰρ Αἰολεῖς ἀπὸ τῶν εἰς ες εὐθειῶν πληθυντικῶν προσθέσει τῆς σι συλλαβῆς ποιοῦσι τὴν δοτικὴν τῶν πληθυντικῶν, Αἴαντες Αἰάντεσσι. ἔστιν οὖν ὁ κύων καὶ ἡ γενικὴ ὤφειλε κύονος. δύο κανόνες εἰσὶν οἱ μαχόμενοι, ὁ μὲν εἷς λέγει ὅτι τὰ εἰς ων βαρύτονα

[f] τίμησεν Cod. [g] Leg. ἴος. [h] Sic. τυπτήσω Epim. Hom. Anecd. Oxon. t. I. p. 211, 16. [i] Leg. τετευχῆσθαι Od. X. 104.

διχρόνῳ παραληγόμενα συνεσταλμένῳ, φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς, οἷον Ἀμφιτρύων Ἀμφιτρύωνος, Ἰξίων Ἰξίωνος. ὁ δὲ ἕτερος λέγει ὅτι τὰ εἰς ων κοινὰ τῷ γένει τρέπουσι τὸ ω ἐπὶ τῆς γενικῆς, οἷον σώφρονος, γείτονος, οὕτως οὖν καὶ κύονος. τῶν οὖν δύο κανόνων μαχομένων ἐγένετο συγκοπὴ, καὶ ἐκλίθη κυνός. ἡ μέν τοι κλητικὴ εὕρηται κύον διὰ τοῦ ο μικροῦ, ὡς ἀπὸ τῆς κύονος γενικῆς. γέγονε δὲ τὸ κύων παρὰ τὸ ὠκὺς, τὸ γὰρ ζῶον ταχύ ἐστι, καὶ ὑπερβιβασμῷ τοῦ ω κύων. ἢ παρὰ τὸ κύω τὸ φιλῶ, φιλοδέσποτον γὰρ τὸ ζῶον.

5. οἰωνοῖσι] Δοτικὴ τῶν πληθυντικῶν ἐπεκτάσει τοῦ ι, Ἰώνων δέ ἐστιν ἡ ἐπέκτασις. σημαίνει δὲ τοὺς γύπας. γὺψ δὲ εἴρηται, παρὰ τὸ γυρεύειν τὰ ὕψη. ἔστι δὲ ἡ εὐθεῖα οἰωνὸς, γέγονε δὲ παρὰ τὸ οἰῶ, τοῦτο παρὰ τὸ οἷος, τοῦτο παρὰ τὸ ἴος ὁ μόνος, πλεονασμῷ τοῦ ο, οἰωνός. ὀξύνεται. τὰ διὰ τοῦ ωνος ὑπὲρ δύο συλλαβὰς ἁπλᾶ ὀξύνεσθαι θέλει, οἷον οἰωνὸς, Τιθωνός. πρόσκειται ἁπλᾶ, διὰ τὸ τετράγωνος, ἄφωνος, εὔωνος. Ἰστέον ὅτι ὠνόμασται ὁ γὺψ οἰωνὸς παρὰ τὴν μονότητα, ἐκ τοῦ οἷος, οὐ συναγελάζεται γὰρ ἑτέρῳ ζώῳ, ἱστόρηται δὲ ὅτι καὶ χωρὶς ἄρρενος τίκτει.

Ib. Διὸς] Ἀπὸ τῆς Ζεὺς εὐθείας. ἰστέον δὲ, ὅτι τὰ εἰς ευς λήγοντα καὶ κλίσιν ἐπιδέχονται ὡς πᾶσι δῆλον. καὶ περισπώμενα Δωριεῖς ποιοῦσι. ἔστι καὶ τὸ Ζεὺς Βοιωτικὸν γενόμενον Διός. τὸ γὰρ ζ εἰς δ τρέπουσιν, οἷον Ζῆθος, Δῆθος. οὕτως οὖν καὶ Ζεὺς, Δεύς. ἀπὸ γὰρ τῆς Δεὺς εὐθείας ἐγένετο ἡ γενικὴ Διός. τὸ γὰρ κοινολεκτούμενον οὐ κλίνεται, διὰ τοιαύτην αἰτίαν. πᾶν γὰρ ὄνομα μονοσύλλαβον εἰς σ λῆγον ὀξύτονον διὰ καθαροῦ τοῦ ος κλινόμενον, τὸν χρόνον θέλει φυλάττειν τῆς ἰδίας εὐθείας καὶ ἐπὶ γενικῆς, οἷον Τρὼς, Τρωὸς, δμὼς, δμωός. πρόσκειται μονοσύλλαβον διὰ τὸ Ἀχιλλεύς. πρόσκειται ὀξύτονον διὰ τὸ βοῦς, βοὸς, καὶ νεὺς νεὸς, καὶ γρεὺς, γρεός. πρόσκειται διὰ καθαροῦ τοῦ ος, διὰ τὸ Ζὰς, Ζαντός. ὤφειλεν οὖν τὸ Ζεὺς εἰς σ λῆγον καὶ μονοσύλλαβον ὂν, κλίνεσθαι Ζευός. ὁ δὲ ἕτερος κανὼν λέγει, ὅτι τὰ εἰς ευς διὰ τοῦ εος κλίνεται, καὶ ὤφειλε Ζεός. τῶν οὖν δύο κανόνων μαχομένων, ἀπέλειψεν ἡ κοινὴ κλίσις, καὶ παρεισῆλθεν ἡ τῶν Βοιωτῶν, καὶ ἐγένετο Ζεὺς, Διὸς, Διῒ, Διά· ὡς Ἀχιλλεὺς, Ἀχιλλίος, Ἀχιλλῖϊ, Ἀχιλλία.

Ib. ἐτελείετο] Παρατατικὸς παθητικὸς, ἐκ τοῦ τελειῶ βαρυτόνου. τὰ γὰρ τοιαῦτα παράγωγα ἄχρι τοῦ παρατατικοῦ κλίνονται κατὰ πᾶσαν κλίσιν, καὶ διὰ τῆς ει διφθόγγου γράφονται, οἷον κιχῶ, κιχείω, θῶ, θείω, σῶ, σείω, τελῶ, τελείω. Ἰστέον δὲ ὅτι τὰ ἀπὸ τῶν ἐνεστώτων καὶ τὰ ἀπὸ τῶν μελλόντων[a]. καὶ τὰ μὲν ἀπὸ ἐνεστώτων ἔχουσι καὶ παρατατικοὺς, τὰ δὲ ἀπὸ μελλόντων ἐνεστῶτας μόνους. ὅθεν σεσημείωται τὸ ὄψεον ἀπὸ τοῦ ὀψείω. τελειῶ περισπᾶται. τὰ εἰς ω λήγοντα καθαρὰ παραληγόμενα τῇ ει διφθόγγῳ, βαρύνονται. εἰ δέ τι περιεσπάσθη, τοῦτο παρὰ ὀνόματος ἐγένετο, οἷον σείω, βροσείω. τὸ μέν τοι μειῶ παρὰ τὸ μεῖος, καὶ τὸ τελειῶ παρὰ τὸ τέλειος, τελειῶ, ἐτέλειον, ἐτελειόμην, ἐτελείου, ἐτελείετο.

6. πρῶτα] Ἐπίρρημα μεταχθὲν ἀπὸ οὐδετέρου. Ἰστέον δὲ ὅτι τὰ ἐπιρρήματα γινόμενα ἀπὸ οὐδετέρων, τὸν αὐτὸν τόνον θέλουσι φυλάττειν, τὸ σάφα παρὰ τὸ σαφέα, συγκοπῇ τοῦ ε, καὶ ἐκ τοῦ ὠκέα, ὦκα. σεσημείωται κατὰ τόνον τὸ σφόδρα τοῦ ὀνόματος ὀξυνομένου.

Ib. διαστήτην] Ἀόριστος δεύτερος τῶν εἰς μι τρίτου προσώπου τῶν δυϊκῶν. ἡ δὲ τῶν δυϊκῶν κατάχρησις μάλιστα Ἀττικοῖς ἁρμόζει. ἔστι δὲ τὸ θέμα ἵστημι, ὁ μέλλων στήσω, ὁ ἀόριστος δεύτερος ἔστην, καὶ τὸ τρίτον τῶν δυϊκῶν ἐστήτην, καὶ διαστήτην.

Ib. ἐρίσαντε] Μετοχὴ εὐθεῖα τῶν δυϊκῶν. ἀόριστος πρῶτος ἐκ τοῦ ἐρίζω, τοῦτο παρὰ τὸ ἔρις. τὸ δὲ ἔρις παρὰ τὸ ἐρῶ τὸ λέγω. τοῦ δὲ ἐρίζω ὁ Ἀττικὸς παρακείμενος ἐρήριδα διὰ τοῦ ι. φυλάττει γὰρ αὐτό. ἀπὸ δὲ τοῦ ἐρείδω ἐρήρειδα διὰ τῆς ει διφθόγγου, ἵνα μὴ συνεμπέσῃ τῷ ἀπὸ τοῦ ἐρίζω.

7. Ἀτρείδης] Πατρωνυμικόν. ἀπὸ τοῦ Ἀτρεὺς, τοῦτο παρὰ τὸ τείρω τὸ καταπονῶ, καὶ μετὰ τοῦ στερητικοῦ α, Ἀτρεὺς ὁ ἀκαταπόνητος. Ἀτρείδης, Ἀτρείδου. τὰ εἰς δης πατρωνυμικὰ εἰς ου ἔχει τὴν γενικὴν, Ἀτρείδης, Ἀτρείδου, Πηλείδης, Πηλείδου. γράφεται δὲ διὰ τῆς ει διφθόγγου. τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειδης γινόμενα πατρωνυμικὰ, διὰ τῆς ει διφθόγγου γράφονται.

Ib. ἄναξ] Ἐκ τοῦ ἄνακος, κατὰ πλεονασμὸν τοῦ τ, ἄνακτος. ἐτυμολογεῖται δὲ παρὰ τὸ τὴν ἄνω τάξιν ἔχειν. ἢ ἐφ' ὃν πάντα

[a] Add. vid. γίνονται παράγωγα. Cf. Etym. M. p. 750, 51.

ἀναφέρομεν, ἢ παρὰ τὸ ἀνάσσω, ἢ ὁ ἄνω ἀΐσσων. ἄναξ βαρύνεται. πᾶν εἰς αξ λῆγον ὄνομα ὑπὲρ μίαν συλλαβὴν, βαρύνεσθαι θέλει, χωρὶς εἰ μὴ παρὰ ῥήματος εἴη συντεθειμένον, καὶ μίαν συλλαβὴν φυλάττει τοῦ ῥήματος. Φαίαξ, θώραξ, ἄναξ, κόραξ. τὸ δὲ δισφὰξ[b] καὶ ἀποσφὰξ ἀπὸ ῥήματος.

Ib. ἀνδρῶν] Ἀπὸ τῆς ἀνὴρ εὐθείας, ἀνέρος, καὶ ἐν συγκοπῇ ἀνδρός.

Ib. δῖος] Ἐπίθετον ὄνομα ἀπὸ τῆς Διὸς γενικῆς, δΐϊος, καὶ κατὰ συναλειφὴν δῖος. προπερισπᾶται. τὰ εἰς ος λήγοντα καθαρὰ δισύλλαβα παραληγόμενα τῷ ι ἐκτεταμένῳ, εἰ ἄρχονται ἀπὸ συμφώνου, βαρύνεσθαι θέλει, τουτέστι προπερισπῶνται, οἷον Πῖος ὄνομα κύριον, Χῖος, δῖος, Θρῖος, Πρῖος[c], Φθῖος. σεσημείωται τὸ κριὸς ὀξυνόμενον καὶ τὸ ἰὸς, ἐπειδὴ ἀπὸ φωνήεντος ἄρχονται.

8. σφωὲ] Ἀντωνυμία τρίτου προσώπου αἰτιατικῆς μόνον πτώσεως. διατί δὲ οὐκ ἔστιν ὀρθῆς καὶ αἰτιατικῆς; διότι ἡ ὀρθὴ πτῶσις οὐδέποτε ἀναδίδωσι τὸν τόνον αὐτῆς, οἷον νῶϊ, σφῶϊ, τοῦτο δὲ ὀξύνεται καὶ ἐγκλίνεται, καὶ ἀναδίδωσι τὸν τόνον, διὸ ἀπέλειπεν ἡ εὐθεῖα, καὶ ἔστι μόνον αἰτιατική.

Ib. ξυνέηκε] Παρακειμένου ἐνεργητικοῦ τρίτου προσώπου τῶν εἰς μι. ἔστι τὸ θέμα ἵημι, ἥσω, ἧκα, πλεονασμῷ ποιητικῷ ἔηκα, καὶ ἐν συνθέσει συνέηκα, καὶ τροπῇ τοῦ σ εἰς ξ Ἀττικῶς, οἱ γὰρ Ἀττικοὶ τὸ σ εἰς τ καὶ εἰς ξ τρέπουσι.

9. Λητοῦς] Παρὰ τὸ λήθω τὸ λανθάνω, πραεῖα γὰρ καὶ πάντας ἐλεοῦσα. τὸ γὰρ ἥμερον καὶ πρᾶον ἐκ τοῦ ἐπιλελεῖσθαι τῶν εἰς αὐτὴν πλημμελημένων ἐμφαίνεται. ὁ δὲ Ἀρίσταρχος παρὰ τὸ λῶ τὸ θέλω, ὅ ἐστι θέλειν, ἐπειδὴ ὃ ἄν τις θέλῃ παρ' αὐτῆς λαμβάνει. Λητὼ ὀξύνεται. τὰ εἰς ω λήγονται θηλυκὰ ὀξύνονται, Κλειὼ, Λητὼ, Ἐρατὼ, Κλωθὼ, Σαπφώ.

Ἀπόλλων] Παρὰ τὸ ἀπολύειν τῶν κακῶν τοὺς ἀνθρώπους. ἰατρὸς γὰρ ὁ θεὸς καὶ μάντις. οἱ δὲ ἀπὸ τοῦ πάλλειν τὰς ἀκτῖνας, αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ. Ἀπόλλωνος. Τὰ εἰς ων ὑπὲρ δύο συλλαβὰς βαρύνονται, καὶ διὰ τοῦ ω κλίνονται, οἷον Ἀσκάλων Ἀσκάλωνος, Ἀπόλλων Ἀπόλλωνος. βαρύνεται· τὰ εἰς λων λήγοντα ὑπὲρ δύο συλλαβὰς βαρύνεσθαι θέλει, εἰ μὴ ᾖ περιεκτικόν. Ἀσκάλων, Ἀπόλλων. τὸ ἀμπελὼν, καὶ μηλὼν περιεκτικά. σεσημείωται τὸ

[b] Leg. διασφάξ. [c] Leg. Κρῖος. Cf. Etym. M. p. 539, 10.

Βαβυλὼν καὶ τὸ μιμαλλὼν, θηλυκὸν ὄνομα σημαῖνον τὴν μαινάδα, οὕτω Καλλίμαχος.

Ib. ὃ] Ἄρθρον ὑποτακτικὸν μεταχθὲν εἰς ἀντωνυμίαν ἀναφορικήν. ἔθος γὰρ τῷ ποιητῇ τὰ ὑποτακτικὰ τῶν ἄρθρων εἰς ἀντωνυμίας μετάγειν. τὰ γὰρ ἄρθρα μὴ ἐπαγομένου ὀνόματος πρὸς ὃ συνταγῶσι μετάγονται εἰς ἀντωνυμίας σημασίαν.

τοῦ δ' ἕνεκά σφιν,

ἀντὶ τούτου χάριν.

τῷ δ' ἐπετοξάζοντο.

ἀντὶ τοῦ ἐπ' αὐτῷ τὰ τόξα ἔτεινον.

τὸν δ' ἀπαμειβόμενος,

ἀντὶ τοῦ πρὸς τοῦτον.

Ib. χολωθείς] Ἐκ τοῦ χολῶ, τοῦτο παρὰ τὸ χόλος, τοῦτο παρὰ τὸ χῶ, χέω, χόλος, καὶ ἐξ αὐτοῦ χολῶ.

10. νοῦσος] Ἰωνικῷ πλεονασμῷ τοῦ υ, οἷον νὸς νοὺς, μόνος μοῦνος, κόρος κοῦρος. γέγονε δὲ παρὰ τὸ νο στερητικὸν, καὶ τὸ σῶον, τὸ ἐστερημένον τοῦ σώου καὶ ὑγιοῦς. νόσος βαρύνεται. τὰ εἰς σος λήγοντα διβραχέα βαρύνεσθαι θέλει, οἷον δρόσος, δάσος, νῆσος, νόσος.

Ib. ἀνὰ στρατὸν] Ἡ ἀνὰ ἀντὶ τῆς κατὰ ἔθει Ἀττικῷ. οἱ γὰρ Ἀττικοὶ χρῶνται πολλάκις προθέσεις ἀντὶ προθέσεων.

Ib. στρατὸς] Παρὰ τὸ στατὸς, καὶ πλεονασμῷ τοῦ ρ στρατός. ἢ παρὰ τὸ στρῶ, στρώσω, στρωτὸς καὶ στρατὸς, ἢ παρὰ τὸ ἵστημι.

Ib. ὦρσε] Ἀόριστος πρῶτος ἐστὶν ὄρω τὸ διεγείρω, ὁ μέλλων ὀρῶ, καὶ Αἰολικῶς ὄρσω, καὶ ὁ ἀόριστος πρῶτος ὦρσα.

Ib. ὀλέκοντο] Παρατατικοῦ Ἰωνικοῦ ἀρχόμενον ἀπὸ τοῦ ο, καὶ ἔστιν ἄκλιτον. τὰ δὲ τοιαῦτα μέλλοντα οὐκ ἔχουσιν, ἐπειδὴ ἀπὸ μελλόντων μετήχθησαν εἰς ἐνεστῶτα, οἷον

ὄρσεο Λαομεδοντιάδη.
ἄξετε Πριάμοιο βίην.

γέγονε δὲ τοῦτο ἀπὸ τοῦ ὀλῶ, ὀλέσω, πλεονασμῷ τοῦ κ ὀλέσκω, καὶ κατ' ἔνδειαν τοῦ σ ὀλέκω, ὡς ἀπὸ τοῦ μεθύω, μεθύσω, μεθύσκω, καὶ ἀρῶ, ἀρέσω ἀρέσκω, πλεονασμῷ τοῦ κ, διὸ καὶ οὐ κλίνεται ὡς ἀπὸ μέλλοντος.

11. ἠτίμησεν] Ἐκ τοῦ ἀτιμάζω, τοῦτο παρὰ τὸ ἀτιμῶ, ὡς βῶ, βάζω. τοῦτο παρὰ τὸ ἄτιμος. τοῦτο παρὰ τὸ τίω τὸ τιμῶ, ὅπερ φυλάττει ἐν πᾶσι τὸ ι μακρόν. τινὲς λέγουσιν αὐτὸ ἐνταῦθα εἶναι β συζυγίας τῶν περισπωμένων. ἔστι μὲν οὖν δευτέρας, ἀλλ' οὖν καὶ τρίτης, ἐξ οὗ τὸ ἠτιμωμένος.

Ib. ἀρητῆρα] Παρὰ τὴν ἀρὰν, ἀρατὴς, τροπῇ τοῦ α εἰς η Ἰωνικῶς. ἀρατὴς δὲ παρὰ τὸ ἀρᾶς, ἀράσω, ἀρατὴς, ἢ παρὰ τὸ αἴρω τὸ κουφίζω, ἢ παρὰ τὸ ἀρέσκειν θεῷ.

12. θοὰς] Παρὰ τὸ θέω τὸ τρέχω, θοὸς, θοή.

Ib. νῆας] Παρὰ τὸ νῶ τὸ κολυμβῶ.

13. θύγατρα] Κατὰ συγκοπὴν τοῦ θυγατέρα, ἀναδοθέντος τοῦ τόνου. αἱ γὰρ συγκοπαὶ ἀναβιβάζουσι τοὺς τόνους, οἷον ὁμόπατρος ὅπατρος, ἁρμόσαντες ἄρσαντες. γέγονε δὲ τὸ θυγάτηρ παρὰ τὸ θύω καὶ τὸ γαστήρ. λέγουσι γὰρ τὰ θήλεα τάχιον κινεῖσθαι ἐν τῇ μήτρᾳ.

Ib. φέρων] Τοῦτο ἑτερόκλιτον. ὁ μέλλων οἴσω.

Ib. ἀπερείσια] Δεῖ γινώσκειν ὅτι τὰ ἀπερείσια τῇ ει διφθόγγῳ παραλήγει. παρὰ γὰρ τὸ ἄπειρος γέγονε ἀπειρέσιος, καὶ καθ' ὑπερβιβασμὸν ἀπερείσιος, τὸ οὐδέτερον τὸ ἀπερείσιον.

Ib. ἄποινα] Οἱονεὶ ἀφοινά τινα ὄντα, τὰ ὑπὲρ φόνου κυρίως διδόμενα λύτρα. παρὰ τὸ φῶ τὸ φονεύω, φόνος, ἄφονος, ἄφοινα, καὶ ἄποινα.

15. σκῆπτρον] Παρὰ τὸ σκήπτω τὸ ἐπερείδομαι. σημαίνει δὲ δύο, τὸ προφασίζομαι, καὶ τὸ ἐπερείδομαι.

Ib. ἐλίσσετο] Ἔστι παρατατικὸς τρίτου προσώπου τῶν πληθυντικῶν. τὸ θέμα λίσσω, ὁ μέλλων λίσω. ἢ παρὰ τὸ λίτω τὸ παρακαλῶ ὁ μέλλων λίσω, εἶτα μετάγεται εἰς ἐνεστῶτα, καὶ πλεονασμῷ τοῦ σ λίσσω, λίσσομαι, ἐλισσόμην, ἐλίσσετο.

16. κοσμήτορε] Ἐκ τοῦ κοσμήτωρ, τοῦτο παρὰ τὸ κοσμῶ, τοῦτο παρὰ τὸ κόσμος, τοῦτο παρὰ τὸ κάζω τὸ κοσμῶ.

Ib. δύω] Δεῖ γινώσκειν ὅτι τὸ δύω Ἀττικόν ἐστι, καὶ ω μεγάλῳ γράφεται. γέγονε δὲ παρὰ τὸ διϊέναι, μόνη γὰρ πρώτη ἡ δυὰς διΐστασθαι ἀπὸ τῆς μονάδος. ὅθεν οἱ Πυθαγορικοὶ τόλμαν αὐτὴν εἶπον. εἰ δὲ ὀξύνεται, διὰ τῆς οι γράφεται,

δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν.

17. ἐϋκνήμιδες] Διάλυσις Ἰωνική. τὸ δὲ κνημὶς ἀναβιβάζει τὸν τόνον ἐν τῇ συνθέσει εὐκνήμις. τὰ εἰς ις λήγοντα βαρύτονα συστέλλει τὸ ι, εἰ μὴ ἐκ συνθέσεως εἴη, κόνις, δῆρις, μάντις, ὄφις. τὸ δὲ εὐκνήμις καὶ μελαμψίδις[b] σύνθετα, ἐφυλάξατο αὐτὰ ὁ κανών.

18. δοῖεν] Ἔστιν ἀόριστος δεύτερος εὐκτικὸν, ἐκ τοῦ δίδωμι, ἔδων, δοὺς, δόντος, δοίην, δοῖμεν, καὶ ἐν συγκοπῇ δοῖεν.

Ib. Ὀλύμπια] Παρὰ τὸ ὁλολαμπὴς εἶναι, ἢ παρὰ τὸ λύειν τοὺς ὄπους διὰ τὸ κρύος.

Ib. δώματα] Ἐκ τοῦ δομῶ, δόμημα, καὶ ἐν συγκοπῇ δῶμα, καὶ ἀποβολῇ τῆς μα συλλαβῆς δῶ, "ἡμέτερον δῶ." εἰσὶ δὲ τινὰ τρέποντα τὸ ε εἰς ω, ὡς τὸ νέμω, νωμῶ,

νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν,

πέτω, ποτῶ, δέμω δομῶ, ἐξ οὗ καὶ τὸ δωμήτωρ, πέλω πωλῶ,

ἐπεπωλεῖτο στίχας ἀνδρῶν.

τὸ μέν τοι "πεποτίαται" καὶ "ἀμφεποτᾶτο Ὀδυσσεὺς[c] φίλα τέκνα," οὐκ ἔλαβεν αὔξησιν διὰ τὸ μέτρον, οὐ γὰρ ἀεὶ γίνεται. τὸ δὲ δόμα ἐπὶ τῆς λήψεως διὰ τοῦ ο μικροῦ ἐκ τοῦ δέδομαι, δόμα. ἢ παρὰ τὸ δόμος. ἐπαύξησις δὲ γίνεται τοῦ ο εἰς ω. ἢ παρὰ τὸ δῶ, τὸ δεσμεύω, δήσω, δέδηκα, δέδημαι, δέδημα, καὶ δῶμα.

19. ἐκπέρσαι] Ἐκ τοῦ πέρθω.

Ib. πόλις] Παρὰ τὸ πολῶ, τὸ ἀναστρέφομαι ἢ παρὰ τὸ πέλω τὸ ὑπάρχω. τὸ δὲ πέλω σημαίνει δύο, πέλω τὸ ὑπάρχω βαρύτονον, πελῶ δὲ περισπώμενον, τὸ προσεγγίζω.

Ib. ἱκέσθαι] Ἐκ τοῦ ἥκω τὸ παραγίνομαι, τοῦτο ἐν μὲν τοῖς πεζολόγοις διὰ τοῦ η γράφεται, ἐν δὲ τοῖς ἰαμβολόγοις ὁμοίως διὰ τοῦ η ἐν τοῖς ἐνεργητικοῖς καὶ μόνον, ἐν δὲ τοῖς παθητικοῖς καὶ εἰς τὰς λοιπὰς ἐγκλίσεις διὰ τοῦ ι, ὁμοίως καὶ ἐν τοῖς δυϊκοῖς ἐνεργητικοῖς καὶ πληθυντικοῖς. οἱ δὲ ποιηταὶ πανταχοῦ διὰ τοῦ ι αὐτὸ γράφουσι.

20. παῖδα] Παῖς παρὰ τὸ παίειν, τουτέστι τύπτειν, ἢ παρὰ τὸ παίζειν, ἀμφότερα γὰρ παισὶν ἁρμόζει. ἢ παρὰ τὸ βαιὸν, ὃ σημαίνει τὸ μικρὸν, βαῖς καὶ παῖς. τρία δέ εἰσι σεσημειωμένα.

b Leg. μελαμψήφις. c Leg. ὀδυρομένη Il. B. 315.

παῖς, δαῖς, σταῖς, ἅτινα κλίσιν μὲν ἀνεδέξαντο, κανόνι δὲ οὐχ ὑπέπεσον. ἀρσενικὸν ὁ παῖς, θηλυκὸν ἡ δαῖς, ὃ σημαίνει τὴν εὐωχίαν, οὐδέτερον σταῖς, ὃ σημαίνει τὸ ἄλευρον.

Ib. φίλην] Κατὰ παρασχηματισμὸν, τοῦτο παρὰ τὸ φιλῶ ῥῆμα, ἐξ οὗ καὶ

νῦν αὖτε με φῖλε Ἀθήνη

καὶ τὸ φιλαμένη.

21. ἁζόμενοι] Παρὰ τὸ ἅζω τὸ σέβω, ὅπερ δασύνεται, τοῦτο παρὰ τὸ χάζω τὸ ὑποχωρῶ, ὃν γὰρ σεβόμεθα, τοῦτον καὶ ὑποχωροῦμεν.

22. ἔνθα] Σημαίνει χρόνον, ὡς ἐνταῦθα, καὶ τόπον, ὡς τὸ

ἔνθα καθεῦδ' ἀναβὰς,

ἀντὶ τοῦ ἐκεῖσε. ψιλοῦται. τὸ ε καταλῆγον εἰς ν ἐπιφερομένου συμφώνου, ψιλοῦται.

Ib. ἐπευφήμησαν] Ἐκ τοῦ εὐφημῶ, τοῦτο παρὰ τὸ εὔφημος, τοῦτο παρὰ τὸ εὖ μόριον καὶ τὸ φήμη, τοῦτο παρὰ τὸ φῶ τὸ λέγω, φημὶ, φήσω, φήμη, ὡς κωλύσω, κωλύμη, νοήσω, νοήμη, καὶ νόμη, καὶ γνώμη. κινήσω, κινήμη, καὶ κνήμη. τὰ διὰ τοῦ ιμος δὲ παράγωγα διὰ τοῦ ι γράφονται, πλὴν τοῦ ἔρημος, εὔσημος, εὔφημος, βλάσφημος.

23. αἰδεῖσθαι] Α συζυγίας τῶν περισπωμένων ἀπαρέμφατον ἀντὶ προστακτικοῦ. εἰώθασι γὰρ οἱ ποιηταὶ ἀπαρεμφάτοις χρᾶσθαι ἀντὶ προστακτικῶν. τὸ θέμα αἰδῶ, αἰδήσω, ἐξ οὗ καὶ αἴδημι, τοῦτο παρὰ τὸ αἰδὼς, τοῦτο παρὰ τὸ εἴδω τὸ βλέπω, καὶ μετὰ τοῦ στερητικοῦ α ἀείδω, καὶ ἐξ αὐτοῦ γίνεται αἰδὼς, οἱ γὰρ ἐντρεπόμενοι συστέλλουσι τὰ ὄμματα.

Ib. ἱερῆα] Ἰωνικὸν τὸ ἱερῆα ἡ εὐθεῖα ἱερεὺς, παρὰ τὸ ἵημι τὸ πέμπω, ὁ τὰς θυσίας ἀναπέμπων, ἢ παρὰ τὸ ἱερεύω τὸ θύω, ὁ τὰς θυσίας ἀναφέρων. τοῦτο παρὰ τὸ ἱερὸς ὁ τεθυμένος, τοῦτο παρὰ τὸ ἵημι.

Ib. ἀγλαὰ] Παρὰ τὸ ἀγάλλω, ἐφ' ᾧ τίς ἀγάλλεται, ἢ παρὰ τὸ αἴγλη, ὅ ἐστιν ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ, ἡ γὰρ αἴγλη ὁρμητική.

Ib. δέχθαι] Ἀπαρέμφατον ἀντὶ προστακτικοῦ παθητικὸς

παρακείμενος κατὰ ὑφαίρεσιν τοῦ ἀναδιπλασιασμοῦ, ἧν γὰρ δεδέχθαι.

24. ἥνδανε] Ἔστι παρακείμενος ἐνεργητικὸς γ προσώπου, καὶ δασύνεται. γέγονε δὲ παρὰ τὸ ἥδω τὸ ἀρέσκω, ἀνδάνω, ὡς λήβω λαμβάνω, πήθω πανθάνω, δήκω δαγκάνω.

Ib. θυμὸς] Παρὰ τὸ θύω τὸ ὁρμῶ.

25. ἀφίει] Ἔστι ῥῆμα ἱῶ περισπώμενον, ὅπερ καὶ δασύνεται. τούτου ὁ παρατατικὸς ἵουν, τὸ δεύτερον ἵεις, τὸ γ ἵει καὶ προΐει,

ὣς εἰπὼν προΐει.

Ἰστέον ὅτι τοῦ τίθημι καὶ ἵημι καὶ δίδωμι οἱ παρωχήμενοι, μᾶλλον ἀπὸ τῶν εἰς ω εἰσὶν ἐν χρήσει, ἤπερ ἀπὸ τῶν εἰς μι, οἷον

ὣς εἰπὼν ἐν χερσὶ τίθει,

καὶ

ἐδίδουν αὐτῷ ῥαπίσματα.

Ib. κρατερὸν] Παρὰ τὸ κράτος, κρατῶ, κρατήσω, κρατερός.

Ib. μῦθος] Παρὰ τὸ μυθῶ, τοῦτο παρὰ τὸ μυῶ τὸ διδάσκω.

Ib. ἔτελλε] Ἐκ τοῦ τέλλω, καὶ λοιπὰ δῆλα.

26. γέρον] Κλητικὴ διὰ τοῦ ο μικροῦ. γέγονε δὲ παρὰ τὸ εἴρω, ὃ σημαίνει τὸ λέγω, ἐξ αὐτοῦ ἔρων, καὶ πλεονασμῷ τοῦ γ γέρων, ὡς ῥέα, γρέα. καὶ ὁ ποιητὴς,

ἀλλ' ἀγορηταὶ ἐσθλοί.

ἢ παρὰ τὸ γέρας τὸ σημαῖνον τὴν τιμήν. τιμῶμεν γὰρ τοὺς γέροντας. ἢ παρὰ τὸ εἰς γῆν ὁρᾶν, διὰ τὸ κεκυφέναι, ἢ παρὰ τὸ εἰς γῆν ἔρεσθαι, ἢ παρὰ τὸ ῥέω τὸ φθείρω, οὐδὲν γὰρ ἰσχνότερον γήρους. σεσημείωται τὸ γέρων κατὰ τὴν κλίσιν, τὰ γὰρ εἰς ρων δισύλλαβα διὰ τοῦ ω κλίνονται, εἰ μὴ κοινὰ εἴη, καὶ φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς, οἷον Νέρων Νέρωνος, Ἱέρων Ἱέρωνος, σεσημείωται τὸ γέρων γέροντος, ὡς μετοχικόν.

Ib. κοίλῃσιν] Ἰωνική ἐστιν ἐπέκτασις. τὰς γὰρ εἰς αις δοτικὰς εἰς ῃσι ποιοῦσιν. γράφεται δὲ τὸ κοι δίφθογγον, ἐπειδὴ εὑρέθη κατὰ διάστασιν κόϊλος, καὶ ἐν συναιρέσει κοῖλος, ὡς ζωη Ζώϊλος. ἐκ δὲ τοῦ κοῖλος, κοίλη. τὸ δὲ κοῖλος παρὰ τὸ κῶ τὸ κεῖμαι, τὸ δὲ κῶ σημαίνει δύο, κῶ τὸ καίω, ἐξ οὗ τὸ κείω

πῦρ μέγα κειάμενοι.

καὶ τὸ κοιμῶμαι οὗ ὁ μέλλων κόσω[c], ἐξ οὗ καὶ κόνη[d] καὶ κῶμα.

Ib. κιχείω] Ἐκ τοῦ κιχῶ κιχείω, ὥσπερ ὀλῶ ὀλείω, σῶ σείω, ὁ μέλλων σείσω, καὶ τελῶ, τελείσω τελειῶ, γράφεται δὲ διὰ τοῦ ι, διότι αἱ ἀναδιπλάσεις ἀεὶ διὰ τοῦ ι γράφονται. σημαίνει δὲ δύο, τὸ καταλαμβάνω, ἐξ οὗ

ἀκίχητα διώκων,

καὶ τὸ ἱκετεύω, ἐξ οὗ καὶ τὸ

ἡμεῖς δὲ κιχάνομεν τὰ σὰ γόνατα.

27. δηθύνοντα] Μετοχὴ, τὸ ῥῆμα δηθύνω, τοῦτο δὲ παρὰ τὸ δηθὰ ἐπίρρημα χρονικόν.

Ib. ὕστερον] Ὑπὸ, ὑπότερος, καὶ κατὰ συγκοπὴν ὕπτερος, καὶ πλεονασμῷ τοῦ σ ὕστερος, ὡς πρότερος.

Ib. ἰόντα] Ἐκ τοῦ ἰῶ περισπωμένου, ὁ δεύτερος ἀόριστος ἶον, καὶ ἡ μετοχὴ ἰών.

28. χραίσμῃ] Ῥῆμα δευτέρου ἀορίστου ὑποτακτικοῦ ἐνεργητικοῦ. τὸ θέμα χραισμῶ, α συζυγίας τῶν περισπωμένων, ὁ δεύτερος ἀόριστος ἔχραισμον, καὶ τὰ λοιπὰ δῆλα. γέγονε δὲ τὸ χραισμῶ, ἀπὸ τοῦ χρήσιμος χρησιμῶ, συστολῇ τοῦ η εἰς α, καὶ ὑπερβιβασμῷ τοῦ ι χραισμῶ. τὸ δὲ χρήσιμος ἀπὸ τοῦ χρῄζω, ἢ παρὰ τὸ χρῶ, χρήσω, ἐξ οὗ καὶ τὸ ἀχρεῖος.

μη] Τὸ μη σημαίνει δύο, ἀπαγορευτικὸν καὶ διστακτικόν. ἀπαγορευτικὸν μὲν, οἷον, μὴ φάγῃς. διστακτικὸν δὲ, μὴ ἀπέθανεν ὁ δεῖνα;

Ib. θεοῖο] Γενικὴ Βοιωτικὴ καὶ Αἰολική. οὕτω γὰρ τὰς εἰς ου γενικὰς, τὰς ἀπὸ τῶν εἰς ος εὐθειῶν γινομένας, διὰ τοῦ οιο προφέρουσιν, οἷον καλὸς καλοῖο, σοφὸς σοφοῖο. καὶ εἰ μὲν ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσιν, προπερισπῶνται, οἷον καλοῦ καλοῖο, σοφοῦ σοφοῖο. εἰ δὲ ἀπὸ βαρυτόνων, προπαροξύνονται, οἷον Πρίαμος, Πριάμου, Πριάμοιο, φίλου φίλοιο.

29. πρίν μιν] Τὸ πρὶν χρόνου δηλωτικὸν, ὃ ἐκ τῆς παρὰ προθέσεως γίνεται, πάρος, πάριν, καὶ πρίν. τὸ μιν ἀντωνυμία σύνθετος θεματικὴ λαμβανομένη ἐπὶ τῶν τριῶν γενῶν.

[c] Leg. κώσω. [d] Leg. κώμη.

Ib. ἔπεισι] Ἐκ τοῦ εἰμὶ τὸ πορεύομαι, εἶς, εἶσι καὶ ἔπεισι. τὸ δὲ εἰμὶ παρὰ τὸ ἔω τὸ περιπατῶ, εἴω ὡς βῶ, βέω, βείω, καὶ κῶ, κέω, κείω, καὶ ἐξ αὐτοῦ εἰμί.

Ib. γῆρας] Ἀπὸ τοῦ ῥέω τὸ φθείρω, καὶ ὑπερθέσει τοῦ ε, ἔρω, ἡ μετοχὴ ἔρων, καὶ προσθέσει τοῦ γ γέρων, καὶ ἐξ αὐτοῦ γέρας καὶ Ἰωνικῶς γῆρας. ἢ παρὰ τὸ γῶ τὸ χωρῶ, πρὸς ὃ πάντες χωροῦμεν. ἢ παρὰ τὸ γῆ, γῆρας, τοῦτο ἀπὸ τοῦ εἰς γῆν ἐρᾷν.

30. ἐνὶ οἴκῳ] Ὀρθοτονεῖται ἡ ἐνὶ πρόθεσις. ἔστι δὲ κατὰ πλεονασμόν. Ἰστέον δὲ ὅτι τότε ἀναστρέφονται αἱ προθέσεις, ὅταν λείπῃ ῥῆμα. γράφεται γὰρ ἀντὶ τοῦ ῥήματος, οἷον

παρ' ἔμοι γε καὶ ἄλλοι.
πάντες γὰρ θεοὶ εἰσὶ καὶ ἡμῖν.
ἔνι τοι φρένες οὐδ' ἠβαιαί.

καὶ ὅταν μεταξὺ δύο ὀνομάτων τεθῶσιν. ἔστι δὲ ἡ σύνταξις αὕτη, οἷον

ξύλοχον καταβοσκομένων,
προτη ὄνοξάνθω ἔπι δινήεντι.
νηῶν ἄπο καὶ κλισιάων.

καὶ ὅτε ὑποτέτακται τινὶ ἀμέσως

ᾧ ἔπι πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα.

ἀντὶ τοῦ ἐφ' ᾧ, καὶ ὅτε εὑρέθη ἐπὶ τέλους οὖσα, οἷον

Ἀρτέμιδι ξύν.

εἰ δὲ μὴ οὕτως ἔχει, ὀρθοτονεῖται, ἢ φυλάττει τὸν ἴδιον τόνον. τὸ δὲ ἐνὶ ὀρθοτονεῖται μετὰ ὀνόματος, ἵνα μὴ ἀναστρεφόμενον ῥῆμα σημαίνῃ. ἀναστρεφομένη γὰρ ἡ παρὰ καὶ ἐνὶ ῥῆμα σημαίνουσιν. ἔστι δὲ καθόλου εἰπεῖν ὅτι τότε ἀναστρέφονται, ἡνίκα ὑποταγῶσι τῇ λέξει μεθ' ἧς τινος ὀφείλωσι συντάσσεσθαι, μὴ παρεντιθεμένης ἐν τῷ μέσῳ οἱασδήποτε συλλαβῆς.

Ib. Ἀργεϊ] Οὕτως ἐκλήθη ἀπό τινος Ἄργου ἐν Πελοποννήσῳ κατοικήσαντος. Ἰστέον δὲ ὅτι αἱ τοιαῦται δοτικαὶ, ἐὰν μὲν ἔχωσιν ἐπιφερόμενον σύμφωνον, διαιροῦνται, οἷον

Διομήδεϊ Παλλὰς Ἀθήνη.

εἰ δὲ φωνῆεν, οὐ διαιροῦνται, οἷον

σῷ θάρσει δτ' ἐμὸν δολιχόσκιον,

ἐὰν μὴ μέτρον κωλύσῃ,

χαριζομένη πόσεϊ ᾧ.

τινὰ δὲ χωρὶς μέτρου παρήλλακται, οἷον

πρὸς δ' ἔβαλον, μετέπειτα δὲ ἡδέϊ οἴνῳ.

Ib. τηλόθι] Ἐπίρρημα τοπικὸν ἀπὸ τοῦ τηλῶ, τοῦτο παρὰ τὸ τῆλε, τοῦτο παρὰ τὸ τέλος.

Ib. πάτρης] Πάτρα λέγεται ἡ πατρὶς καὶ πάτρη.

31. ἱστὸν] Παρὰ τὸ ἵστημι.

Ib. ἐποιχομένη] Ἐκ τοῦ οἴχω, οἴχομαι, οἰχόμενος, οἰχομένη καὶ ἐποιχομένη. ἢ παρὰ τὸ εἴκω, οἶκος, οἴκω, οἰκοῦμαι, ἡ μετοχὴ οἰκουμένη, καὶ τροπῇ τοῦ κ εἰς χ, καὶ ἀποβολῇ τοῦ υ οἰχομένη.

Ib. λέχος] Παρὰ τὸ λέγω τὸ κοιμῶμαι. ἢ παρὰ τὸ λεχρίους ἡμᾶς κεῖσθαι, ἤγουν πλαγίους.

Ib. ἀντιόωσαν] Ἐκ τῆς ἀντὶ προθέσεως ἀντίος, ἀντιῶ, ἀντιῶσαν, καὶ πλεονασμῷ τοῦ ο ποιητικῶς ἀντιόωσαν, ὡς βοῶντα, βοόωντα. ἔστι δὲ β' συζυγίας τῶν περισπωμένων, καὶ ὁμώνυμος ἡ λέξις. ὅταν γὰρ δηλοῖ τὸ ἀντιλαμβανομένη, αἰτιατικῇ συντάσσεται. ὅταν δὲ τὸ ἀπαντῶσαν, γενικῇ. οἷον,

ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.

οἱ δὲ ποιηταὶ πλεονασμῷ τοῦ ω, οἷον

ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι βοόωντά τ' ἐφεύροι.

32. ἴθι] Ἐκ τοῦ εἶμι τὸ πορευόμαι, τὸ α τῶν πληθυντικῶν ἴμεν, καὶ τὸ προστακτικὸν ἴθι. φασὶ γὰρ δύο εἰσὶ πρωτότυπα ῥήματα, ἴω διὰ τοῦ ι, καὶ εἴω διὰ τῆς ει διφθόγγου, καὶ τὰ μὲν ἑνικὰ διὰ τῆς ει διφθόγγου γράφεται, ὡς ἀπὸ τοῦ εἴω, οἷον εἶμι, εἶς, εἴσι. τὰ δὲ πληθυντικὰ διὰ τοῦ ι, ὡς ἀπὸ τοῦ ἴω, τὸ πληθυντικὸν ἴμεν, ἴτε, ἴσι, πλεονασμῷ ἴασι, ἐκ τούτου οὖν τοῦ ἴμεν τροπῇ τῆς μεν εἰς θι ἴθι.

Ib. ἐρέθιζε] Ἐρῶ τὸ λέγω, ἐρέθω καὶ ἐρεθίζω.

Ib. σαώτερος] Ἔστι ῥῆμα σῶ τὸ ὑγιαίνω, παράγωγον σάω, ἐξ οὗ ὄνομα σάος διὰ τοῦ ο, ἐξ αὐτοῦ σαώτερος. ἔστι δὲ ἀπὸ τοῦ σῶ ῥῆμα σέω, ἐξ οὗ τὸ σόος διὰ τοῦ ο μικροῦ. καὶ ἕτερον ὄνομα ἐκ τοῦ σῶ σῶος, ἐξ οὗ τὸ σωΐζω καὶ σώζω, ἐξ οὗ καὶ τὸ

βούλομαι ἐγὼ λαὸν σῶον.

Ib. νέηαι] Ὑποτακτικὸν χρόνου ἐνεστῶτος παθητικοῦ β' προσώπου Ἰωνικῶς. οἱ δὲ Ἴωνες ὁμοίως τοῖς ὁριστικοῖς καὶ τὰ ὑποτακτικὰ ποιοῦσιν. ἔστι νέω τὸ πορεύομαι, καὶ τὸ ὑποτακτικὸν, ἐὰν

νέωμαι, τὸ γ νέηται, καὶ Ἰωνικῶς νέηαι. συστέλλουσι γὰρ τὸ τ οἱ Ἴωνες, καὶ ποιοῦσι τὸ δεύτερον, οἷον ὄληαι, νέηαι.

33. ἔφατο] Ἐκ τοῦ φημὶ φῂς, φησὶ, ἐφάμην, ἔφασο, ἔφατο, μέσος ἀόριστος δεύτερος. Ἰστέον δὲ ὅτι τὸ προστακτικὸν τοῦ φημὶ ὀξύνεται, οἷον φαθὶ, τῶν ἄλλων βαρυνομένων.

Ib. ἔδδεισεν] Ἐκ τοῦ δείω, ἢ παρὰ τὸ δέω τὸ φοβοῦμαι πλεονασμῷ τοῦ ι, ὡς πνέω πνείω, δέω δείω, ὁ μέλλων δείσω. ἔστι δὲ καὶ ἄλλως δείδω, οὗ ὁ μέσος παρακείμενος δέδοιδα, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν δύο δδ τρέπεται τὸ ἓν δ εἰς κ, καὶ γίνεται δέδοικα.

δέδοικα μήτι πάθῃσι.

ὁ δὲ ἀόριστος πρῶτος ἔδεισα, καὶ πλεονασμῷ Ἰωνικῷ ἄλλου δ, ἔδδεισα.

34. βῆ] Ἀόριστος β, ἐκ τοῦ βῶ, βῆμι, ὁ μέλλων βήσω, ὁ δεύτερος ἀόριστος ἔβην, καὶ τὸ γ ἔβη, εἶτα βῆ κατὰ συγκοπήν.

Ib. ἀκέων] Παρὰ τὸ ἀκὴν, ἢ παρὰ τὸ ἀχὴν, οἱονεὶ ἡ μὴ χαίνουσα. ἢ παρὰ τὸ ἀγῶ τὸ ἐκπλήττομαι, ἀγὴν καὶ ἀκὴν, καὶ ἀκέων. τοῦτο δὲ ἔχει θηλυκὸν παρεσχηματισμένον ἀκέουσα. ὡς μετοχικὸν δὲ ἔχον χαρακτῆρα λαμβάνεται καὶ ὡς ἐπίρρημα,

ἀλλ' ἀκέων δαίνυσθε.

Ib. θῖνα] Παρὰ τὸ θείνω τὸ τύπτω, ἔστι δὲ θηλυκοῦ γένους. εὑρίσκεται δὲ καὶ ἀρσενικοῦ, οἷον

ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν, καὶ ἐπήνεμον ἀκτήν[e].

σημαίνει δὲ δύο, θείνω τὸ τύπτω καὶ θείνω τὸ φονεύω.

Ib. πολυφλοίσβοιο] Παρὰ τὸ φλοῖσβος. ἔστι δὲ ὄνομα πεποιημένον, ὡς τὸ "λίγξε βιός." οὕτω φλοῖσβος. γέγονε δὲ παρὰ τὸ φλογίζω, φλογίσω, φλογισμὸς, καὶ ἀποβολῇ τοῦ γ, φλοϊσμὸς, καὶ ἐν συναιρέσει φλοῖσμος, καὶ τροπῇ τοῦ μ εἰς β φλοῖσβος, κατὰ ἀντίφρασιν ἡ μὴ φλέγουσα. ἢ ἀπὸ τοῦ φλῶ τὸ ἀναπέμπω, φλέω, φλοῖσβος, ὁ ἀναδιδόμενος ἦχος τῆς θαλάσσης.

35. ἔπειτα] Ἐπίρρημα χρονικὸν, ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ εἶτα.

Ib. ἀπάνευθε] Ἐπίρρημα τοπικὸν ἐκ τῆς ἀνα προθέσεως, ἄνευ, ἄνευθε, καὶ ἀπάνευθε.

[e] ἀκτῖνα Cod.

Ib. *κιὼν*] Ἐκ τοῦ κείω ἔκειον καὶ κίον, καὶ κιὼν ἡ μετοχὴ ἀορίστου δευτέρου.

Ib. *ἠρᾶτο*] Παρατατικὸς παθητικὸς δευτέρας συζυγίας τῶν περισπωμένων, ἐκ τοῦ ἀρῶ, ἀρᾷς, ὁ μέλλων ἀράσω, ἠράμην, ἠρᾶτο.

36. *τὸν*] Ἄρθρον ὑποτακτικὸν, ἰστέον δὲ ὅτι οἱ ποιηταὶ Ἰωνικῷ ἔθει προστακτικὰ λαμβάνουσιν ἀντὶ ὑποτακτικῶν.

Ib. *ἠΰκομος*] Διάλυσις τῆς ευ καὶ τροπὴ τοῦ ε εἰ η. τὸ δὲ κόμη εἴρηται ἀπὸ τοῦ κόσμος, τοῦτο παρὰ τὸ κοσμῶ. ἢ παρὰ τὸ κάζω, κόσμη, καὶ ἀποβολῇ τοῦ σ κόμη· κόσμος γὰρ καὶ εὐπρέπεια τοῦ σώματος ἡ κεφαλή.

37. *κλῦθι*] Ἐνεστὼς καὶ παρατατικὸς δευτέρας συζυγίας τῶν εἰς μι ἐκ τοῦ κλύω, τοῦ σημαίνοντος τὸ ἀκούω, παράγωγον κλῦμι, ὁ δεύτερος ἀόριστος ἔκλυν, τὸ προστακτικὸν κλύ, καὶ ἐπεκτάσει τῆς θι συλλαβῆς κλῦθι. ἢ ἀπὸ τῆς μετοχῆς κλὺς, κλύτος, κλῦθι. ὅμοιον δέ ἐστι καὶ τὸ ζῆθι ἀπὸ τοῦ ζῆμι, ὅ ἐστι ζῶ, ζᾷς, τροπῇ τοῦ α εἰς η. καὶ τὸ στῆθι ἀπὸ τοῦ ἵστημι. ἔστι δὲ τὸ κλῦθι Λαμψακηνόν[f].

Ib. *μεῦ*] Ἐμοῦ διαλύσει Ἰωνικῶς ἐμέο, καὶ κράσει Δωρικῇ ἐμεῦ.

Ib. *ἀργυρότοξε*] Ἐκ τοῦ ἀργὸν ὄνομα, ὃ σημαίνει τὸν καθαρὸν, γέγονε δὲ ἐκ τοῦ ἄργος, ὃ σημαίνει τὸν λαμπρὸν, ὁ λαμπρὸν τόξον ἔχων ἢ λευκὸν, τοῦτο παρὰ τὸ ἀγλαὸς, τοῦτο παρὰ τὸ αἴγλη, αἴγλον, καὶ ἀποβολῇ τοῦ ι ἄγλον, καὶ τροπῇ τοῦ λ εἰς ρ ἀργόν. ὅταν δὲ σημαίνῃ τὸν ταχὺν, ἀπὸ τοῦ ἀρκῶ, ἄρκος, καὶ τροπῇ τοῦ κ εἰς γ, ἀργός. ὁ γὰρ ταχὺς ἐπαρκεῖ ἐν τῷ νικᾶν.

38. *ζαθέην*] Ἐκ τοῦ ζα καὶ τοῦ θεὸς, ζάθεος καὶ ζαθέη, ἡ ἄγαν θεία.

39. *Σμινθεῦ*] Ἐπίθετον Ἀπόλλωνος. καλοῦσι δὲ τοὺς μύας οὕτως οἱ Κρῆται.

Ib. *νηὸς*] Παρὰ τὸ ναίω τὸ οἰκῶ, ναὸς καὶ νηός.

Ib. *ἔρεψα*] Ἐκ τοῦ ἐρέφω, ἐξ οὗ καὶ ἔρεφος, καὶ ὀροφὴ, ὁ ἀόριστος ἤρεψα, καὶ ἐν συστολῇ ἔρεψα.

40. *πίονα*] Παρὰ τὸ πίων πίονος. ὁ κανὼν, τὰ εἰς ων κοινὰ τῷ γένει τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς. ἢ καὶ οὕτως. τὰ

[f] λαψακινὸν Cod.

εἰς ων βαρύτονα, διχρόνῳ ἐκτεταμένῳ παραληγόμενα, τρέπουσι τὸ ω εἰς ο ἐπὶ τῆς γενικῆς, οἷον κίων κίονος, Μαχάων Μαχάονος, πίων πίονος. γέγονε δὲ παρὰ τὸ πίω ῥῆμα, ἐξ οὗ καὶ ὁ δεύτερος ἀόριστος ἔπιον.

Ib. μηρία] Γέγονε μηρὸς ἐκ τοῦ μερίζω, ἔστι δὲ εὐθεῖα τῶν πληθυντικῶν, ἐκ τοῦ μερίζω μερὸς, καὶ μηρὸς, καὶ τὸ ὑποκοριστικὸν μηρίον.

Ib. ἔκηα] Μέσος παρακείμενος. ἔστι καίω, καύσω, ἔκαυσα, ἐκλείψει τοῦ σ, καὶ κατὰ ἀποβολὴν τοῦ υ, καὶ τροπῇ τοῦ α εἰς η, ἔκηα. ἢ παρὰ τὸ καιῶ ὁ μέσος παρακείμενος κέκηα, καὶ ἀποβολῇ τοῦ κ ἔκηα.

41. Ταύρων] Οἱονεὶ τανύουροι παρὰ τὸ τείνειν τὴν οὐράν.

Ib. αἰγῶν] Παρὰ τὸ αἶξ, τοῦτο παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ, ὁ μέλλων ἀΐξω, καὶ ἀποβολῇ τοῦ ω ἀΐξ, καὶ ἐν συναιρέσει[g] αἶξ.

Ib. τόδέ μοι] Ἀρίσταρχος δύο μέρη λόγου λέγει. ὁ δὲ Ἡρωδιανὸς ἕν. ὁ δὲ Ἀρίσταρχος ὀξύνει[h] τὸ δὲ, ὁμοίως καὶ τὸ τὸ, ἵνα ᾖ δύο μέρη λόγου. ἐπείσθη δὲ ἡ παράδοσις Ἀριστάρχου.

Ib. κρήηνον] Κράναι ἐστὶ τὸ ἐπιτελέσαι, παρὰ τὸ τὴν κάραν, ἤτοι τὸ κεφάλαιον ἐπιθεῖναι τῷ πράγματι. ἔστι δὲ τὸ θέμα κραίνω[i] ἀπὸ τοῦ κάρα, ἐν συγκοπῇ κραίνω, κρανῶ. καὶ ὁ ἀόριστος ἔκρανα, Ἰωνικῶς ἔκρηνα, καὶ τὸ προστακτικὸν κρῆνον, καὶ πλεονασμῷ ἑτέρου η, κρήηνον.

Ib. ἐέλδωρ] Ἔστιν ἔλδω τὸ ἐπιθυμῶ, ὅπερ γέγονεν ἀπὸ τοῦ ἕλκω, κατὰ μετάθεσιν τοῦ κ εἰς δ. εἰς ὃ γάρ τις ἐπιθυμεῖ, ἐκεῖ ἕλκεται. ἐκ τούτου γίνεται ἔλδωρ, καὶ πλεονασμῷ ἐέλδωρ ἢ παρὰ τὸ ἕλω τὸ ἑλκύω, ἔλωρ καὶ πλεονασμῷ τοῦ ε καὶ δ.

42. τίσειαν] Ἀορίστου πρώτου εὐκτικοῦ Αἰολικοῦ τρίτου προσώπου. ἐκεῖνοι γὰρ τὸ τύψαιμι, τύψεια λέγουσι. τὸ δεύτερον τύψειας, τὸ γ τύψειε. καὶ τῷ μὲν πρώτῳ χρῶνται οἱ Αἰολεῖς. τὰ δὲ λοιπὰ πρόσωπα ἡ κοινὴ διάλεκτος. ἔστι δὲ τὸ θέμα τίω τὸ τιμωρῶ.

Ib. Δαναοὶ] Δεῖ γινώσκειν ὅτι τὸ Δαναοὺς καὶ Ἀργείους καὶ Ἀχαιοὺς ὁ ποιητὴς τοὺς Ἕλληνας καλεῖ.

Ib. δάκρυα] Παρὰ τὸ δάκνω, δάκνυον, καὶ δάκρυον.

g συνερέσει Cod. h ὀξύνεται Cod. i Leg. κεραίνω.

Ib. σοῖσι] Σοῖς, Ἰωνικῶς σοῖσι.

Ib. βέλεσι] Παρὰ τὸ βάλλω τὸ τιτρώσκω, ἢ παρὰ τὸ βέλλω, ὃ σημαίνει τὸ πεμπωβολῶ, καὶ ἀφαιρέσει τοῦ ἑνὸς λ, βέλος.

43. Φοῖβος] Οἱονεὶ φαόβιος, τουτέστιν ὁ λαμπρὸν βίον ἔχων, ἤγουν τόξον. ἢ ἀπὸ Φοίβης μαμμωνυμικῶς, ὥς φησιν Ἡσίοδος.

44. χωόμενος] Μετοχῆς παθητικῆς παρὰ τὸ χόω ϛʹ συζυγίας, σημαίνει δὲ τὸ λυπῶ καὶ ὀργίζομαι. ὁ ἐνεστὼς χόω, καὶ ἡ μετοχὴ χοώμενος, καὶ ὑπερβιβασμῷ χωόμενος.

Ib. καρήνων] Ἀπὸ τοῦ κάρα, κάρανον καὶ κάρηνον.

Ib. κῆρ] Παρὰ τὸ κέαρ, τοῦτο παρὰ τὸ κέω, κέαρ. ἢ παρὰ τὴν καῦσιν, τὸ γὰρ ἔμφυτον θερμὸν φασὶ τὴν ψυχήν. ἢ παρὰ τὸ κεκρᾶσθαι αὐτὸ ἐκ τῶν στοιχείων, τουτέστιν ἐκ θερμοῦ καὶ ψυχροῦ. ἢ ἀπὸ τοῦ ἔαρ ὅ ἐστι τὸ πνεῦμα. ἢ παρὰ τὸ δίκην κηροῦ ἀπομάττεσθαι τὰ μαθήματα. τὸ δὲ κῆρ σημαίνει δύο. ὀξυνόμενον μὲν τὴν θανατηφόρον μοῖραν, ἀπὸ τοῦ καίω, κέκηα, κήρ. καυστικὸν γὰρ καὶ ἀφανιστικὸν τὸ πῦρ. τὸ δὲ περισπώμενον δηλοῖ τὴν ψυχήν.

45. τόξον] Παρὰ τὸ τάζω ῥῆμα, σημαίνει δὲ τὸ τανύω· ὁ μέλλων τάξω, ἐξ αὐτοῦ τάξον, καὶ τροπῇ τοῦ α εἰς ο τόξον.

Ib. ὦμος] Παρὰ τὸ ὦ τὸ ὑπομένω[k], ὁ ὑπομένων τὰ βάρη καὶ τὰ φορτία. ἢ παρὰ τὸ οἴσω μέλλων, ἐφ' οὗ φέρομεν τὰ φορτία. γέγονε δὲ οἶμος, καὶ τροπῇ τῆς ει διφθόγγου εἰς ω ὦμος. βαρύνεται. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι βαρύνονται, οἷον, ὦρος, ὦμος, ὦχρος. πρόσκειται μονογενῆ διὰ τὸ ὠμὸς ὁ ἀπηνὴς, καὶ ἡ ὠμὴ καὶ τὸ ὠμόν. πρόσκειται ἀπὸ τοῦ ω ἀρχόμενα, διὰ τὸ ζωμός. μὴ προσκειμένου τοῦ ι διὰ τὸ ᾠδὸς ὁ τραγῳδός.

Ib. ἀμφηρεφέα] Παρὰ τὸ ἐρέφω, τὸ σημαῖνον τὸ σκεπάζω, καὶ τὴν ἀμφι πρόθεσιν, ἀμφιερεφὲς, καὶ ἐν συγκοπῇ ἀμφηρεφές.

Ib. φαρέτρην] Παρὰ τὸ φέρειν τὰ τιτρώσκοντα.

46. ἔκλαγξαν] Ῥῆμα πεποιημένον. ἀπὸ τοῦ κλάζω, κλάγξω, ἐξ οὗ καὶ κλαγγή.

Ib. ὀϊστὸς] Παρὰ τὸ οἴσω, οἰστὸς καὶ ὀϊστός.

47. ἤϊε] Ἐκ τοῦ εἴω τοῦ σημαίνοντος τὸ πορεύομαι. ὁ παρακείμενος εἶα, καὶ τὸ τρίτον εἶε, καὶ κατὰ διάλυσιν ἔϊε, καὶ τροπῇ

[k] ὑπάρχω Etym. M. p. 822, 20. et Epim. Hom. Anecd. Oxon. t. I. p. 446, 20.

τοῦ ε εἰς η ἤϊε. δύναται δὲ εἶναι καὶ παρατατικὸς, ἐκ τοῦ εἴω τοῦ σημαίνοντος τὸ πορεύομαι, ὥσπερ παρὰ Σώφρονι

κίγκρα[1] ὡς εἴω.

τουτέστι κερὰς, ἵνα πορευθῶ.

Ib. ἐοικὼς] Εἴκω τὸ ὁμοιῶ, ὁ μέσος παρακείμενος οἶκα, καὶ πλεονασμῷ τοῦ ε ἔοικα, καὶ ἡ μετοχὴ ἐοικώς. γίνεται δὲ ἀπὸ τοῦ εἴδω, τοῦ σημαίνοντος τὸ γινώσκω καὶ τὸ ὁμοιῶ, ὁ παρακείμενος οἶκα, ὁ μέσος παρακείμενος οἶδα, σημαίνει δὲ τὸ γινώσκω. τὸ δὲ ὁμοιῶ ἵνα μὴ συνεμπέσῃ τῷ οἶδα, ἐγένετο οἶκα καὶ ἔοικα καὶ ἐοικώς.

48. ἰὸν] Ἐκλήθη δὲ ἰὸς παρὰ τὸ βλαπτικὸς εἶναι, ὥσπερ γὰρ ὁ ἰὸς φάρμακον ἐστὶ τοῦ σιδήρου, οὕτω καὶ οὗτος τοῦ σώματος. γέγονε δὲ παρὰ τὸ ἵημι τὸ σημαῖνον τὸ πέμπω. ἢ παρὰ τὸ ἰὸν τὸ δηλοῦν τὸ φάρμακον τοῦ ὄφεως. καὶ γὰρ ἔχριον αὐτὸ ἀπὸ τοῦ ἰοῦ τοῦ ὄφεως, ἵνα τιτρωσκόμενός τις εὐθέως ἀναιρεθῇ.

49. δεινὴ] Παρὰ τὸ δέος, ὃ σημαίνει τὸν φόβον, δέϊνος, καὶ κράσει τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, δεινός.

Ib. κλαγγὴ] Παρὰ τὸ κλάζω πεποίηται ἡ φωνή.

Ib. γένετο] Παρὰ τὸ γενῶ, ἐξ οὗ γίνεται γίγνομαι.

Ib. ἀργυρέοιο] Παρὰ τὸ ἀργύρεος, ἀργυρέου, τοῦτο παρὰ τὸ ἄργυρος, τοῦτο παρὰ τὸ ἀργὸς, ὃ σημαίνει τὸν λευκόν.

Ib. βιοῖο] Τῆς τοῦ τόξου νευρᾶς προπερισπωμένως ἀναγνωστέον, ἀπὸ εὐθείας τῆς βιὸς ὀξυτόνως, διὰ τὴν πρὸς τὸν βίον διαστολήν. ἔοικε δὲ ὑπὸ τῶν ἀρχαίων ὁμωνύμως λέγεσθαι βιὸς τὸ τόξον καὶ ἡ ζωή. Ἡράκλειτος δὲ ὁ σκοτεινὸς λέγει. "τὸ οὖν τόξον "ὄνομα μὲν βιὸς, ἔργα δὲ θάνατος." γέγονε δὲ βιὸς παρὰ τὴν αἰτίαν τῆς τάσεως. ἢ ὅτι δι' αὐτοῦ τὰ πρὸς βίον εἶχον οἱ ἀρχαῖοι, ἐν ταῖς θήραις αὐτῷ χρώμενοι.

50. οὐρῆας] Λέγει δὲ τοὺς ἡμιόνους, παρὰ τὸ ὄρος ὀρεὺς, λέγεται γὰρ ἐν ὄρεσι μᾶλλον δύνασθαι ἐργάζεσθαι, καὶ κατὰ πλεονασμὸν τοῦ υ, οὐρεὺς, καὶ ἡ γενικὴ οὐρῆος, καὶ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν οὐρῆας.

Ib. ᾤχετο] Παρὰ τὸ οἴχω, ὁ παθητικὸς ἐνεστὼς οἴχομαι, καὶ ὁ παρατατικὸς ᾠχόμην, καὶ τὰ λοιπὰ δῆλα.

Ib. ἀργοὺς] Τρία σημαίνει ἡ λέξις, τόν τε ἐν τῇ συνηθείᾳ

[1] Leg. ἐγκίκρα. Cf. Etym. M. p. 423, 23.

ἀργὸν λεγόμενον, καὶ κατὰ ἀντίφρασιν, καὶ τὸν ταχὺν, καὶ τὸν λευκόν.

51. αὐτὰρ] Δεῖ δὲ γινώσκειν ὅτι ὁ αὐτὰρ διαφέρει τοῦ δὲ, ὅτι ὁ μὲν αὐτὰρ προτάσσεται, ὁ δὲ δὲ ὑποτάσσεται.

Ib. ἐχεπευκὲς] Πικρὸν, μεταφορικὴ ἡ λέξις ἀπὸ τῆς πεύκης, καὶ γὰρ ἡ πεύκη κοπεῖσα, οὐκ ἀνίησι κλάδον. καὶ τὸ δάκρυον αὐτῆς ἐστι πικρὸν ἡ πίσσα.

Ib. ἐφιεὶς] Μετοχῆς χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ. γίνεται ἀπὸ τοῦ ἵημι, ἱεὶς, ἱέντος, καὶ ἐν συνθέσει, ἀφιεὶς καὶ ἐφιείς.

52. βάλλε] Παρατατικὸς ἐκ τοῦ βάλλω.

Ib. αἰεὶ] Διὰ τῆς ει διφθόγγου γράφεται. εἴρηται καὶ χωρὶς τοῦ ι, οἷον ἀεί. πάντα δὲ τὰ ἀπὸ τοῦ ἀεὶ συντιθέμενα διὰ τῆς ει διφθόγγου γράφονται, οἷον ἀείμνηστος, ἀειγενετης (sic) ἀείφρουρος, ἀειπάρθενος, ἀειφανὴς, πλὴν τοῦ ἀΐδιος. δεῖ γινώσκειν ὅτι δωδεκάφωνον ἐστὶ τὸ ἀεί. ἔστι γὰρ αἰεὶ, καὶ αἰεὶν, καὶ αἰὲν, καὶ αἰὲς ποιητικῶς, καὶ ἀεὶ διὰ τῆς ει διφθόγγου, καὶ συστολῇ τοῦ α, καὶ ἀεὶ ἐκτάσει τοῦ α, ὥσπερ παρ' Εὐριπίδῃ

τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι.

καὶ αἰῒ διὰ τοῦ ι παρὰ τοῖς Αἰολεῦσι, καὶ αἰεὶν σύντονα παρ' αὐτοῖς. ὁμοίως δὲ παρ' αὐτοῖς καὶ ἄει βαρύτονον διὰ τοῦ ι, καὶ συστολῇ τῆς ἀρχούσης, ἐξ οὗ καὶ τὸ ἀΐδιον ι γράφεται, καὶ σημαίνει τὸ ἀεὶ ὄν. δεῖ δὲ γινώσκειν ὅτι καὶ τὸ ἀειπάρθενος διὰ τῆς ει διφθόγγου γράφεται κοινῶς, Αἰολικῶς δὲ διὰ τοῦ ι. ἔστι δὲ καὶ ἥϊον παρὰ τοῖς Βοιωτοῖς διὰ τοῦ η καὶ ι, καὶ αἰὴ παρὰ τοῖς Ταραντινοῖς[g], διὰ τῆς αι διφθόγγου καὶ τοῦ η. οἱ δὲ Ταραντινοὶ[h] ἄποικοι εἰσὶ τῶν Δωριέων. ἔστι δὲ καὶ αἰὲς παρὰ τοῖς Δωριεῦσι. καὶ ταῦτα δώδεκα φωνὰς λέγουσιν εἶναι. ἔστι δὲ καὶ ἀὲ παρὰ Πεισάνδρῳ Καμιρεῖ[i].

Ib. πυραὶ] Αἱ πυρκαϊαὶ, τῶν γὰρ παλαιῶν τὰ σώματα τῶν θνησκόντων πρότερον ἐκαίοντο, διὰ τὸ ἀπέριττα γίνεσθαι, καὶ εἶθ' οὕτως τὴν τέφραν σὺν τοῖς ὀστέοις ὑπὸ γῆν ἔθαπτον. γέγονε δὲ πυρκαϊὰ παρὰ τὸ πῦρ, τοῦτο παρὰ τὸ φύρω, ἢ φύω.

Ib. νεκύων] Παρὰ τὸ κίκυς, τὸ δηλοῦν τὴν ἰσχὺν, καὶ τὸ

[g] παραντινοῖς Cod. [h] παραντινοὶ Cod. [i] καὶ μηρεῖ Cod. Cf. Schæfer. ad Greg. Cor. p. 346.

στερητικὸν νε, νέκικυς ὁ ἐστερημένος τῆς ἰσχύος, καὶ κατὰ συγκοπὴν νέκυς. νεκρός. νεκρὸς δὲ παρὰ τὸ νη στερητικὸν καὶ τὸ κῆρ, ὃ δηλοῖ τὴν ψυχὴν, γέγονε νήκηρος, τουτέστιν ὁ ἐστερημένος τῆς ψυχῆς, καὶ κατὰ συγκοπὴν καὶ συστολῇ τοῦ η εἰς ε νεκρός. καὶ ὥσπερ ἵππος Ἵππυς, κότος Κότυς, οὕτως οὖν καὶ νεκρὸς νέκρυς, καὶ κατὰ ἀποβολὴν τοῦ ρ νέκυς.

Ib. καίοντο] Ἐκ τοῦ καίω, τοῦτο ἐκ τοῦ κῶ τὸ καίω.

Ib. θαμιαὶ] Παρὰ τὸ θαμὰ ἐπίρρημα, σημαίνει δὲ τὸ συνεχὲς καὶ πυκνόν. γίνεται οὖν θαμὸς, θαμειὸς, καὶ θαμειαί. τὸ δὲ θαμὰ ἐκ τοῦ ἅμα, καὶ πλεονασμῷ τοῦ θ θαμὰ, καὶ σεσημείωται κατὰ τὸν τόνον. οὕτως ὁ Ὠρίων. ὁ δὲ[k] Χάραξ μᾶλλον τὸ ἅμα ἐκ τοῦ θαμὰ παράγει, ἀποβολῇ τοῦ θ, καὶ βαρύνεται. τὸ δὲ θαμὰ ἐκ τοῦ θαμὸς, θαμὸν, καὶ θαμὰ ἐπίρρημα. γράφεται δὲ διὰ τῆς ει διφθόγγου, ὥσπερ ἀπὸ τοῦ ἀδελφὸς, ἀδελφειὸς κατὰ πλεονασμὸν τῆς ει διφθόγγου, καὶ ἀπὸ τοῦ φατὸς, φατειὸς, σημαίνει δὲ τὸν ὀνομαζόμενον, καὶ ἀπὸ τοῦ ἀρνὸς, ἀρνειὸς, οὕτω καὶ τοῦτο, καθὼς προέφημεν, ἀπὸ τοῦ θαμός. σημαίνει δὲ τὸν συνεχῆ, καὶ τὸ θηλυκὸν θαμειὰ γράφεται διὰ τῆς ει διφθόγγου, διὰ τὸν κανόνα τοῦτον. τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος γινόμενα, ἡνίκα προπαροξύνωνται, διὰ τοῦ ι γράφονται, οἷον ὀρθὸς ὄρθιος, λοίσθος[l] λοίσθιος[m], πτολίπορθος πτολιπόρθιος, κάπρος κάπριος, Αἰτωλὸς Αἰτώλιος, αἰζηὸς αἰζήϊος, ὅμοιος ὁμοιήϊος[n], γέλοιος[o] γελοίϊος. ἡνίκα δὲ ὀξύνονται, διὰ τῆς ει διφθόγγου γράφονται, ἀδελφειὸς, θαμειός.

53. ἐννῆμαρ] Λοιμὸς, φησὶν, ἐπὶ ἐννέα ἡμέρας κατασχὼν τὸν στρατὸν τῶν Ἑλλήνων. δεῖ δὲ γινώσκειν ὅτι ὁ ποιητὴς διαφόρως λέγει τὸν ἐννέα ἀριθμόν. φησὶ γὰρ,

εἶδ' ἐννέα πάντες ἀνέσταν.

καὶ

ἐννέα δέ σφεας κήρυκες βοῶντες.

ἢ ὅτι περὶ φθορᾶς ἀνθρώπων διαλύεται. ὁ δὲ τῶν ἐννέα ἀριθμὸς τοῖς καταχθονίοις[p]. δεῖ δὲ γινώσκειν ὅτι οὐδὲν τῶν εἰς αρ συντιθεμένων διὰ τοῦ ι γράφεται, οἷον ἐξῆμαρ, αὐτῆμαρ. τὸ δὲ ἀεὶ μετὰ ἀκλίτου τάττεται. ἐννῆμαρ. ἐχρῆν δὲ αὐτὸ προπαροξύνεσθαι ὡς

[k] ὡσεὶ Cod. [l] λύσθος Cod. [m] λύσθιος Cod. [n] Leg. ὁμοίϊος. [o] λέλοιος, λελοιΐος Cod. [p] Deest aliquid ἱερός ἐστι aut simile quid.

παρ' οὐδετέρου συγκείμενον, ἐπειδὴ ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ σύνθεσις. τὰ γὰρ ἀπὸ τοῦ ἦμαρ συντιθέμενα ἐπιρρήματα προπερισπῶνται, οἷον ἐξῆμαρ, αὐτῆμαρ, ἐννῆμαρ, οὐδὲν γὰρ εἰς αρ συντίθεται οὐδέτερον.

Ib. κῆλα] Σημαίνει τὰ βέλη τὰ αἴτια τῆς καύσεως. ὅθεν καὶ ὁ προφήτης τὰ βέλη αὐτοῦ τοῖς καιομένοις, τουτέστι τοῖς ἁμαρτωλοῖς καὶ ἀσεβέσι. παρὰ τὸ κήω, κήσω, κῆλον· καὶ δῆλον.

54. τῇ δεκάτῃ] Δεχάς τις οὖσα παρὰ τὸ δέχω, ἡ ἔχουσα ἐν ἑαυτῇ τοὺς ἀριθμούς.

Ib. ἀγορὴ] Παρὰ τὸ ἀγείρω τὸ συναθροίζω, ὅπερ παρὰ τὸ ἄγω γέγονεν ἀγείρω, κατὰ συγκοπὴν ἀγρῶ, καὶ

ἀγρομένοισιν ἔμιχθεν.

ἐκ τοῦ ἀγορὴ ἀγορῶ, δευτέρας συζυγίας, ἐξ οὗ τὸ ἀγοράασθαι. ἐκ δὲ τοῦ ἀγορῶ ἀγοράζω τὸ εἰς ἀγορὰν ἐμβάλλω.

55. φρὴν] Παρὰ τὸ φρῶ ῥῆμα, κατὰ συγκοπὴν γινόμενον ἐκ τοῦ προϊῶ τοῦ σημαίνοντος τὸ πέμπω, γίνεται πρῶ [q], καὶ κατὰ μετάθεσιν τοῦ π εἰς φ φρῶ, καὶ ἐντεῦθεν φρήν. ἐφ' ἧς προΐεται τὰ βουλεύματα.

Ib. λευκώλενος] Παρὰ τὸ λεύσω τὸ βλέπω, ὡς ἐκ τοῦ ἐναντίου τὸ μέλαν, τὸ δὲ μέλαν τὸ μὴ βλεπόμενον, παρὰ τὸ λάω τὸ βλέπω καὶ τοῦ μη γίνεται μῆλαν, καὶ τροπῇ τοῦ η εἰς ε μέλαν. ὠλέναι δὲ παρὰ τὸ δι' αὐτῶν ὁλοῦσθαι τὰς πράξεις, τουτέστι πληροῦσθαι.

Ib. Ἥρα] Παρὰ τὸ ἀὴρ, τὴν αὐτὴν γὰρ λέγομεν ἀέρα.

56. κήδετο] Παρὰ τὸ κήδω, ὃ σημαίνει τὸ φροντίζω.

Ib. θνήσκοντας] Παρὰ τὸ θνήσκω, τοῦτο παρὰ τὸ θνῶ, θνήσῳ θνήσκω. ἔχει δὲ καὶ τὸ ι κατὰ παράδοσιν προσγεγραμμένον ἀλόγως.

Ib. ὁρᾶτο] Παθητικοῦ παρατατικοῦ τρίτου προσώπου κατὰ συστολήν. τὸ θέμα ὁρῶ, τὸ βλέπω, ἐξ οὗ καὶ ὅρασις.

57. ἤγερθεν] Ἀορίστου πρώτου παθητικοῦ τρίτου προσώπου. παρὰ τὸ ἀγείρω ὁ μέλλων ἀγερῶ, ὁ παρακείμενος ἤγερκα, ἤγερμαι, ἠγέρθην, καὶ τὸ τρίτον τῶν πληθυντικῶν, Αἰολικῶς ἢ Δωρικῶς ἤγερθεν· ἔθος γὰρ ἔχουσιν οἱ Αἰολεῖς καὶ Δωριεῖς τὰ ἔχοντα ῥήματα τὴν μετοχὴν εἰς σ...... σχηματίζειν τὰ τρίτα τῶν πλη-

[q] προ Cod.

θυντικῶν ἐνδεῖ συλλαβῆς τοῦ πρώτου φυλάττοντα τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς, ἐγερθέντος ἤγερθεν, ὥσπερ κοσμηθέντος κόσμηθεν, καὶ διέτμαγεν, καὶ ἐρήτυθεν, καὶ τὰ ὅμοια.

Ib. ὁμηγερέες] Ἐπίρρημα ἀθροίσεως, γέγονε δὲ παρὰ τὸ ὁμοῦ καὶ τὸ ἀγείρω, τὸ συναθροίζω. περὶ δὲ τοῦ φρὴν φρενὸς, ἰστέον ὅτι τὰ εἰς ην λήγοντα ὀξύτονα μονοσύλλαβα, μόνως ἀρσενικὰ καὶ μὴ μόνως θηλυκὰ, προσθέσει τοῦ ος κλίνεται, καὶ φυλάττουσι τὸ η ἐν τῇ γενικῇ, οἷον σπλὴν σπληνὸς, σφὴν σφηνὸς, μὴν μηνὸς, χὴν χηνός· ὁ γὰρ ποιητὴς εἰπὼν

ἀργὴν χῆνα ἦρεν αἰετὸς

θηλυκὸν εἰπὼν ποιητικῇ ἐξουσίᾳ ἐχρήσατο, Ζὴν, Ζηνός· τὸ δὲ φρὴν, φρενὸς, ἐπειδὴ θηλυκοῦ μόνου γένους ἐστὶ, τρέπει τὸ η εἰς ε ἐν τῇ γενικῇ· τῷ αὐτῷ λόγῳ καὶ ἐπὶ τῶν εἰς ων μονοσυλλάβων, οἷον ὁ κλὼν, τοῦ κλωνός· τὰ εἰς ων λήγοντα ὀξύτονα μονοσύλλαβα μόνως ἀρσενικὰ, καὶ μὴ μόνως θηλυκὰ, προσθέσει τοῦ ος κλίνονται, καὶ φυλάττουσι τὸ ω ἐπὶ τῆς γενικῆς, οἷον πρὼν, πρωνὸς, σημαίνει δὲ τὸ πριόνιον, καὶ κλὼν, κλωνός· τὸ δὲ χθὼν χθονὸς, ἐπειδὴ μόνου θηλυκοῦ γένους ἐστὶν, ἔτρεψε τὸ ω εἰς ο ἐν τῇ γενικῇ, οἷον ἡ χθὼν, τῆς χθονός.

58. ἀνιστάμενος] Δεῖ γινώσκειν ὅτι τὸ παλαιὸν κἂν βασιλεὺς ἦν, κἂν ἄλλος τις οἱασδήποτε τύχης λαμπρᾶς, καὶ ἐδημηγόρει, ὀρθὸς ἵστατο.

Ib. ἔφη] Παρὰ τὸ φημὶ, ἔφην, ἔφης, ἔφη. καὶ φῇ, καὶ τὸ πρωτότυπον αὐτοῦ.

Ib. πόδας] Παρὰ τὸ παύω, παύσω, ἢ παρὰ τὸ πορὸς ὀξύτονον.

Ib. ὠκύς] Παρὰ τὸ ἀκὺς, καὶ τροπῇ τοῦ α εἰς ω, ὠκύς· τὸ δὲ ἀκὺς παρὰ τὸ εἴκω τὸ ὑποχωρῶ.

Ib. Ἀχιλλεύς] Παρὰ τὸ ἄχος, ὅ ἐστι λύπην ἐπενεγκεῖν τοῖς Ἰλιεῦσιν· οἱ δὲ παρὰ τὸ μὴ θίγειν, τουτέστι προσψαύειν χείλεσι θηλῆς, ὅλως γὰρ οὐ μετέσχε γάλακτος, ἀλλ' ὑπὸ μυελοῦ ἐτράφη.

59. παλιμπλαγχθέντα] Δεῖ γινώσκειν ὅτι οὐκ ἐξ ἐπιρρήματος ἡ σύνθεσις τῆς μετοχῆς, ἀλλὰ συντεθειμένη διὰ τὸ "ἂψ ἀπονοστήσειν." τὸ δὲ παλιμπλαχθέντας ἔστι μετοχὴ ἀορίστου πρώτου παθητικοῦ. ἔστι τὸ θέμα αὐτοῦ πελάζω, ὃ δηλοῖ τὸ πλανῶ

καὶ ἀπατῶ, καὶ κατὰ συγκοπὴν πλάζω, ὁ μέλλων πλάξω, καὶ ἡ μετοχὴ τοῦ ἀορίστου πρώτου πλαχθεὶς καὶ κατὰ πλεονασμὸν τοῦ γ πλαγχθείς.

Ib. νοστήσειν] Μέλλοντος πρώτου ἀπαρεμφάτου πρώτης συζυγίας τῶν περισπωμένων· γέγονε δὲ ἀπὸ τοῦ νόστου, τοῦ σημαίνοντος τὴν ἀνακομιδήν· ἡ μεταφορὰ ἀπὸ τῶν ἐδεσμάτων, ὡς ἔφη Ὅμηρος,

οὐδὲν γλυκεῖον πατρίδος οὐ δὲ τοκήων.

61. δαμᾶ] Ἐνεστῶτος χρόνου τρίτου προσώπου β συζυγίας τῶν περισπωμένων, γέγονε δὲ παρὰ τὸ δέμω, τὸ σημαῖνον τὸ δαμάζω καὶ καταπονῶ, ὁ ἀόριστος δεύτερος ἔδαμον, καὶ ὁ δεύτερος μέλλων δαμῶ, καὶ μετάγεται εἰς ἐνεστῶτα, καὶ γίνεται δαμῶ, δαμᾷς.

Ib. λοιμὸς] Παρὰ τὸ λείπω ῥῆμα, ὁ μέσος παρακείμενος λέλοιπα, καὶ ἐξ αὐτοῦ λοιπὸς, καὶ τροπή τοῦ π εἰς μ λοιμός.

62. μάντιν] Ἔστιν τι ἡ μαντικὴ διαιρουμένη εἰς εἴδη τρία, εἰς οἰωνοσκοπίαν, ἀεροσκοπίαν, καὶ ἡ διὰ τῶν ὀνειράτων. γέγονε δὲ μάντις παρὰ τὸ ματῶ ῥῆμα, ὃ σημαίνει τὸ ζητῶ, ζητητικὸς γὰρ ὁ μάντις τοῦ μέλλοντος, καὶ οὐκ ἔστι παρὰ τὴν μανίαν, ὥς τινες ὑπέλαβον, διὸ καὶ Ὅμηρος εὔφρονα λέγει, τουτέστι φρόνιμον.

63. ὀνειροπόλον] Παρὰ τὸ ἀναπολεῖν, ὅ ἐστιν ἀναστρέφεσθαι ἐν τοῖς ὀνείροις.

64. ἐχώσατο] Μέσου ἀορίστου πρώτου, γέγονε δὲ παρὰ τὸ χέω ῥῆμα, τοῦτο γίνεται κατὰ κρᾶσιν χῶ, τρίτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων χώσω, ὁ ἀόριστος πρῶτος ἔχωσα ἐχωσάμην, ἐχώσω, ἐχώσατο.

65. εὐχωλῆς] Παρὰ τὸ εὔχω κατ' ἐπέκτασιν τῆς λη εὐχωλή· τὸ χῶ μέγα, διατί; ὥσπερ παρὰ τὸ παύω, παυσωλὴ, καὶ θάλπω, θαλπωρὴ, καὶ ἀλέω, ἀλεωρὴ, οὕτως καὶ εὔχω, εὐχωλή. ὁ κανών· τὰ γὰρ ἀπὸ ἐνεστώτων ἢ μελλόντων κατὰ πρόσθεσιν συλλαβῆς γινόμενα ὀνόματα διὰ τοῦ ω μεγάλου γράφονται.

66. ἀρνῶν] Γέγονεν ἀρνὸς παρὰ τὸ ἀρὰ, ὃ σημαίνει τὴν εὐχήν. ἐκ τούτου γίνεται ἄρην, ἄρηνος, τουτέστι τὸ ἐπὶ εὐχῇ προσφερόμενον πρόβατον· αὕτη ἡ γενικὴ συγκοπὴν συμπάσχει, καὶ γίνεται ἀρνός, καὶ μετάγεται εἰς εὐθεῖαν, οἷον ὁ ἀρνὸς τοῦ ἀρνοῦ, ἢ ἀπὸ

τοῦ ῥὴν, ῥηνὸς, ἐξ οὗ τὸ "πολύρρηνες, πολυβοῦται" γίνεται· κατὰ τροπὴν τοῦ η εἰς α ῥανὸς, καὶ κατὰ ὑπερβιβασμὸν ἀρνὸς, καὶ μετάγεται αὕτη ἡ γενικὴ εἰς εὐθεῖαν.

66. τελείων] Ἤτοι τῶν ὁλοκλήρων, λελωβημένον γὰρ οὐ θύεται, ἀλλ' ὑγιῆ, ἢ τῶν τελείων θυσιῶν. παρὰ τὸ τέλειος· τὸ λει δίφθογγος· τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων διὰ τοῦ ειος γινόμενα ὀνόματα, μὴ παραληγόμενα τῷ α, διὰ τῆς ει διφθόγγου γράφονται, οἷον, ἕλος ἕλειος· ὄνειδος, ὀνείδειος, καὶ "ὀνειδείοις ἐπέεσσι," καὶ,

ὀνείδειον φᾶτο μῦθον,

ἄφενος, ἀφένειος, καὶ κατὰ συγκοπὴν ἀφνειὸς, οὕτως οὖν καὶ τέλος, τέλειος· χωρὶς τοῦ τέμενος, τεμένιος. τοῦτο γὰρ διὰ τοῦ ι γράφεται, ἵνα μὴ εὑρεθῇ τὸ ε ἀλλεπάλληλον ἐν τρισὶ συλλαβαῖς· πρόσκειται παραληγόμενα τῷ α, ἐπειδὴ ἐκεῖνα διὰ τοῦ ι γράφονται, οἷον ἄγος, ἅγιος· θάλπος, θάλπιος· πέλαγος, πελάγιος.

69. ὄχ' ἄριστος] Τὸ ὄχ' σημαίνει τὸν ἄριστον καὶ ἔξοχον. γέγονε δὲ παρὰ τὸ ἐξέχω, ἔξοχος, καὶ οὐδετέρως ἔξοχον, καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἔξοχα, καὶ ἀφαιρέσει τῆς ἐξ προθέσεως ὄχα, ὅθεν καὶ ὄχ' ἄριστος.

70. ᾔδη] Μέσος ὑπερσυντελικός· ἔστι γὰρ τὸ θέμα αὐτοῦ εἴδω ὁ μέσος παρακείμενος εἶδα ἀτρέπτως, καὶ ὁ μέσος ὑπερσυντελικὸς εἴδειν, καὶ ἐκτάσει Ἀττικῶς τοῦ ο εἰς η ᾔδειν προσγραφομένου καὶ τοῦ ι· καὶ ἐπειδὴ οἱ Ἴωνες διαλύουσι τὴν ει δίφθογγον εἰς ε καὶ α, οἷον

εἰ τότε κοῦρος ἔα

συνήθως καθότι καὶ τὸ ᾔδειν, ᾔδεα· καὶ κράσει τοῦ ε καὶ α εἰς η ᾔδη, καὶ τὸ ἑστήκειν, ἑστήκεα· ἔστι δὲ τελείου μάντεως τὸ ἐπίστασθαι ἀκριβῶς τοὺς τρεῖς χρόνους.

71. ἡγήσατο] Μέσου ἀορίστου πρώτου, πρώτης συζυγίας τῶν περισπωμένων. ἔστι δὲ ὁμώνυμος ἡ λέξις. ὅταν γὰρ δηλοῖ τὸ προηγεῖσθαι ὁδοῦ, δοτικῇ συντάσσεται, ὅταν δὲ τὸ ἄρχειν, γενικῇ.

74. κέλεαι] χρόνου ἐνεστῶτος παθητικοῦ δευτέρου προσώπου Ἰωνικοῦ· ἔστι τὸ θέμα κελεύω, καὶ κατὰ συγκοπὴν κέλω· καὶ σημαίνει τὸ κελεύω· κέλομαι, τὸ β κέλῃ, καὶ Ἰωνικῶς κέλεαι.

76. σύνθεο] Προστακτικὸν μέσου ἀορίστου δευτέρου, ἐθέμην, ἔθου, καὶ θοῦ τὸ προστακτικὸν, καὶ κατὰ διάλυσιν θέο, καὶ ἐν συνθέσει σύνθεο.

77. ἀρήξειν] Μέλλων ἀπαρεμφάτου. τὸ θέμα ἀρήγω, ἐντεῦθεν γέγονεν ἀρωγὸς, οἷον ἀρήγω, ἀρηγὸς, καὶ ἀρωγός· ὁ μέλλων ἀρήξω.

78. ὀΐομαι] Ἔστιν οἴω τὸ ὑπολαμβάνω καὶ νοῶ, τοῦτο γίνεται κατὰ διάλυσιν ὀΐω, καὶ ὁ παθητικὸς ὀΐομαι.

Ib. χωλωσέμεν] Μέλλων ἀπαρεμφάτου Δωρικῶς. ἐκεῖνοι γὰρ τὰ εἰς ειν ἀπαρέμφατα εἰς εμεν μεταβάλλουσι, τὸ τύψειν, τύψεμεν λέγουσι· οἱ δὲ Αἰολεῖς εἰς εμεναι, οἷον

εἰωθότες ἔδμεναι ἄδην.

γέγονε δὲ παρὰ τὸ χῶλος ὅπερ παρὰ τὸ χῶ.

79. Ἀργείων] Δεῖ γινώσκειν ὅτι τὸ Ἀργεῖος διὰ τῆς ει διφθόγγου γράφεται, καὶ προπερισπᾶται. καὶ γὰρ τὰ διὰ τοῦ ειος τρισύλλαβα πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' οὗ ἐστὶ δύο σύμφωνα, ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφονται, χωρὶς τοῦ ἀντίος, οἷον ἀνδρεῖος, ἀστεῖος, βακχεῖος, ἀγρεῖος ὁ ἄγροικος, οὕτως οὖν καὶ Ἀργεῖος· τοῦτο δὲ οἱ Ἀθηναῖοι προπαροξύνουσι· τὸ Ἄρνειος, ἔστι δὲ ὄνομα μηνὸς παρὰ Λακεδαιμονίοις. ἰστέον δὲ ὅτι τὸ ἀγρεῖος ἐπὶ μὲν τοῦ ἀγροίκου διὰ τῆς ει διφθόγγου γράφεται, ἐπὶ δὲ τοῦ ἀνημέρου, ἄγριος λέγεται προπαροξυτόνως, καὶ διὰ τοῦ ι γράφεται, ὁμοίως καὶ ἐπὶ τοῦ κυρίου ὀνόματος,

Ἄγριος ἠδὲ Μέλας.

80. κρείσσων] Παρὰ τὸ κρατὺς γέγονεν, ὅπερ παρὰ τὸ κράτος, κράσσον τὸ συγκριτικὸν, καὶ τροπῇ τοῦ α εἰς ε κρέσσον, καὶ πλεονασμῷ τοῦ ι κρείσσων· οὐδέποτε γὰρ πρὸ τῶν δύο σσ ἢ δύο συμφώνων τῶν αὐτῶν εὑρίσκεται δίφθογγος, πλὴν τοῦ κρείσσων καὶ τὰ ἐξ αὐτῶν, οἷον κρεισσῶ.

Ib. χέρηϊ] Ὀνόματος συγκριτικοῦ πτώσεως δοτικῆς. γέγονε δὲ οὕτως· χερείων, χερείονος, ἡ δοτικὴ χερείονι, καὶ κατὰ συγκοπὴν τοῦ ον χέρηϊ, καὶ διὰ τὸ ἐπάλληλον τῶν δύο ιι γίνεται τροπῇ τῆς ει διφθόγγου εἰς η, καὶ ποιεῖ τὸ χέρηϊ, καὶ ἀναβιβάζει τὸν τόνον· σημαίνει δὲ τὸ ἐλάττονι.

81. πέψῃ] Σημαίνει τὸ κατάσχῃ καὶ καταδαπανήσει, καὶ

ἔστι μέσου μέλλοντος πρώτου δευτέρου προσώπου. τὸ θέμα αὐτοῦ πέπτω, καὶ ὁ μέλλων πέψω, καὶ τὰ λοιπὰ δῆλα· καὶ ἔστιν ἑτερόκλιτον.

82. ὄπισθεν] Ἐκ τοῦ ὀπίσωθεν, καὶ κατὰ συγκοπὴν τοῦ ω ὄπισθεν.

85. θαρσήσας] Παρὰ τὸ θάρσος ἔστι ψυχικὸν τὸ πάθος.

Ib. εἰπέ] Τρία ῥήματα εἰσὶν ὀξυνόμενα ἐν προστακτικοῖς εἰς τὸν δεύτερον ἀόριστον, τὸ εἰπὲ τὸ ἐλθὲ, καὶ τὸ εὑρέ· περὶ τούτων λέγει ὁ Ἡρωδιανὸς, ὅτι ταῦτα ὡς μακροπαράληκτα ταύτης ἔτυχε τῆς τάσεως· τὰ γὰρ βραχείᾳ παραληγόμενα, διὰ βαρείας τάσεως ἐκφέρεται· Ἀττικὸν δέ ἐστι τὸ ἰδὲ καὶ τὸ λαβέ.

Ib. θεοπρόπιον] Ὄνομα οὐδέτερον, σημαίνει δὲ τὸ ἐκ θεοῦ μάντευμα, ἢ τὸ θεοῖς πρέπον, οὗτοι γὰρ ὡς πάντα ἐπιστάμενοι λέγουσι τὰ τοῖς ἀνθρώποις ἠγνοημένα. θεοπρόπιον τὸ ἐκ θεοῦ λεγόμενον.

Ib. οἶσθα] Ἔστιν ἐνεστῶτος χρόνου τῶν εἰς μι δευτέρου προσώπου. ἔστι ῥῆμα εἰδῶ, καὶ σημαίνει τὸ ἐπίσταμαι καὶ γινώσκω, οὗ ὁ μέλλων εἰδήσω, ἐξ οὗ καὶ τὸ

Ἥρη μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν.

καὶ τὸ παράγωγον εἴδημι, τὸ δεύτερον εἴδης, καὶ κατὰ πλεονασμὸν τῆς θα συλλαβῆς οἴδησθα, καὶ ἐν συγκοπῇ, καὶ κατὰ τροπὴν Αἰολέων τοῦ ε εἰς οι, οἶσθα.

88. χθὼν] Παρὰ τὸ χῶ ῥῆμα τὸ χωρῶ, ἐγένετο χὼν, καὶ κατὰ πλεονασμὸν τοῦ θ, ἡ πάντας λαμβάνουσα καὶ ὑποδεχομένη, καὶ κλίνεται μόνως θηλυκῶς, καὶ γράφεται ἐπὶ τῆς γενικῆς διὰ τοῦ ο μικροῦ.

89. βαρείας] Ὑβριστικὰς, φονικὰς, βεβαρημένας χεῖρας· χεὶρ, παρὰ τὸ ἔχειν, χεὶν, καὶ τροπῇ τοῦ ν εἰς ρ χείρ.

91. ἄριστος] Παρὰ τὸ ἀρείων συγκριτικὸν γίνεται τὸ ὑπερθετικὸν ἄριστος διὰ τοῦ ι. τὰ γὰρ εἰς τος λήγοντα ὀνόματα ἁπλᾶ ἢ σύνθετα, διὰ μόνου τοῦ ι γράφονται, οἷον χριστὸς, ἄχριστος· πιστὸς, δύσπιστος.

Ib. εἶναι] Ἰστέον ὅτι τὸ εἶναι ἐνεστὼς ἐστι παθητικὸς ἀπαρεμφάτου τῶν εἰς μι ἀπὸ τοῦ εἰμὶ γινόμενον· ὥσπερ γὰρ ἀπὸ τοῦ

τίθημι, τίθεμεν γίνεται θέναι, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ εἰμὶ γίνεται τὸ πληθυντικὸν ἐμὲν, ὅπερ κατὰ πλεονασμὸν τοῦ σ ἐσμέν. ἀπὸ οὖν τοῦ ἐμὲν γίνεται τοῦ ἀπαρέμφατον ἔναι, καὶ κατὰ πλεονασμὸν τοῦ ι εἶναι. τὸ δὲ εἶναι τὸ σημαῖνον τὸ ἀπολύω, γέγονεν ἀπὸ τοῦ ἵημι, καὶ ἔστι δευτέρου ἀορίστου ἀπαρεμφάτου.

92. ηὖδα] Χρόνου παρατατικοῦ ὁ ἐνεστὼς αὐδῶ, αὐδᾷς, ὁ παρατατικὸς ηὔδαον ηὔδων, ηὔδαες ηὔδας, ηὔδαε ηὔδα. καὶ ἔστι τὸ α μακρὸν, ὡς ἀπὸ συναιρέσεως.

Ib. ἀμύμων] Παρὰ τὸ ἄμωμος, ἀμώμων, καὶ τροπῇ τοῦ ω εἰς υ, ἀμύμων.

Ib. θυγάτηρ] Παρὰ τὸ θύειν κατὰ γαστέρα καὶ ὁρμᾷν· λέγεται τὰ θήλεια τάχιον κινεῖσθαι ἐν γαστρὶ ὄντα, οὕτως Ἡρωδιανός.

98. πατήρ] Ἐπὶ θεοῦ παρὰ τὸ πάντας τηρεῖν. εἴρηται ἄλλως πατὴρ παρὰ τὸ πατεῖν ἐν τῇ συνουσίᾳ, καθάπερ τὰ λοιπὰ ζῶα.

Ib. δόμεναι] Ἀορίστου δευτέρου ἀπαρεμφάτου τῶν εἰς μι. εἰώθασι γὰρ οἱ Δωριεῖς ἐπὶ τῶν εἰς ναι ἀπαρεμφάτων τοῦ ἀορίστου ἐπεντιθέναι τὴν με συλλαβὴν, καὶ εἰ μὲν ὦσι δύο φωνήεντα, τὸ ἓν ἀποβάλλειν, οἷον δοῦναι δόμεναι· θεῖναι θέμεναι· εἶναι ἔμεναι· εἰ δὲ εὑρεθῇ ἓν φωνῆεν, φυλάττει αὐτὸ, οἷον, στῆναι στήμεναι· βῆναι βήμεναι.

Ib. ἑλικώπιδα] Μελανόφθαλμον, ἀφ' οὗ εὐπρεπῆ, τὴν ἀξιοθέατον, πρὸς ἣν πᾶς ἑλίσσει τὴν θέαν· ἑλικὸν γὰρ κατὰ διάλεκτον καλεῖται τὸ μέλαν.

Ib. κούρην] Παρὰ τὸ οὐρῶ τὸ φυλάττω, οὔρη, καὶ πλεονασμῷ τοῦ κ, κούρη, φυλακτικὴ γὰρ ἡ κόρη, καὶ περιέπει ἑαυτὴν, ὅθεν καὶ κηπουρὸς λέγεται ὁ οὐρῶν τὸν κῆπον, τουτέστι φυλάττων· καὶ ἄλλως παρὰ τὸ κείρω τὸ κουρεύω, γίνεται κόρη· ἡ κειρομένη ἔτι καὶ νεάζουσα, καὶ κατὰ πλεονασμὸν τοῦ υ κούρη.

99. ἀπριάτην] Παρὰ τὸ πριᾶσθαι, τουτέστιν ἀγοράζεσθαι, καὶ μετὰ τοῦ στερητικοῦ α ἀπριάτην.

100. ἱλασσάμενοι] Μετοχὴ παθητικὴ μέσου ἀορίστου πρώτου εὐθείας τῶν πληθυντικῶν, ἔστιν ἱλῶ, ἱλᾷς, καὶ ὁ μέλλων

ἱλάσσω, καὶ ὁ ἀόριστος ἵλασα, καὶ ὁ μέσος ἱλασάμην[n], καὶ ἡ μετοχὴ ἱλασσάμενοι, κατὰ πλεονασμὸν τοῦ σ τοῦ δευτέρου.

Ib. πεπίθοιμεν] Ἀορίστου δευτέρου εὐκτικοῦ πρώτου προσώπου τῶν πληθυντικῶν. ἔστι πείθω, καὶ ὁ μέλλων πείσω, ὁ δεύτερος ἀόριστος ἔπιθον, καὶ μετὰ ἀναδιπλασιασμοῦ πέπιθον. εἴωθε γὰρ ὁ δεύτερος ἀόριστος ἀναδιπλασιάζεσθαι, ὥσπερ καὶ τὸ "σπουδῇ "πεπίθοντο." καὶ

ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας.

102. κρείων] Παρὰ τὸ κρατῶ, κρατείων, καὶ ἐν συγκοπῇ κρείων.

Ib. Ἀγαμέμνων] Ὁ ἄγαν μένων ἐν τῷ πολέμῳ, ἢ ὁ ἄγαν ὑπομονητικός.

103. ἀχνύμενος] Ἐνεστῶτος καὶ παρατατικοῦ μετοχῆς τῶν εἰς μι· γέγονε δὲ παρὰ τὸ ἄχος[o], ὃ σημαίνει τὴν λύπην, ἀχῶ καὶ ἀχύω, καὶ κατὰ πλεονασμὸν τοῦ ν ἀχύνω, καὶ ἐν ὑπερθέσει ἀχνύω· ἐκ τούτου γέγονε παράγωγον ῥῆμα ἄχνυμι, καὶ τὸ παθητικὸν ἄχνυμαι, καὶ ἡ μετοχὴ ἀχνύμενος.

104. πίπλαντο] Παρατατικοῦ τῶν εἰς μι κατὰ συστολὴν τῆς ἀρχούσης· γέγονε δὲ ἐκ τοῦ πέλω, καὶ κατὰ συγκοπὴν πλῶ, καὶ κατὰ ἀναδιπλασιασμὸν πιπλῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ κατὰ πλεονασμὸν τοῦ μ πιμπλῶ, ἐκ τούτου παράγωγον πίμπλημι, καὶ τὸ παθητικὸν πίμπλαμαι, ὁ παρατατικὸς ἐπιμπλάμην, καὶ τὸ γ τῶν πληθυντικῶν ἐπίμπλαντο.

Ib. ὄσσε] Ἔστιν ὄνομα γένους οὐδετέρου εὐθείας τῶν δυϊκῶν, σημαίνει δὲ τοὺς ὀφθαλμούς. κλίνεται δὲ οὕτως, τὸ ὄσσος, τοῦ ὄσσεος καὶ ὄσσους, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ ὄσσεε. εἴτε κατὰ ἀποβολὴν, ἢ κατὰ συγκοπὴν τοῦ ε, ὄσσε, ἄδηλον γὰρ τὸ πάθος γίνεται· ἢ παρὰ τὸ ὄπτω Αἰολικῶς· οἱ γὰρ Αἰολεῖς τὸ πτ εἰς δύο σσ τρέπουσι. κλίνεται οὖν καὶ ἀρσενικῶς ὁ ὄσσος, ὥσπερ ὁ σκότος καὶ τὸ οὐδέτερον τὸ ὄσσος, ὥσπερ τὸ σκότος.

Ib. λαμπετόωντι] Μετοχὴ γένους οὐδετέρου πτώσεως δοτικῆς δευτέρας συζυγίας τῶν περισπωμένων. παρὰ τὸ λάμπω, ἐγένετο

[n] ἡλασάμην Cod. [o] αἶσχος Cod.

λαμπετῶ, καὶ ἡ μετοχὴ λαμπεταῶν, τὸ θηλυκὸν ἡ λαμπεταῶσα καὶ τὸ οὐδέτερον τὸ λαμπεταῶν, τὸ λαμπετῶν, τοῦ λαμπετῶντος, ἡ δοτικὴ, τῷ λαμπετῶντι, καὶ κατὰ πλεονασμὸν τοῦ ο λαμπετόωντι· ἔθος γὰρ ἔχουσιν οἱ ποιηταὶ πλεονάζειν τὸ ὁ ἐπὶ τῆς β συζυγίας, οἷον

ὃν δ' αὖ δήμου ἄνδρα ἴδοι βοόωντάτ' ἐφεῦροι.

καὶ

ὁρόων ἐπὶ οἴνοπα πόντον.

Ib. εἴκτην] Μέσος ὑπερσυντελικὸς ἐνεργητικὸς τρίτου προσώπου τῶν δυϊκῶν, κατὰ διάλυσιν τῆς ει διφθόγγου· ἔστιν εἴκω τὸ ὁμοιῶ, ἐξ οὗ καὶ τὸ εἰκὼν, τούτου ὁ μέσος ὑπερσυντελικὸς εἴκειν, καὶ τὸ τρίτον τῶν δυϊκῶν εἰκείτην, καὶ κατὰ συγκοπὴν τῆς ει διφθόγγου καὶ διαλύσει τῆς ἀρχούσης γέγονεν εἴκτην.

105. ὀσσόμενος] Ἐκ τοῦ ὄπτω γέγονεν, ὡς προείρηται, Αἰολικῶς ὄσσω. οἱ γὰρ Αἰολεῖς τὸ πτ τρέπουσιν εἰς τὰ δύο σσ. τὸ γὰρ πίπτω πίσσω λέγουσι, καὶ τὸ πέττω πέσσω· τούτου ὁ ἐνεστὼς παθητικὸς ὄσσομαι, ὀσσόμενος.

106. κρήγυον] Παρὰ τὸ κῆρ, τὸ δηλοῦν τὴν ψυχὴν καὶ τὸ ἡδὺ, γίνεται κηρύδιον, τουτέστι τὸ τῷ κέαρι [p] ἡδὺν καὶ προσηνές. ὃ ταυτόν ἐστι τῷ θυμῆρες, καὶ ἐν συγκοπῇ καὶ τροπῇ τοῦ δ εἰς γ, κρήγυον.

Ib. ἐσθλόν] Παρὰ τὸ ἐθέλω, ἐθελὸν, καὶ πλεονασμῷ τοῦ σ, ἐσθλὸν, καὶ κατὰ ἀποβολὴν τοῦ ε, τὸ γὰρ ἀγαθὸν πᾶς λογικὸς θέλοι.

113. Κλυταιμνήστρα] Παρὰ τὸ κλυτὸς καὶ τοῦ μήδω τὸ φροντίζω γίνεται Κλυταιμνήστρα, ἡ ἔνδοξα φροντίζουσα, τροπῇ τοῦ ο εἰς α, καὶ προσθέσει τοῦ ι.

Ib. βέβουλα] Μέσος παρακείμενος ἀπὸ τοῦ βούλω, ἐνεστῶτος βαρυτόνου, ὁ μέλλων βουλήσω, οὕτως κλίνεται ὥσπερ τὸ μέλω, μελήσω, καὶ οἰκτείρω, οἰκτειρήσω, ὁ παρακείμενος βεβούληκα, ὁ μέσος βέβουλα.

114. ἀλόχου] Παρὰ τὸ λέχος, τὸ δηλοῦν τὴν κοίτην, καὶ τοῦ α τοῦ δηλοῦντος τὸ ὁμοῦ, οἷον ὁμόλεχός τις οὖσα.

[p] κέαρ Cod.

115. δέμας] Δεῖ γινώσκειν ὅτι ὁ ποιητὴς εἴωθε λέγειν δέμας τὸ ἔμψυχον σῶμα. παρὰ τὸ δεδέσθαι τὴν ψυχὴν ἐν αὐτῷ καὶ συνεστηκέναι· σῶμα τὸ ἄψυχον, ἐπεὶ σῆμά ἐστιν, τουτέστι τάφος τοῦ ποτε ζῶντος.

116. ἀλλὰ καὶ ὧς] Περισπαστέον τὸ ὧς, σημαίνει δὲ τὸ ὅμως· ὅτι ὅταν σημαίνῃ τὸ οὕτως δασύνεται καὶ ὀξύνεται· ἢ σύνδεσμὸς διασαφητικὸς ἀντὶ τοῦ εἴπερ, καὶ προσλαμβάνει τὸν πὲρ, οἷον "πλουτεῖν θέλω ἢ πένεσθαι." διασαφεῖ γὰρ τὸ ἕτερον, προείρηται.

118. ἑτοιμάσατε] Ἀορίστου πρώτου τὸ θέμα ἑτοιμάζω· γέγονε δὲ παρὰ τὸ ἕτοιμος, ἑτοιμάζω· τοῦτο δὲ ἡνίκα δηλοῖ τὸ ἡτοιμασμένον διὰ διφθόγγου γράφεται καὶ δασύνεται· παρὰ γὰρ τὸ ἔθος καὶ τὸ οἶμος, ὃ σημαίνει τὴν ὁδὸν ἔθοιμός τις ὤν· ἡνίκα δὲ τὸ ἀληθὲς, ψιλοῦται καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται· οἷον,

ψεύσομαι ἢ ἔτυμον ἐρέω.

120. λεύσετε] Ἀρίσταρχος ἐν σ γράφει· ἐγὼ δὲ ἐνεστῶτα αὐτὸ λέγω, ὡς ἀπὸ μέλλοντος, ὥσπερ καὶ τὸ "ἄξετε" καὶ "οἴσετε" καὶ "κατακείσεο δίφρου." γέγονε δὲ τὸ ἐλεύσω ἐκ τοῦ βλέπω, ὅθεν καὶ ἀβλεπτῶ ὅπερ κατὰ Αἰολεῖς γίνεται βλέσσω, ὡς ὄπτω ὄσσω, "κάκ' ὀσσόμενος" καὶ ἀποβολῇ τοῦ β, καὶ πλεονασμῷ τοῦ υ λεύσω.

121. ποδάρκης] Ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος, τουτέστι βοηθεῖν διὰ τὸ ὀξὺ τοῦ δρόμου.

124. οὐδέτι πω] Ὁ δὲ ἐνταῦθα ἀντὶ τοῦ γὰρ κεῖται.

Ib. ἴδμεν] Μέσος παρακείμενος, οἷον οἴδαμεν, καὶ κατὰ συγκοπὴν ἴδμεν, καὶ ἀφαιρέσει τοῦ ο· ἢ ὁ δεύτερος ἀόριστος, οἷον, ἴδομεν, καὶ κατὰ συγκοπὴν τοῦ ο, ἴδμεν.

Ib. ξυνήϊα] Παρὰ τὸ ξυνὸν, τὸ κτητικὸν ξύνειον, καὶ διαιρέσει Ἰωνικῇ ξυνέϊον, καὶ τροπῇ τοῦ ε εἰς η ξυνήϊον, καὶ τὸ πληθυντικὸν ξυνήϊα.

125. ἐξεπράθομεν] Ἀορίστου δευτέρου ἀπὸ τὸ πέρθω, ὁ δεύτερος ἀόριστος ἔπερθον, καὶ ἐν ὑπερθέσει τοῦ ρ ἔπραθον, καὶ τὸ πληθυντικὸν ἐπράθομεν, καὶ ἐν συνθέσει ἐξεπράθομεν.

Ib. δέδασται] Παρακείμενος παθητικὸς, γέγονε παρὰ τὸ δαίω τὸ μερίζω, δαίσω, καὶ ἀποβολῇ τοῦ ω δαὶς, ἐν ὀξείᾳ τάσει, ἢ

μεριστικὴ εὐωχία· ὁ παρακείμενος δέδαικα, καὶ κατὰ συγκοπὴν δέδακα, ὁ παθητικὸς δέδασμαι, καὶ τὸ τρίτον δέδασται [o].

126. ἐπέοικε] Μέσος παρακείμενος, ἔστι τὸ θέμα εἴκω τὸ πρέπω, ὁ μέσος παρακείμενος οἶκα, καὶ ἐν πλεονασμῷ τοῦ ε ἔοικα, ἔοικας, ἔοικε καὶ ἐπέοικε.

Ib. παλίλλογα] Παρὰ τὸ λέγω ῥῆμα τὸ δηλοῦν τὸ συλλέγω, καὶ τὸ πάλιν τὸ σημαῖνον τὸ ἐκ δευτέρου, καὶ κατὰ πλεονασμὸν, ἢ τροπῇ τοῦ ν εἰς λ, παλίλλογα.

127. πρόες] Ἀορίστου δευτέρου προστακτικοῦ. ἀπὸ τοῦ ἵημι, ὁ δεύτερος ἀόριστος ἧν, τὸ προστακτικὸν ἕς, καὶ ἐν συνθέσει πρόες, καὶ ἄφες.

129. δῷσι] Ὑποτακτικοῦ μέσου ἀορίστου δευτέρου προσώπου· ἐὰν δῶ δῷς δῷ, καὶ κατ' ἐπέκτασιν τῆς σι συλλαβῆς δῷσι.

Ib. Τρωΐην] Παρὰ τὸ Τροία, καὶ κατὰ διάλυσιν Τροΐηα, καὶ ἐκεῖθεν Τρωΐη τὸ κτητικὸν, κατ' ἐπέκτασιν τοῦ ο εἰς ω.

Ib. ἐξαλαπάξαι] Παρὰ τὸ τὴν λάπαθον γέγονε τὴν βοτάνην· ἔστι γὰρ βοτάνη καθαρτικὴ ὀνομαζομένη λάπαθος· γίνεται οὖν ὁ ἐνεστὼς λαπάζω, καὶ κατὰ πλεονασμὸν τοῦ α ἀλαπάζω, καὶ ὁ μέλλων ἀλαπάξω, σημαίνει δὲ κυρίως τὸ ἐκκενῶσαι.

131. ἐὼν] Ἔστι μετοχῆς ἐνεργητικῆς, καὶ δοκεῖ παραλόγως ὀξύνεσθαι· οὐ μόνον δὲ αὐτὸ ἀλλὰ καὶ ἡ κιὼν καὶ ἡ ἑκών. δεῖ δὲ γινώσκειν ὅτι τὸ ἐὼν τοῦ ὢν ἐντελέστερόν ἐστιν, οἷον

Ἀργείων ἀγέραστος ἔω,

οὗ τὸ δεύτερον ἔῃς, ἔῃ·

ὥστε ἔπειθ' ἔῃς,

καὶ πάλιν,

δηρὸν ἔῃ κρείων.

ὅτι δὲ τὸ ἐὼν τοῦ ὢν ἐντελέστερον, πρόδηλον καὶ ἀπὸ τοῦ παρηγμένου, λέγω δὴ τοῦ εἰμί· ὁ μέν τοι ποιητὴς ἐπὶ ταῖς μετοχαῖς οὐδέποτε παρέλειψε τὸ ε, οἷον ἀρσενικῶς μὲν,

ἤδη δὴν [p] ἀπεὼν καὶ ἀμφαδὸν ἦε [q] κρυφηδόν·

θηλυκῶς δὲ

ἠλίβατος μέγα πάλιν ἁλὸς ἐγγὺς ἐοῦσα.

οὐδετέρως δὲ,

κυρτὸν ἐὸν κορυφοῦται.

[o] δαίδασται Cod. [p] εἴδειν Cod. [q] λαὶ Cod.

αἱ δὲ πλάγιοι ὅλαι· ἐκ μὲν οὖν γενικῆς,

> ἐκ δὲ στέατος ἀνῆκε μέγα τόξον ἔνδον ἐόντος.

ἐπὶ δὲ δοτικῆς

> ὑψόθ' ἐόντι Διΐ.

ἐπὶ δὲ αἰτιατικῆς

> ἔνδον ἐόντα.

δυϊκῶς δὲ

> ὄφελός τι γενοίμεθα καὶ δύ' ἐόντε.

πληθυντικῶς

> Κρόνον ἀμφὶς ἐόντες.

γενικῇ·

> χαριζομένη παρεόντων.

αἰτιατικῇ,

> παυροτέρους ἐόντας·
> ὡς δὲ ἴδεν νευρόν[P] τε καὶ ὄγκους ἐκτὸς ἐόντας.

132. παρελεύσεται] Ἰωνικῶς ἀπὸ τοῦ ἐλεύθω.

134. ἧσθαι] Ἐνεστῶτος καὶ παρατατικοῦ ἀπαρεμφάτου παθητικοῦ· γέγονεν ἀπὸ τὸ ἕω, τὸ καθέζομαι, τούτου παράγωγον ἕημι, ὡς κέω, κέημι, τούτου τὸ παθητικὸν ἕεμαι, ὡς κέεμαι, κατὰ κρᾶσιν τῶν δύο εε εἰς η μακρὸν, ἧμαι· τοῦ δὲ κέεμαι ἡ κρᾶσις τῶν δύο εε εἰς τὴν ει δίφθογγον, κεῖμαι, εἶτα ἧμαι ἧσαι ἧται, καὶ ἧσθαι τὸ ἀπαρέμφατον.

Ib. δευόμενον] Ἀπὸ τοῦ δέω τοῦ σημαίνοντος τὸ χρήζω, καὶ ἐνδεοῦμαι.

136. ἄρσαντες] Ἀορίστου πρώτου μετοχή· τὸ θέμα ἀρῶ, τὸ σημαῖνον τὸ ἁρμόζω, ὁ μέλλων Αἰολικῶς ἄρσω· ὁ ἀόριστος ἦρσα, ἡ μετοχὴ ἄρσας, ἄρσαντας· Ἀρίσταρχος δασύνει αὐτὸ, ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ· ἢ παρὰ τὸ ἁρμόζω ἐγένετο ὁ μέλλων ἁρμόσω, ὁ ἀόριστος ἥρμοσα, ἡ μετοχὴ ἁρμόσας, ἁρμόσαντος ἁρσάντες, καὶ κατὰ συγκοπὴν τῆς μονοσυλλάβου, ἄρσαντες.

137. δώωσι] Ἀορίστου δευτέρου ὑποτακτικοῦ, ὥσπερ τὸ δῶσι, καὶ κατὰ πλεονασμὸν τοῦ ω, καὶ τῆς σι συλλαβῆς, δώωσι.

142. ἐς δ' ἐρέτας] Ἐρέτης παρὰ τὸ ἐρέσσω τὸ κωπηλατῶ.

Ib. ἐπιτηδές] Ἀντὶ τοῦ ἐπιτηδείους· οἱ πλείους οὕτω διὰ τοῦ

P νεβρόν Cod.

σ αὐτὸ γράφουσιν ἀπὸ τοῦ ἐπιτηδεῖς συστολῇ τοῦ ι. ἐπιτηδές ἐστιν ὀνοματικὸν ἐπίρρημα.

143. θείομεν] Ἔστιν θῶ, τούτου παράγωγον θείω, ὡς ὄψω, ὀψείω· τελῶ, τελείω, οὕτω καὶ θῶ, θείω καὶ θείομεν.

144. καλλιπάρηον] Παρὰ τὸ παρειὰ, γράφεται δὲ διὰ τῆς ει διφθόγγου τὸ παρειά· τὰ γὰρ διὰ τοῦ εια τρισύλλαβα ὀξύτονα διὰ τῆς ει διφθόγγου γράφονται, οἷον παρειὰ, φορβειὰ, πλὴν τοῦ καλλιά· πρόσκειται τρισύλλαβα, διὰ τὸ ἱμονιὰ, σημαίνει δὲ τὸ ἀντλητήριον· πρόσκειται ὀξύτονα διὰ τὸ σοφία· τὸ δὲ καλλιπάρηος παρὰ τὸ παρειὰ γίνεται καὶ τὸ κάλλος· οἱ δὲ Δωριεῖς τὴν ει δίφθογγον εἰς η τρέπουσιν· ὅτε μὲν οὖν παρειὰ ἁπλῶς λέγωμεν, διὰ τῆς ει διφθόγγου, ὅτε δὲ σύνθετον διὰ τοῦ η.

145. ἔστω] Ἐκ τοῦ ἕω τὸ ὑπάρχω παράγωγον εἰμὶ, καὶ τὸ πρῶτον τῶν πληθυντικῶν, ἐμὲν, ὅπερ γίνεται κατὰ πλεονασμὸν τοῦ σ, ἐσμὲν, καὶ τὸ προστακτικὸν ἔθι, καὶ ἐπενθέσει τοῦ σ, καὶ τροπῇ τοῦ ε εἰς ι, ἴσθι· πολλάκις γὰρ ἐπείσοδος συμφώνων τροποποιεῖ, οἷον τέκω τίκτω· ἔπω ἴσπω καὶ ἐνίσπω, οὕτως ἔθι καὶ ἴσθι, καὶ τὸ τρίτον ἔστι. τὸ γὰρ κεχρεωστημένον ε ἀνέλαβε τὸ τρίτον.

Ib. ἐκπαγλότατε] Παρὰ τὸ ἐκπλαγεῖν γέγονεν ἔκπαγλος, καὶ τὸ ὑπερθετικὸν ἐκπαγλότατε καθ' ὑπέρθεσιν τοῦ λ καὶ α. τί διαφέρει τὸ κατεπλάγην τοῦ κατεπλήγην[q]; ὅτι τὸ μὲν κατεπλάγην ψυχικὸν πάθος ἐστί· τὸ δὲ κατεπλήγην ἐπὶ σωματικοῦ πλήγματος, τουτέστι τοῦ λαβεῖν τραῦμα· ἐπλάγην δὲ καὶ ἐξεπλάγην ἐπὶ τῆς ψυχῆς· καὶ γὰρ θαυμάζει τίς. ὁ μέν τοι ποιητὴς διὰ τὸ μέτρον εἶπε

κατεπλήγη φίλον ἦτορ,

ἐπειδὴ καὶ τὰ ἀμφότερα τὸν ἐνεστῶτα ἔχουσι διὰ τοῦ η· οἷον, πλήσσω. εἰς δὲ τὸν δεύτερον ἀόριστον διαφέρουσιν, ὅτι ὁ μὲν φυλάττει τὸ η, ὁ δὲ συστέλλει.

147. Ἑκάεργον] Παρὰ τὸ ἕκαθεν εἴργειν, τουτέστι κωλύειν, ἢ ἕκαθεν ἐργάζεσθαι, τουτέστι μάχεσθαι. ἔργον γὰρ καλεῖται ἡ μάχη, καὶ Ὅμηρος,

ἔνθακεν οὐκ ἐπὶ ἔργον ἀνὴρ[r] ὀνόσαιτο μετελθών.

Ib. ἱλάσσεαι] Μέσος μέλλων Ἰωνικοῦ δευτέρου προσώπου, τὸ θέμα ἱλῶ, ἱλᾷς, ἱλάσω.

[q] κατεπλήγειν Cod. [r] ἂν Cod.

148. ὑπόδρα] Παρὰ τὸ δρῶ τὸ ὑφορῶ, ὁ δραπέτης, ἢ παρὰ τὸ ὑπόδραξ, ἀφαιρέσει τοῦ ξ, ἐποίησεν ἀναδρομὴν τοῦ τόνου. ἢ παρὰ τὸ δέρκω τὸ βλέπω, καὶ κατὰ συγκοπὴν γίνεται δρῶ, τὸ σημαῖνον τὸ ὁρῶ, ὅθεν τὸ ὑποδρώμενοι εἴρηται ἀντὶ τοῦ ὑφορώμενοι, καὶ ὡς ἐγένετο ἀπὸ τοῦ μίσγω, μίγδα, καὶ ἠρεμῶ, ἠρέμα, οὕτω καὶ ἀπὸ τοῦ δρῶ, δρᾶ καὶ ἐν συνθέσει ὑπόδρα.

149. ᾤμοι] Παρὰ τὸ οἴμοι, τοῦτο παρὰ τὸ οἶ θρηνητικὸν, καὶ πλεονασμῷ τῆς μοι συλλαβῆς οἴμοι.

Ib. ἀναιδείην] Παρὰ τὸ αἴδω, αἰδὴς καὶ ἀναιδὴς, πλεονασμῷ τοῦ ν, ὥσπερ ἀναίσχυντος καὶ ἀνάγραπτος, εἶτα ἀναίδεια, καὶ Ἰωνικῶς τροπῇ τοῦ α εἰς η, ἀναιδείην.

Ib. ἐπιειμένε] Παρακειμένου μετοχῆς, παρὰ τὸ ἕω τὸ ἐνδύω, ὁ μέλλων ἕσω, ὅθεν ῥηματικὸν ὄνομα ἐστὴς, καὶ τροπῇ τοῦ τ εἰς θ ἐσθής. ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧμαι, καὶ ἡ μετοχὴ ἥμενος, ἡ κλητικὴ ἥμενε, καὶ ἐν συνθέσει ἐπιημένε.

Ib. κερδαλεόφρων] Παρὰ τὸ φρένα καὶ τὸ κερδαλέον, τοῦτο παρὰ τὸ κερδαίνειν, τοῦτο παρὰ τὸ κέαρ ἰαίνειν[q] τουτέστι τὴν ψυχὴν εὐφραίνειν.

151. ἶφι] Παρὰ τὸ ἶς, ὃ σημαίνει τὴν δύναμιν, ἰνὸς ἡ γενικὴ, καὶ πλεονασμῷ τῆς φι συλλαβῆς ἰνόσφι καὶ φρήτριφι, οὕτως ἶς, ἰνὸς, ἰνόσφι καὶ κατὰ συγκοπὴν ἶφι, καὶ γράφεται διὰ τοῦ ι, καὶ πάντα τὰ παρ' αὐτό.

152. αἰχμητάων] Παρὰ τὸ αἰχμὴν, ἥτις παρὰ τὸ ἀΐσσω, γέγονεν αἰχμὴ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ μ, καὶ αἰχμητὴς, αἰχμητοῦ, αἰχμητῶν, καὶ Δωρικῶς πλεονασμῷ τοῦ α.

153. δεῦρο] Τὸ δεῦρο σημαίνει δύο, τὸ ἔξελθε, ὅπερ ἐστὶν ἐπίρρημα παρακελεύσεως, ὡς ἐν τῷ θείῳ Εὐαγγελίῳ, "Λάζαρε "δεῦρο ἔξω." καὶ τὸ ἐνταῦθα ὅπερ ἐστὶν ἐπίρρημα τοπικὸν ὡς ἐνταῦθα.

Ib. μαχησόμενος.

154. ἤλασαν] Ἐλῶ, ἐλᾷς, ἤλασα.

155. ἐριβώλακι] Παρὰ τὸ βῶλον καὶ τὸ ἐρι[r] ἐπιτατικὸν μόριον ἐριβώλαξ[s], εὔγειως καὶ πίων γῆ.

Ib. βωτιανείρῃ] Παρὰ τὸ βῶ τὸ τρέφω καὶ τὸ ἀνὴρ, βοτιάνειρα.

[q] ἰένειν Cod. [r] ἔριον Cod. [s] ἐριβώλαξα Cod.

156. ἐδηλήσαντο] Μέσου ἀορίστου πρώτου πρώτης συζυγίας τῶν περισπωμένων. τὸ θέμα δηλῶ, καὶ τὰ λοιπὰ δῆλα.

159. ἀρνύμενοι] Ἐνεστῶτος μετοχῆς παθητικῆς τῶν εἰς μι. ἄρνυμι τὸ θέμα, σημαίνει δὲ τὸ ἀντικαταλλασσόμενοι.

160. ἀλεγίζεις] Παρὰ τὸ λέγω τὸ φροντίζω, τοῦτο παρὰ τὸ λέγω μετ᾽ ἐπιτάσεως τοῦ α, ἀλέγω τὸ πάνυ φροντίζω, ἐκ τοῦ ἀλεγίζω.

162. ἐμόγησα] Παρὰ τὸ μόγος γέγονε μογῶ, μογήσω, ἐμόγησα, πρώτης συζυγίας τῶν περισπωμένων.

163. Ἴσον παρὰ τὸ εἴδω τὸ ὁμοιῶ, ὁ μέλλων εἴσω, καὶ ῥηματικὸν ὄνομα συστολῇ τοῦ ε ἴσος. ἔστι δὲ καὶ μακρὸν τὸ ι, πολλάκις δὲ εὕρηται καὶ ἐν συστολῇ.

165. πολυάϊκος] Παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ, ὁ μέλλων ἀΐξω, ἀποβολῇ τοῦ ω, ἄϊξ, ἡ γενικὴ ἄϊκος, καὶ ἐν συνθέσει πολυάϊκος.

168. ἐπὴν κεκάμω[t].

169. εἶμι] Ἐνεστῶτος τῶν εἰς μι, καὶ σημαίνει τὸ πορεύομαι. τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἴμεν καὶ τὸ προστακτικὸν ἴθι, τὸ πορεύου.

171. ἄφενος] Παρὰ τὸ ἔνον τὸν ἐνιαυτόν. ἄφενος δὲ κυρίως καλεῖται ὁ ἀπὸ ἑνὸς ἐνιαυτοῦ συλλεγόμενος πλοῦτος. πλοῦτος δὲ ὁ ἐκ πολλῶν.

Ib. ἀφύξειν] Μέλλοντος ἀπαρεμφάτου. τὸ θέμα ἀφύσσω τὸ ἀπαντλῶ.

173. θυμὸς] Παρὰ τὸ θύω τὸ ὁρμῶ. ἰστέον δὲ ὅτι πέντε σημαίνει, ὡς πολλάκις εἴρηται.

Ib. ἔσσυται] Παρὰ τὸ σῶ τὸ ὁρμῶ, γίνεται σύω, καὶ παράγωγον σῦμι. ὁ μέλλων σύσω, ὁ παρακείμενος σέσυκα, ὁ παθητικὸς σέσυμαι καὶ τὸ τρίτον σέσυται, καὶ ἐν ὑπερθέσει ἔσσυται. πάλιν δὲ ἐκ τοῦ σῶ γίνεται σεύω τὸ παθητικὸν, κατὰ τὸ τρίτον πρόσωπον σεύονται, ἐξ οὗ καὶ τὸ

σεύονται κύνες θαλεροὶ τ᾽ αἰζηοί[u].

174. λίσσομαι] Ἔστιν ἐνεστῶτος παθητικοῦ τὸ θέμα λίσσω, ὁ μέλλων λίσω, δι᾽ ἑνὸς σ.

[t] καὶ κάμω Cod. [u] ἐζηοὶ Cod.

Ib. εἵνεκα] Ἐκ τοῦ ἕνεκα, κατὰ πλεονασμὸν τοῦ ι, εἵνεκα.

Ib. ἐμεῖο] Ἀντωνυμία, καὶ σημαίνει τὸ ἐμοῦ, καὶ διὰ τῆς ει διφθόγγου γράφεται. ἔστι γὰρ τῆς ἐγὼ ἀντωνυμίας ἡ γενικὴ ἐμοῦ, σοῦ, οὗ. αὗται αἱ γενικαὶ γίνονται κατὰ διάλυσιν ἐμέο, σέο, καὶ ἐπειδὴ αἱ διαλυόμεναι γενικαὶ οὐδέποτε δύο φωνήεντα ἔχουσι μακρὰ ἢ βραχέα, ἀλλὰ τὸ ἓν μακρὸν, τὸ δὲ ἕτερον βραχὺ, οἷον Ἀτρείδεω, Πηλείδεω, ὠκεανοῖο, ποταμοῖο, ἐπλεόνασε τὸ ι ποιητικῶς, καὶ ἐγένετο ἐμεῖο, σεῖο, εἷο.

175. μητιέτα Ζεὺς] Παρὰ τὸ μῆτις, τοῦτο παρὰ τὸ μήδω τὸ βουλεύομαι, ὅθεν καὶ μέδοντες οἱ βασιλεῖς λέγονται, οἷς εὐβουλίας δεῖ, διὸ καὶ βουληφόροι λέγονται. οὗ ὁ μέλλων μήσω, καὶ ῥηματικὸν ὄνομα μῆσις, καὶ τροπῇ τοῦ σ εἰς τ μῆτις. ἀπὸ δὲ τοῦ μήδω ἐγένετο μῆδος, ὄνομα οὐδέτερον, ὅθεν καὶ τὸ "μήδεα πυκνὰ," ἀπὸ τούτου ἐγένετο μητιόεις, καὶ ὄνομα οὐδέτερον μητιόεν, μητιόεντος. ἰστέον δὲ ὅτι ταῦτα κατὰ ποιητικὴν ἄδειαν λέγονται, ὡς ἱππότα Νέστωρ, καὶ μητιέτα Ζεύς. καὶ "αὐτὰρ ὁ Θυέστα," καὶ τὰ τούτοις ὅμοια. ταῦτα γὰρ καὶ μονόπτωτα ἐστὶ, καὶ ποιητικῷ μεταπλασμῷ λέγεται εἶναι αὐτά. διὸ καὶ ἄκλιτα ἔμειναν. Καὶ ἄλλως—Παρὰ τὸ μήδω γίνεται μητίτης, καὶ πλεονασμῷ τοῦ ε, καὶ συστολῇ, γίνεται μητιέτης. ἔστι δὲ Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος παρασχηματισμός. παρ' ἡμῖν δὲ ἀρσενικὸν ὄνομα ἐπ' εὐθείας εἰς α λῆγον.

176. ἔχθιστος] Παρὰ τὸ ἔχθος γέγονεν ἔχθιστος. τὸ δὲ χθι ι, διατί; ἐπειδὴ πάντα τὰ εἰς τος λήγοντα ὀνόματα, διὰ μόνου τοῦ ι γράφονται, οἷον χριστὸς, πιστὸς, ἄπιστος, δύσπιστος, κάλλιστος, ἔχθιστος.

Ib. ἐσσὶ] Ἐνεστῶτος τῶν εἰς μι β' προσώπου, παράγεται δὲ οὕτως. ἔστι τὸ πρωτότυπον ῥῆμα ἕω τὸ ὑπάρχω, ὅθεν γέγονε τὸ εἰμὶ, ἀπὸ τούτου οὖν τοῦ ἕω γέγονε καὶ τὸ ἐσμὶ, εἰ καὶ μὴ εὕρηται ἐν χρήσει. καὶ τροπῇ τοῦ μι εἰς σσ γίνεται τὸ β ἔσσ διὰ τοῦ ε καὶ τῶν δύο σσ, καὶ διὰ τὸ χαρακτηριστικὸν, οὐδέποτε γὰρ συλλαβὴ εἰς δύο λήγει τὰ αὐτὰ σύμφωνα, προσέλαβε τὸ ι καὶ γέγονεν ἐσσὶ, καὶ τὸ τρίτον ὀφεῖλον καὶ αὐτὸ εἶναι ἐσσὶ, οὐχ εὕρηται. τοῦ δὲ εἶμι τοῦ πορεύομαι τὸ τρίτον ἐστὶν εἶσι. καὶ ζητοῦμεν πόθεν τὸ τρίτον πρόσωπον γέγονε· καὶ ῥητέον ὅτι ἀπὸ

τοῦ ἐσμὶ ἀπὸ τοῦ πρώτου προσώπου, καὶ ὤφειλεν εἶναι τὸ τρίτον ἐσσί. τὰ γὰρ εἰς μι τροπῇ τοῦ μι εἰς δύο σσ τὰ τρίτα ποιοῦσιν, οἷον δίδωμι, δίδωσι· ἵστημι, ἵστησι· διότι τὸ ἐσσὶ ἔφθη γενόμενον δεύτερον διὰ τὴν ἀνωτέρω γενομένην αἰτίαν, λέγω δὲ διὰ τὸ χαρακτηριστικὸν τοῦ ἐσσ δεύτερον γέγονεν ἀπὸ τοῦ ἐσμὶ, προσλαβὸν τὸ ι διὰ τοῦτο τὸ γ, ἵνα μὴ συνεμπέσῃ τῷ ἐσσὶ, γέγονε τροπῇ τοῦ τ εἰς σ ἐστί. καὶ ὡς εἰς τι λῆγον ἐστὶ, ἔοικε Δωρικῶς, οὐ γάρ ἐστι κυρίως τὸ ἐστί. τὰ γὰρ Δώρια τρίτα ἑνικὰ γινόμενα εἰς τι, καθαρὸν ἔχουσι τὸ τι, οἷον τὸ φησὶν οἱ Δωριεῖς τροπῇ τοῦ ἐν τῇ ἀρχούσῃ η εἰς α καὶ τοῦ σ εἰς τ.

187. φᾶσθαι] Μέσου ἀορίστου δευτέρου. ἔστι δὲ ἀπαρέμφατον. γέγονεν ἐκ τοῦ φῶ τοῦ πρωτοτύπου, τοῦ σημαίνοντος τὸ φαίνω, παράγωγον φημὶ, ὁ μέλλων φήσω, ἔφην ὁ β′ ἀόριστος, ὁ μέσος ἐφάμην, τὸ γ′ ἔφατο, καὶ φᾶσθαι.

189. λασίοισι] Ἡ ἐν τοῖς δασέσι καὶ συνετοῖς καὶ θερμοῖς, ἡ θέρμη γὰρ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν. νῦν δὲ περὶ τοῦ θυμοειδοῦς μέρους τῆς ψυχῆς φησὶν, ἀφ᾽ ὧν λέγομεν στήθεσιν, ὑπὸ γὰρ τὰ στέρνα κεῖται ἡ καρδία, ἐν ᾧ ἐστι τὸ ξηρῶδες καὶ θερμὸν καὶ μανικὸν τῆς ψυχῆς. τὸ δὲ λασίοισι γέγονε παρὰ τὸ σεύω τὸ ὁρμῶ καὶ τὸ λα ἐπιτατικὸν μόριον.

Ib. μερμήριξε] Ἀορίστου πρώτου τρίτου προσώπου. τὸ θέμα μερμηρίζω, τοῦτο παρὰ τὸ μείρω τὸ μερίζω, ἀφ᾽ οὗ καὶ μέρος ὄνομα, παρὰ τοῦτο μερίζω, καὶ κατὰ ἀναδιπλασιασμὸν μερμερίζω, καὶ τροπῇ τοῦ ε εἰς η μερμηρίζω, ὁ μέλλων μερμηρίξω, ὁ ἀόριστος ἐμερμήριξα, ἐμερμήριξε, καὶ συναρχομένως μερμήριξε.

190. φάσγανον] Παρὰ τὸ σφάζω σφάγανον, καὶ ἐν ὑπερθέσει φάσγανον, τὸ δὲ σφάζω παρὰ τὸ φῶ τὸ φονεύω, φάζω, καὶ πλεονασμῷ τοῦ σ, σφάζω.

191. ἐναρίζοι] Ἐνεστῶτος εὐκτικοῦ παρὰ τὸ ἐναίρω, ὅθεν καὶ ἔναρα λέγονται τὰ σκύλα, γίνεται ἐναρίζοι.

193. ὥρμαινε] Παρατατικοῦ χρόνου τρίτου προσώπου ἑνικοῦ. γέγονε δὲ παρὰ τὸ ὅρμος, ὁρμῶ, καὶ παράγωγον ὁρμαίνω, ὁ παρατατικὸς ὥρμαινον, καὶ τὸ τρίτον ὥρμαινε.

194. κουλεοῖο] Εἴρηται κουλεὸς παρὰ τὸ κῆλα, τουτέστι τὰ βέλη.

Ib. Ἀθήνη] Ἔστι ῥῆμα θῶ τὸ θηλάζω, ἐξ οὗ ὁ μέλλων θήσω, καὶ ῥηματικὸν ὄνομα θήνη, καὶ μετὰ τοῦ στερητικοῦ α Ἀθήνη ἡ μὴ θηλάσασα, ἀμήτωρ γὰρ παραδέδοται.

197. Ξανθῆς] Πυρρᾶς[x], καὶ διὰ τοῦτο φησὶν αἰνίττεται τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος. οἱ γὰρ ξανθόχολοι τοιοῦτοι.

Ib. κόμης] Παρὰ τὸ κείρω τὸ κόπτω, τροπῇ τοῦ ρ εἰς μ κόμη, ἢ παρὰ τὸ κόσμος εἶναι τοῦ σώματος.

Ib. Παλλάδα] Εἴρηται Παλλὰς παρὰ τὸ πάλλω τὸ κραδαίνω, πολεμικὴ γὰρ ἡ θεός. ἢ ἀπὸ τοῦ ἄνω κραθῆναι τῆς κεφαλῆς τοῦ Διός. ἢ ὅτι Πάλλαντα ἕνα τῶν γιγάντων ἀπέκτεινεν.

200. φάανθεν] Ἀορίστου πρώτου παθητικοῦ ἀπὸ τοῦ φαίνω, ὁ ἀόριστος πρῶτος παθητικὸς ἐφάνθην, καὶ τὸ γ τῶν πληθυντικῶν ἐφάνθησαν, καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ α, καὶ ἀφαιρέσει τοῦ ε φάανθεν.

202. εἰλήλουθας] Μέσου παρακειμένου. ἔστι γὰρ τὸ θέμα ἐλεύθω, καὶ ὁ μέσος παρακείμενος ἤλευθα, καὶ ὁ Ἀττικὸς ἐλήλυθα, καὶ πλεονασμῷ τοῦ ο Βοιωτικῶς ἐλήλουθας, καὶ παρενθέσει τοῦ ι, εἰλήλουθας. ὑψοῖ τὴν ὕβριν ὡς καὶ θεοὺς κινήσασαν εἰς θέαν.

203. εἰδῇ] Δεῖ γινώσκειν ὅτι τὸ εἰδῇ διχῶς τοῦ σ γράφεται. ἔστι δὲ ἡ μετοχὴ εἰδὼς εἰδότος, καὶ ὤφειλεν εἶναι τὸ εὐκτικὸν εἴδοιμι, καὶ οὐκ εἰδείην, διότι τὰ ἔχοντα τὴν μετοχὴν εἰς σ μετ' ὀξείας, διὰ τοῦ ντ κλινομένην, εἰς ην καθαρὸν ἔχουσι τὸ ὑποτακτικόν. ἦν οὖν τυφθεὶς, τυφθέντος, τυφθείην. αὕτη οὖν ἡ μετοχὴ εἰ καὶ εἰς σ λήγει μετ' ὀξείας τάσεως, ἀλλ' οὖν οὐ κλίνεται διὰ τοῦ ντ. οὐκ ὤφειλεν οὖν εἶναι εἰδείην· ἀλλ' ὥσπερ ἐπὶ τοῦ περιπατοῖμι γίνεται περιπατοίην, κατὰ τροπὴν τῆς μι εἰς ην, τὸν αὐτὸν τρόπον ἀπὸ τοῦ εἴδοιμι γέγονεν εἰδοίην, ἐπειδὴ εἰς ην καθαρὸν ἐστὶ τὸ εὐκτικόν. τὰ δὲ εἰς ην καθαρὸν ἔχοντα τὸ εὐκτικὸν, εἰς ω μετὰ περισπωμένου τόνου ἔχουσι τὸ ὑποτακτικὸν, οἷον τυφθείην, ἐὰν τυφθῶ. τούτου χάριν καὶ ἐὰν εἰδῶ γέγονε τὸ ὑποτακτικὸν, οἷον ὄφρ' εὖ εἰδῶ, κανόνος ἀναγκάζοντος αὐτὸ βαρύνεσθαι· τὰ γὰρ εἰς ω ὑποτακτικὰ περισπῶνται, ἡνίκα ὦσι μετὰ περισπωμένου ἐνεστῶτος, οἷον ποιῶ, ἐὰν ποιῶ, καὶ ἐὰν ἔχωσι τὴν μετοχὴν μετ' ὀξείας τάσεως καὶ διὰ τοῦ ντ κλινομένην, ὡς καὶ ἀνωτέρω εἴρηται. τοῦτο

[x] πυρᾶς Cod.

οὐκ ὤφειλε περισπᾶσθαι, ἀλλὰ περιεσπάσθη ὡς εἴρηται, ἐπειδὴ ἐγένετο τὸ εὐκτικὸν εἰς ην καθαρόν.

206. γλαυκῶπις] Ἤτοι γλαυκόφθαλμος, καλὴ, ἡ γλαυκοὺς καὶ καταπληκτικοὺς ἔχουσα τοὺς ὄπας.

207. πίθηαι] Ὑποτακτικοῦ μέσου ἀορίστου δευτέρου Ἰωνικῶς. τὸ θέμα πείθω.

210. ἕλκεο] Ἐνεστῶτος παθητικοῦ προστακτικοῦ. ἕλκω τὸ θέμα, τὸ παθητικὸν ἕλκομαι, καὶ ὁ παρατατικὸς εἱλκόμην, εἷλκου, καὶ ὁ προστακτικὸς ἕλκου, καὶ κατὰ διάλυσιν ἕλκεο.

214. ἴσχεο] Ὁμοίως καὶ τοῦτο παθητικὸν προστακτικόν. τὸ θέμα ἴσχω, γέγονε δὲ παρὰ τὸ ἔχω τὸ κρατῶ, καὶ πλεονασμῷ τοῦ σ. τὸ γὰρ ε ἡνίκα πλεονάσῃ σύμφωνον, τρέπεται εἰς ι.

Ib. πείθεο] Καὶ τοῦτο ὁμοίως.

216. χρὴ] Ἐνεστῶτος τῶν εἰς μι τρίτου προσώπου ἑνικοῦ. ἔστιν οὖν χρῆμι, τὸ β χρῆς, καὶ τὸ τρίτον χρῆσι, καὶ κατὰ ἀποβολὴν τῆς σι συλλαβῆς γίνεται χρὴ, ἐν ὀξείᾳ τάσει.

Ib. εἰρύσασθαι] Ἔστι μέσου ἀορίστου πρώτου ἀπαρεμφάτου. καὶ ὥσπερ ἐγένετο ἀρτύω ἐκ τοῦ ἀρτῶ, κατὰ πλεονασμὸν τοῦ υ, καὶ ἀπὸ τοῦ μνῶ μνείω, καὶ κατὰ πλεονασμὸν τοῦ η μηνύω, οὕτω καὶ ἐν τῷ ἐρύω παρὰ τὸ ῥῶ ῥύω ἐπενθέσει, οἷον δυνάμει ἕλκω, καὶ ὁ παρατατικὸς εἴρυον, προσλαμβάνει τὸ ι καὶ τὸ ε, καὶ οὐ τρέπεται εἰς τὸ η.

219. ἦ] Ἐκ τοῦ φημὶ τὸ λέγω, καὶ ἀφαιρέσει τοῦ φ, τὸ αὐτὸ σημαίνει, καὶ ὁ δεύτερος ἀόριστος ἦν, ἦς, ἦ.

Ib. σχέθε] Χρόνου παρατατικοῦ. σχέθω, ὁ παρατατικὸς ἔσχεθον, ἔσχεθες, ἔσχεθε, καὶ ἀφαιρέσει τοῦ ε σχέθε, καὶ κλίνεται ἄχρι τοῦ παρατατικοῦ κατὰ πᾶσαν κλίσιν καὶ ἐν συνθέσει κατάσχεθε, καὶ κάσχεθε.

220. ἀπίθησεν] Ἔστιν πιθῶ πρώτης συζυγίας τῶν περισπωμένων, γράφεται διὰ τοῦ ι, ὁ μέλλων πιθήσω, ὁ ἀόριστος ἐπίθησα, καὶ ἡ μετοχὴ πιθήσας, ὅθεν καὶ τὸ "ἀπεγρ πιθήσας." οὕτω καὶ τὸ ἄπιθι.

222. δαίμονας] Τοὺς θεοὺς, οἱονεὶ δαήμονες εἰσὶν, ἔμπειροι καὶ ἴδριες πάντων εἰσίν.

226. θωρηχθῆναι] Ἀπαρέμφατον ἀορίστου πρώτου παθητικοῦ.

τὸ θέμα θωρήσσω, τὸ δηλοῦν τὸ καθοπλίζομαι, καὶ τὰ λοιπὰ δῆλα.

227. ἰέναι] Ἀπὸ ἐνεστῶτος τῶν εἰς μι ἵημι, τὸ πρῶτον τῶν πληθυντικῶν ἵεμεν, καὶ τὸ ἀπαρέμφατον ἰέναι, ὡς τίθεμεν, τιθέναι.

228. τέτληκας] Ἔστι παρακείμενος ἐκ τοῦ τλῶ, πρώτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων τλήσω, ὁ παρακείμενος τέτληκα.

Ib. εἴδεται] Ἔστιν ἐνεστῶτος παθητικοῦ, τὸ θέμα εἴδω τὸ σημαῖνον τὸ φαίνομαι, καὶ τὸ παθητικὸν εἴδομαι, εἴδῃ, εἴδεται.

229. λώϊον] Τὰ εἰς ων συγκριτικὰ καθαρὰ τρισύλλαβα, διφθόγγῳ θέλει παραλήγεσθαι. δ εἰσὶ ταῦτα. καὶ τὰ δύο ἐκφωνοῦσι τὸ ι, οἷον πλείων, μείων, τὰ δὲ δύο ἀνεκφώνητον αὐτὸ ἔχουσιν, οἷον λῷον, ῥᾷον. τὸ δὲ λῷον γέγονεν ἀπὸ τοῦ λῶ τὸ θέλω. ὃ γὰρ νοεῖ τίς ἑαυτοῦ συμφέρον, τοῦτο καὶ θέλει. καὶ τὸ μὲν μεῖον γέγονεν ἀπὸ τοῦ μῆκος, ἢ ἀπὸ τῆς μιᾶς, τῆς γὰρ μιᾶς οὐδέν ἐστιν ἐλαττότερον. ἢ ἀπὸ τοῦ μέρος, μέριον, καὶ κατὰ συγκοπὴν τοῦ ρ καὶ συναιρέσει τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, μείων. τὸ δὲ πλείων, ἀπὸ τοῦ πολλὸς, πολλίων, καὶ ἐν συγκοπῇ πλείων.

232. λωβήσαιο] Ἔστι πρώτης συζυγίας τῶν περισπωμένων εὐκτικοῦ παθητικοῦ. τὸ θέμα λωβῶ, λωβήσω.

236. ἀναθηλήσει] Ἔστι τὸ θέμα ἀναθηλῶ πρώτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων ἀναθηλήσω. τὸ δὲ ἀναθηλῶ παρὰ τὸ θάλλω, ὁ μέλλων θαλῶ, καὶ ἐξ αὐτοῦ ῥῆμα τροπῇ τοῦ α εἰς η θηλῶ, καὶ μετὰ τῆς ἀνα προθέσεως ἀναθηλῶ.

Ib. ἔλεψε] Ῥῆμα λεπῶ, πρώτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων λεπήσω, ὁ ἀόριστος ἐλέπησα, καὶ τὸ τρίτον ἐλέπησε, καὶ κατὰ συγκοπὴν τοῦ η καὶ κράσει τοῦ π καὶ σ εἰς ψ, ἔλεψε.

239. εἰρύαται] Ἔστι τὸ θέμα εἴρυμι, ἐκ τοῦ εἰρύω γέγονεν, ὁ μέλλων εἰρύσω, εἴρυκα, εἴρυμαι, εἴρυται, καὶ Ἰακῶς εἰρύαται.

243. ἀμύξεις] Ἔστι μέλλοντος πρώτου τὸ θέμα ἀμύσσω.

245. ποτὶ] Ἔστι πρόθεσις Δωρικὴ, ἡ γὰρ πρὸς πρόθεσις Δωρικῷ ἔθει μεταβάλλει τὸ σ εἰς τ. καὶ ἐπειδὴ οὐ δύναται λέξις Ἑλληνικὴ εἰς τ καταλήγειν, πλεονάζει τὸ ι, καὶ ἀποβάλλει τὸ ρ.

Ib. σκῆπτρον] Παρὰ τὸ σκέπεσθαι καὶ ἐρείδεσθαι ἐν αὐτῷ.

γέγονε σκέπτον, καὶ ἐπεκτάσει τοῦ ε εἰς η, καὶ πλεονασμῷ τοῦ ρ, σκῆπτρον.

246. χρυσείοις] Δεῖ γινώσκειν ὅτι τὸ χρυσείοις διὰ τῆς ει διφθόγγου γράφεται κανόνι τοιούτῳ. τὰ διὰ τοῦ ειος μετουσιαστικὰ διὰ τῆς ει διφθόγγου γράφονται, οἷον, σιδήρειος, ἀργύρειος, μαρμάρειος, χρύσειος.

Ib. πεπαρμένον] Ἔστι παρακείμενος μετοχῆς παθητικῆς. τὸ θέμα πείρω, τὸ σημαῖνον τὸ κεντῶ, ὁ μέλλων περῶ, ὁ παρακείμενος πέπαρκα, πέπαρμαι, ἡ μετοχὴ πεπαρμένος καὶ πεπαρμένον.

Ib. ἕζετο] Παρατατικὸς παθητικὸς κατὰ συστολὴν τῆς ἀρχούσης τοῦ εἵζετο. γέγονε δὲ ἐκ τοῦ ἕω τὸ καθέζομαι κατὰ πλεονασμὸν τοῦ ζ, ἕζω, εἷζον, καὶ τὰ λοιπὰ δῆλα.

248. ἀνώρουσε] Ἔστιν ἀορίστου πρώτου τὸ θέμα ὀρούω, ὁ μέλλων ὀρούσω, ὁ ἀόριστος ὤρουσα, καὶ τὸ γ ὤρουσε, καὶ μετὰ τῆς ἀνα προθέσεως ἀνώρουσε, σημαίνει δὲ τὸ ἀνώρμησε.

251. ἐφθίατο] Ἔστι τὸ θέμα φθείω τὸ σημαῖνον τὸ φθείρω, ἔνθεν καὶ φθινόπωρον καὶ φθίσις. τοῦ ὑπερσυντελικοῦ παθητικοῦ τὸ τρίτον πρόσωπον ἔφθιντο, καὶ Ἰωνικῶς, καθ' ὑποστολὴν τοῦ ν καὶ πλεονασμῷ τοῦ α, ἐφθίατο.

Ib. ἅμα] Δεῖ γινώσκειν ὅτι τὸ ἅμα ἐπὶ καιροῦ λαμβάνεται, τὸ δὲ ὁμοῦ ἐπὶ τόπου.

Ib. τράφεν] Ἔστιν ἀορίστου β' παθητικοῦ τρίτου προσώπου τῶν πληθυντικῶν Δωρικῶς καὶ Ἰωνικῶς, ἀντὶ τοῦ ἐτράφησαν.

255. ἦ κεν] Ἐστὶ σύνδεσμος διαβεβαιωτικὸς, καὶ δεῖ προπερισπᾷν αὐτόν.

Ib. γηθῆσαι] Εὐκτικόν ἐστι, καὶ παροξύνεται.

256. κεχαροίατο] Μέσου ἀορίστου δευτέρου εὐκτικοῦ παθητικοῦ τρίτου προσώπου Ἰωνικοῦ ἐκ τοῦ χαίρω γενόμενον.

257. πυθοίατο] Καὶ τοῦτο γέγονεν ὁμοίως ἀπὸ τοῦ πεύθω, ὁ δεύτερος ἀόριστος ἔπυθον, καὶ ἐπυθόμην, τὸ εὐκτικὸν πυθοίμην, πύθοιντο καὶ πυθοίατο.

Ib. μαρναμένοιϊν] Ἔστι τῶν εἰς μι παράγωγον, τὸ δὲ πρωτότυπον αὐτοῦ ἐστὶν μαρνῶ, δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ παράγωγον μάρνημι, μάρναμαι, καὶ ἡ μετοχὴ μαρνάμενος, καὶ μαρνάμενοι.

258. οἳ περὶ μὲν βουλῇ] Εἴτε ἀνθ' ἑτέρας κεῖται προθέσεως ἢ περι, τὸν ἴδιον τόνον φυλάττει. πρόθεσις γὰρ ἀντὶ προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει. οὐ γὰρ ἔχει καὶ τὸ

ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων.

259. ἄμφω] Ἔστιν εὐθεῖα τῶν δυϊκῶν, καὶ ἔστι θεματικὸν, τουτέστιν οὔτε ἑνικὸν οὔτε πληθυντικὸν ἔχει.

Ib. ἐστὸν] Ἐκ τῶν εἰς μι δευτέρου προσώπου, ἐσμὶ, τὸ δυϊκὸν ἐστὸν, ἐστόν.

260. ἤδη] Τοῦτο ἀόριστον ἐστὶ, καὶ χρόνον δηλοῖ. ἐπὶ μὲν γὰρ τοῦ παρῳχημένου χρόνου,

ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέπερ ὑμῖν.

ἐπὶ δὲ ἐνεστῶτος

ἤδη γὰρ νύ μοι τόδε εἰκοστὸν ἔτος ἐστίν.

ἐπὶ δὲ μέλλοντος

ἤδη λοίγια ἔργα τάδ' ἔσσεται.

261. ἀθέριζον] Ἔστιν παρατατικὸς συστολῇ τῆς ἀρχούσης. τὸ θέμα ἀθερίζω.

263. Πειρίθοον] Διὰ τῆς ει διφθόγγου γράφεται. ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς ἵππῳ περιέτρεχε τὴν μητέρα τούτου, καὶ οὕτω συνεγένετο αὐτῇ, καὶ ἐκεῖθεν οὗτος ἐτέχθη. παρὰ τὸ συμπεριθέειν γέγονε περίθους, καὶ πλεονασμῷ τοῦ ι Πειρίθους. ἄλλως τε δὲ ἐπειδὴ οἱ Δωριεῖς τὴν ει δίφθογγον ἔθος ἔχουσιν εἰς η τρέπειν, οἷον πλήων πλείων. τοῦτο δὲ κατὰ δύο τρόπους ἡμάρτηται, πρῶτον μὲν ὅτι οὐδέποτε ἡ πρόθεσις πλεονάζει τὸ ι, δεύτερον δὲ ὅτι διὰ τοῦ ει γράφεται παρὰ τοῖς Δωριεῦσιν· οὐδέποτε δὲ οἱ Δωριεῖς τὴν ει δίφθογγον εἰς τὸ η ἔχουσι ἀπὸ πλεονασμοῦ τὸ ι, οἷον, ξένος, ξεῖνος λέγουσι, καὶ οὐ λέγουσι ξῆνος διὰ τοῦ η. εἰ οὖν τὸ Πειρίθους ἀπὸ πλεονασμοῦ ἔχει τὸ ι, δῆλον ὅτι παραλόγως παρὰ τοῖς Δωριεῦσι διὰ τοῦ η γράφεται.

267. ἔσαν] Ἔστιν ἀορίστου δευτέρου τῶν εἰς μι τρίτου προσώπου τῶν πληθυντικῶν κατὰ συστολὴν τοῦ η εἰς ε. ἔστι δὲ καὶ παρατατικός.

268. ὀρεσκῴοισι] Ἀπὸ τοῦ κείω, τοῦ σημαίνοντος τὸ κοιμῶμαι, καὶ τὸ ὄρος, γέγονεν ὀρέσκειος, καὶ τροπῇ τοῦ ε εἰς ο, ὀρέσκοιος, καὶ ἐκτάσει τοῦ ο εἰς ω, καὶ μεταθέσει τοῦ τόνου ὀρεσκῷος καὶ

μένει τὸ ι προσγεγραμμένον. προπερισπᾶται δὲ διὰ τὸν χαρακτῆρα τὸν λέγοντα, τὰ διὰ τοῦ ῳος κτητικὰ ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὸ ι κατὰ τὴν παραλήγουσαν, προπερισπῶνται, οἷον Ἀχελῷος ἡρῷος, ἀθῷος, παπῷος, χωρὶς τοῦ κολωὸς, σημαίνει δὲ τὸν θόρυβον.

270. γαίης] Ἔστι γέω ῥῆμα τὸ σημαῖνον τὸ τίκτω, ἐξ οὗ καὶ γίνεται γέα διὰ τοῦ ε ψιλοῦ, οἱονεὶ ἡ γεννητικὴ, ἐκ ταύτης τῆς λέξεως γίνεται γεωμέτρης, γεωλόφος καὶ γεωργός. τοῦτο τὸ γέα γίνεται κατὰ κρᾶσιν τοῦ ε καὶ α εἰς η γῆ, καὶ περισπᾶται κατὰ τὸν κανόνα τὸν λέγοντα, πᾶσα συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ. ἐξ οὗ γίνεται τὸ γήπεδον, καὶ γηγενὴς, καὶ γηπόνος. ἐκ τούτου τοῦ γῆ γίνεται ἄλλη παραγωγὴ διὰ τῆς αι διφθόγγου, οἷον γαῖα, ὥσπερ ἀπὸ τοῦ σελήνη, σεληναία, καὶ Ἀθήνη, Ἀθηναία, καὶ ἀρχὴ, ἀρχαία. καὶ ὤφειλεν μακρὸν ἔχειν τὸ α. αἱ γὰρ τοιαῦται παραγωγαὶ μακρὸν ἔχουσι τὸ α, οἷον Ἀθήνη, Ἀθηναία καὶ τὰ ὅμοια. ἀλλ' ἔστι βραχὺ, σεσημείωται γὰρ τὸ μαῖα καὶ γαῖα.

272. μαχέοιντο] Ἐνεστῶτος καὶ παρατατικοῦ εὐκτικοῦ παθητικοῦ τρίτου προσώπου τῶν πληθυντικῶν, πρώτης συζυγίας τῶν περισπωμένων.

273. ξύνιον] Ἔστι παρατατικοῦ

εἰ δε π^ε μεν ξύνιον.

275. αἵρεο] Ἔστιν ἐνεστὼς καὶ παρατατικὸς προστακτικοῦ παθητικοῦ κατὰ διάλυσιν, καὶ ἔστι πρώτης συζυγίας τῶν περισπωμένων.

276. ἔα] Ἐνεστῶτος καὶ παρατατικοῦ προστακτικοῦ ἐνεστὼς, ἀπὸ τοῦ ἔω δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ τὰ λοιπὰ δῆλα.

278. ἔμμορε] Ἔστι μέσου παρακειμένου τρίτου προσώπου τῶν ἑνικῶν, ἀπὸ τοῦ μείρω τοῦ σημαίνοντος τὸ μερίζω, ἀφ' οὗ καὶ μέρος· ὁ μέλλων μερῶ, ὁ μέσος παρακείμενος μέμορα, τὸ τρίτον μέμορε, καὶ καθ' ὑπερβιβασμὸν τοῦ ε, ἔμμορε.

280. γείνατο] Ἔστι μέσου ἀορίστου πρώτου, γέγονε δὲ ἐκ τοῦ γέω τοῦ σημαίνοντος τὸ τίκτω, ἐξ οὗ γίνεται γέα, διὰ τοῦ ε ψιλοῦ, οἱονεὶ γεννητικόν. τοῦτο τὸ γέω γίνεται κατὰ πλεονασμὸν τοῦ ν γένω, ὁ μέλλων γενῶ, ὥσπερ μείνω, μενῶ, καὶ νέμω, ὁ

ἀόριστος ἔνεμα, καὶ πλεονασμῷ τοῦ ι ἔνειμα. οὕτω καὶ τὸ ἐγείνατο, καὶ ἀφαιρέσει τοῦ ε γείνατο.

283. μεθέμεν] Ἔστιν ἀπαρέμφατον Ἰωνικὸν ἢ Δωρικὸν ἐνεστῶτος καὶ παρατατικοῦ πρώτης συζυγίας τῶν περισπωμένων, οἷον μεθῶ, ὁ μέλλων μεθήσω, καὶ τὰ λοιπὰ δῆλα.

292. ὑποβλήδην] Παρὰ τὸ βάλλω ῥῆμα κατὰ συγκοπὴν βλῶ, ὁ μέλλων βλήσω, καὶ ῥηματικὸν ἐπίρρημα βλήδην, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὑποβλήδην.

295. ἐπιτέλλεο] Ἔστιν προστακτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ παθητικοῦ δευτέρου προσώπου κατὰ διάλυσιν, τὸ θέμα τέλλω τὸ προστάσσω.

302. πείρησαι] Σημαίνει τὸ ἀπόπειραν ποιῆσαι, προπαροξυτόνως ἀναγνωστέον, προστακτικὸν γάρ ἐστι καὶ οὐκ ἀπαρέμφατον.

Ib. γνώωσιν] Ὑποτακτικόν ἐστιν ἐνεστῶτος καὶ παρατατικοῦ, τὸ θέμα γνώω ἕκτης συζυγίας τῶν βαρυτόνων, ὁ παθητικὸς παρακείμενος ἔγνωσμαι, μετὰ τοῦ σ, καὶ ὁ ἀόριστος πρῶτος ἐγνώσθην.

303. ἐρωήσει] Σημαίνει δὲ τὸ περιρρυήσεσθαι. καὶ ἔστι μέλλων πρῶτος πρώτης συζυγίας τῶν περισπωμένων. ἐρωῶ, ἐρωεῖς, καὶ ἐρωήσω, καὶ ἐρωήσει.

311. ἧσε[y]] Ἀορίστου πρώτου ἀπὸ τοῦ ἕω τοῦ σημαίνοντος τὸ καθέζομαι, καὶ κατὰ πλεονασμὸν τοῦ ζ ἕζω, ὁ μέλλων ἕσω, ὁ ἀόριστος ἧσα, καὶ τὸ τρίτον ἧσε. ἕζω οὖν ὁ παρατατικὸς εἷζον. δεῖ δὲ εἰδέναι ὅτι τὰ ἀπὸ τοῦ ε ἀρχόμενα ῥήματα, ἐὰν εὑρεθῶσιν ὑπὲρ δύο συλλαβὰς, τρέπουσι τὸ ε εἰς τὸ η ἐν τῷ παρατατικῷ, οἷον ἑρμηνεύω, ἡρμήνευον· ἐλέγχω, ἤλεγχον. χωρὶς τοῦ ἐθίζω, εἴθιζον· ἐργάζομαι, εἰργαζόμην· ἑστιῶ εἱστίων, τὸ κῶ[z] καὶ ἀριστοποιῶ δευτέρας συζυγίας τῶν περισπωμένων· ἐρύω, εἴρυον· ἑλκύω, εἵλκυον· ἑρπύζω, εἵρπυζον τὸ βαδίζω. τὰ δὲ δισύλλαβα, εἰ μὲν περιτρέπουσι τὸ ε εἰς τὸ η, οἷον, ἐρῶ τὸ ἐπιθυμῶ, ἐρᾷς, ἤρων· ἑψῶ, ἑψεῖς, ἥψουν· ἑλκῶ, ἑλκοῖς, εἵλκουν, ὃ δηλοῖ τὸ ἐτραυμάτισα. χωρὶς τοῦ ἐῶ, ἐᾷς, εἴων· ἐλῶ τὸ θέλω, εἵλουν, ἐξ οὗ καὶ τὸ "εἵλου "γάρ μου τὴν ψυχήν·" ἐρῶ τὸ σημαῖνον τὸ λέγω, ἐρεῖς, εἴρουν,

[y] Leg. εἷσεν.   [z] Sic. An κωμάζω?

ἐξ οὗ καὶ τὸ εἴρηκα παρακείμενος· ἕλκω, εἷλκουν, τὸ ἔσυρον ἐπὶ τῆς πρώτης συζυγίας τῶν περισπωμένων. τὰ δὲ δισύλλαβα καὶ τὰ βαρύτονα τρέπουσι τὸ ε εἰς τὸ η, ἔρδω, ἧρδον· ἔσθω, ἦσθον, πλὴν τοῦ ἔχω, εἶχον· ἕλκω, εἷλκον· ἕρπω, εἷρπον· ἔπω, εἶπον, ἐπὶ τοῦ λέγω ψιλούμενον, ἕπω, εἵπον, ἐπὶ τοῦ ἀκολουθῶ καὶ δασύνεται· ἕλω, εἷλον τὸ λαμβάνω καὶ τὸ φονεύω, ἔνθεν ἀνεῖλον· ἔθω, εἶθον, τὸ ἐξ ἔθους τί ποιῶ, ἐξ οὗ καὶ ὁ μέσος παρακείμενος εἶθα, καὶ κατὰ πλεονασμὸν τοῦ ω εἴωθα· ἕω, εἷον τὸ ἐνδύομαι, οὗ ἡ μετοχὴ τοῦ παθητικοῦ παρακειμένου εἷμενος· ἕζω, εἷζον, τὸ καθέζομαι.

313. ἄνωγεν] Γ' προσώπου κατὰ συστολὴν τοῦ η ἔστι πρώτης συζυγίας τῶν περισπωμένων. ἔστι γὰρ τὸ θέμα ἀνωγῶ, ὁ παρατατικὸς ἠνώγουν, ἠνώγεις

δεῖξαι δ' ἠνώγει ᾧ πενθερῷ.

ὁ μέλλων ἀνωγήσω, ὁ ἀόριστος ἠνώγησα, ὁ δεύτερος ἤνωγον, ὥσπερ ὀλισθῶ, ὤλισθον, καὶ ἁμαρτῶ, ἁμαρτήσω, ὁ β' ἀόριστος ἥμαρτον, οὕτως οὖν ἤνωγον, καὶ κατὰ συστολὴν ἄνωγεν, ἐφελκύσει τοῦ ν.

315. ἔρδον] Ἔστι τὸ θέμα ῥέζω, τοῦτο γίνεται Βοιωτικῶς ῥέδω, καὶ καθ' ὑπέρθεσιν τοῦ ε ἔρδω, ὁ παρατατικὸς ἧρδον, καθ' ὑποστολὴν τοῦ ε, ἔρδον.

317. κνίσῃ] Ὅ ἐστιν ἡ ἀναθυμίασις, γέγονεν οὖν ἀπὸ τοῦ κνίζω ἐνεστῶτος, ὁ μέλλων κνίσω. πλεῖστα γὰρ ὀνόματα ἀπὸ μέλλοντος γίνονται, οἷον, ἅψω, ἁψὶς, λέξω, λέξις, ποιήσω, ποίησις· δόξω δόξα, ἄξω ἄξα· καὶ μετὰ τοῦ ἅμα ἀθροιστικοῦ μορίου, ἅμαξα, οὕτως οὖν καὶ κνίσω, κνίσα, ὁμοίως καὶ τὸ κνισμὸς ἀπὸ τούτου γέγονεν, ὡς λογίσω, λογισμός. τὸ κνίσα οὖν τὸ ι καὶ τὸ α βραχὺ ἔχει· καὶ τὸ μὲν ι, ἐπειδὴ τὰ διὰ τοῦ ιζω ῥήματα τὸ ι βραχὺ ἔχει, πλὴν τοῦ δανείζω καὶ χρήζω. ταῦτα ἐπειδὴ τὰ εἰς α θηλυκὰ ἀπὸ μέλλοντος ἢ ἐνεστῶτος γινόμενα, βραχὺ ἔχει τὸ α, οἷον δόξω δόξα, ἄξω ἄξα, καὶ ἅμαξα, μῶ τὸ ζητῶ, ὁ μέλλων μώσω καὶ μοῦσα. ἐκτέταται ποιητικῶς τὸ κνι. δοκεῖ δὲ ἡ λέξις τέσσαρα σημαίνειν, ὡς καὶ τῷ Πορφυρίῳ δοκεῖ. αὐτό τε τὸ λίπος, καὶ τὸν ἐπίπλουν, καὶ τὸ κρέας, καὶ τὴν ἀναθυμίασιν.

Ib. ἑλισσομένη] Ἔστι μετοχὴ παθητικὴ θηλυκή. τὸ θέμα ἑλίσσω καὶ ἑλίσσομαι καὶ ἑλισσόμενος καὶ ἑλισσομένη.

318. πένοντο] Ἔστι τὸ θέμα πένω τὸ δηλοῦν τὸ ἐνεργῶ καὶ κάμνω, ἀφ' οὗ πόνος καὶ κατὰ πλεονασμὸν τοῦ τ πόντος, καθ' ὃν πεπόνηται τὸ τῶν ἀνθρώπων γένος περὶ τὸν πλοῦν. πόνων οὖν ἐπώνυμος ὁ πόντος· οὕτω Φιλόξενος. ὁ δὲ Ἡρωδιανὸς ἐν τοῖς Ἐπιμερισμοῖς αὐτοῦ λέγει, ὅτι παρὰ τὸ πνέω γέγονε πνότος, καὶ μεταθέσει τοῦ ο πόντος, ἀφ' οὗ αἱ πνοαί·

αἶψα δὲ πόντου ἵκανον ἀήμεναι.

ὁ παθητικὸς ἐνεστὼς πένομαι, τὸ γ πρόσωπον πένοντο.

321. ἔσαν] Ἔστι παρατατικὸς τῶν εἰς μι γ προσώπου τῶν πληθυντικῶν κατὰ συστολὴν τοῦ η εἰς ε.

Ib. ὀτρηρώ] ὀτρηρός ἐστιν ὁ δραστικὸς, ὁ μὴ ἀναμένων παροτρυνθῆναι παρά τινος, ἀλλὰ δι' ἑαυτοῦ παροτρυνόμενος ἅπαντα ποιεῖν. γέγονε δὲ παρὰ τὸ τρέω τὸ φοβοῦμαι, καὶ τρερὸς, καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η τρηρὸς ὁ δειλός· οὗ παρώνυμον τρήρων, καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρηρὸς, τουτέστιν ὁ δραστικὸς καὶ ἐρώμενος[a] τὴν γνώμην καὶ μὴ δειλὸς, καὶ τροπῇ τοῦ α εἰς ο ὀτρηρός· ἀτρεὺς δὲ κατὰ στέρησιν τοῦ τρεῖν ἐγένετο, ὅ ἐστι φοβεῖσθαι, καὶ μεταθέσει πάλιν τοῦ α εἰς ο Ὀτρεὺς, οὗ ἡ γενικὴ Ὀτρῆος,

λαοὺς Ὀτρῆος καὶ Μυγδόνος.

322. ἔρχεσθον] Προστακτικὸν παθητικὸν ἐνεστῶτος καὶ παρατατικοῦ ἀπὸ τοῦ ἔρχω, ὅπερ ἄρρητον, τὸ παθητικὸν ἔρχομαι, ὁ παρατατικὸς ἠρχόμην, ἤρχου, καὶ τὸ προστακτικὸν ἔρχου, καὶ τὸ β τῶν πληθυντικῶν ἔρχεσθον.

324. δῴησι] Ἀορίστου δευτέρου ἐστὶ τῶν εἰς μι εὐκτικὸν, ἡ μετοχή ἐστιν δοὺς, δόντος, δοίην τὸ εὐκτικὸν, τὸ β δοίης, καὶ τὸ γ δοίη, καὶ κατ' ἐπέκτασιν τοῦ ο εἰς ωι δῴη, καὶ πλεονασμῷ τῆς σι συλλαβῆς, δῴησιν, ἔχει ἐν τῷ δῷ τὸ ι, ἐν δὲ τῷ η οὐδαμῶς. εἰ δὲ ἐστὶν ὑποτακτικὸν, γέγονεν ἀπὸ τοῦ δώω ἕκτης συζυγίας, οὗ ὁ μέλλων δώσω, τὸ ὑποτακτικὸν τοῦ ἐνεστῶτος ἐὰν δώω, τὸ β ἐὰν δώῃς, καὶ τὸ γ δώῃ, καὶ προσθέσει τῆς σι συλλαβῆς, ἐὰν δώῃσι.

326. προΐει] Ἔστι παρατατικὸς ἀπὸ τοῦ ἰῶ τὸ πέμπω, πρώ-

[a] Leg. ἐρρωμένος.

της συζυγίας τῶν περισπωμένων. ὁ παρατατικὸς ἴεον ἴουν, ἴεες ἴεις, ἴεε ἴει, καὶ μετὰ τῆς προ προθέσεως προΐει.

327. *βάτην*] Παρατατικὸς γ προσώπου τῶν δυϊκῶν, παρὰ τὸ βίβημι, ὅπερ ἀπὸ τοῦ βῶ, ὁ παρατατικὸς ἔβην, τὸ β τῶν δυϊκῶν ἐβάτην, καὶ ἀφαιρέσει τοῦ ε, βάτην.

330. *ἥμενον*] Ἐνεστῶτος καὶ παρατατικοῦ μετοχὴ τῶν εἰς μι· τὸ θέμα αὐτοῦ ἑῶ περισπώμενον, τὸ σημαῖνον τὸ καθέζομαι, τούτου παράγωγον ἕημι, ὁ ἐνεστὼς παθητικὸς ἕεμαι, καὶ κράσει τῶν β εε εἰς η, ἡ μετοχή ἥμενος, καὶ ἐν συνθέσει καθήμενος, καὶ τὰ λοιπὰ δῆλα.

331. *αἰδομένω*] Ἔστι μετοχὴ ἐνεστῶτος καὶ παρατατικοῦ εὐθεῖα τῶν δυϊκῶν, ἔστι τὸ θέμα αἰδῶ πρώτης συζυγίας τῶν περισπωμένων, ὁ παθητικὸς αἰδοῦμαι, ἡ μετοχὴ ὁ αἰδούμενος, καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν αἰδουμένω, καὶ κατὰ συγκοπὴν τοῦ υ, αἰδομένω.

335. *ὔμμες*] Ψιλοῦται, Αἰολικὸν γάρ ἐστι, καὶ ἐκ τῆς συναλειφῆς δείκνυται·

αἴκ' ὔμμι ὑπέρσχῃ χεῖρα Κρονίων.

341. *χρεώ*] Ἀντὶ τοῦ χρεία ἔστιν ὄνομα θηλυκὸν, ὥσπερ τὸ Κλειὼ, οὕτως καὶ τὸ χρειώ.

347. *ἴτην*] Ἔστι χρόνου παρατατικοῦ τῶν εἰς μι γ προσώπου τῶν δυϊκῶν. γέγονε δὲ ἀπὸ τοῦ ἵημι τοῦ σημαίνοντος τὸ πορεύομαι, καὶ κατὰ συγκοπὴν τοῦ η, ἵμι, ὁ παρατατικὸς ἶν, τὸ β ἶς, καὶ τὸ δυϊκὸν ἶτον, ἴτην, ἐξ οὗ καὶ τὸ ἴθι.

348. *κίεν*] Ἀορίστου δευτέρου τρίτου προσώπου· ἔστι τὸ θέμα κίω, τὸ σημαῖνον τὸ πορεύομαι, ὁ μέσος παρακείμενος κέκια, ὁ β ἔκιον, καὶ τὸ γ ἔκιε.

349. *ἄφαρ*] Ἐπίρρημα ποιότητος ἀντὶ τοῦ εὐθέως.

Ib. *λιασθείς*] Ἔστι τὸ θέμα λιάζω, ὁ μέλλων λιάσω, σημαίνει δὲ τὸ ἐγκλίνω καὶ ἐκφεύγω καὶ πλανῶ· ὁ παρακείμενος λελίακα, λελίασμαι, ἐλιάσθην, καὶ ἡ μετοχὴ λιασθείς.

350. *θῖν' ἐφ' ἁλός*] Τῇ θινὶ τὸ πολιὸν ἁρμόζει, τῷ δὲ πόντῳ ὁ οἶνοψ.

351. *ἠρήσατο*] Ἔστι μέσου ἀορίστου πρώτου δευτέρας συζυγίας τῶν περισπωμένων, ἀπὸ τοῦ ἀρῶ ἐνεστῶτος, οὗ ὁ παθητικὸς

ἐρῶμαι, καὶ ἐν συνθέσει καταρῶμαι, καὶ τὸ γ καταρᾶται, ὁ μέλλων ἐνεργητικὸς ἀρήσω, καὶ Ἀττικῶς ἀράσω, κοινῶς ὁ ἀόριστος ἤρησα, καὶ ὁ μέσος ἠρησάμην, καὶ τὸ γ ἠρήσατο.

351. ὀρεγνύς] Ἔστι μετοχὴ ἐνεστῶτος καὶ παρατατικοῦ τῶν εἰς μι· [ἐνεστώς] ἔστι τὸ θέμα ὀρεγνύω, καὶ τὸ παράγωγον ὀρέγνυμι, καὶ ἡ μετοχὴ ὀρεγνύς.

353. ὄφελλεν] Ἀντὶ τοῦ ἐχρεώστει, παρὰ τὸ ὀφείλω γέγονεν, ὅθεν καὶ ὀφειλὴ τὸ χρέος ὀξυτόνως διὰ τῆς ει διφθόγγου γράφεται. ὥσπερ γὰρ ἀπὸ τοῦ ἀπειλῶ γίνεται ἀπειλὴ, οὕτω καὶ ἀπὸ τοῦ ὀφείλω ὀφειλή. ὀφείλω οὖν ἐν συστολῇ, καὶ μετὰ ἀναδιπλασιασμοῦ τοῦ λ ὀφέλλω, ὁ παρατατικὸς ὤφελλον, καὶ τὸ γ ὤφελλε καὶ συναρχομένως.

Ib. ἐγγυαλίξαι] Τὸ εἰς χεῖρας παρασχεῖν, ἐγχειρίσαι· ἔστι ῥῆμα γῶ τὸ χωρῶ, ἐξ οὗ γυῖον τὸ κοῖλον τῆς χειρὸς, γυῖα γὰρ οἱ πόδες καὶ αἱ χεῖρες καλοῦνται. ἀφ' οὗ καὶ γῆ ἡ πάντα χωροῦσα, καὶ πάντα λαμβάνουσα. οὗ παράγωγον γυῖα, τοῦτο δὲ πάλιν ποιεῖ παράγωγον κατὰ πλεονασμὸν τοῦ αλ γυαλίζω, ὡς Φιλόξενος ἐν τῷ περὶ ἀναδιπλασιασμῶν, καὶ μετὰ τῆς εν προθέσεως ἐγγυαλίζω, ὁ ἀόριστος ἠγγυάλιξα, καὶ τὸ ἀπαρέμφατον ἐγγυαλίξαι.

356. ἠτίμησεν] Ἔστιν ἐνταῦθα πρώτης συζυγίας τῶν περισπωμένων Αἰολικῶς, ἀτιμεῖς γάρ φασιν οἱ Αἰολεῖς, οἱ δὲ Ἀττικοὶ ἀτιμοῖς, ἀφ' οὗ καὶ τὸ ἠτιμώθη, καὶ ἠτιμωμένος μετοχὴ τοῦ παθητικοῦ παρακειμένου· Ἴωνες ἀτιμᾷς.

Ib. ἀπούρας] Παρὰ τὸ αὐρεῖν, ὃ σημαίνει τὸ ἀπολαύειν, ἔνθεν σύνθετον ἐπαυρῶ, καὶ "ἐπαυρήσασθαι ὀΐω." ἔστι τὸ θέμα αὐρῶ πρώτης συζυγίας τῶν περισπωμένων τὸ σημαῖνον τὸ ἀπολαύω, ὁ μέλλων αὐρήσω, ὁ ἀόριστος ηὔρησα, ἡ μετοχὴ αὐρήσας, καὶ κατὰ συγκοπὴν αὔρας, καὶ τροπῇ τοῦ α εἰς ο οὔρας, καὶ ἐν συνθέσει ἀπούρας· οἷον ἀφελόμενος τὴν ἀπόλαυσιν μετὰ τοῦ γέρως ἔχει. δεῖ δὲ γινώσκειν ὅτι ἐστὶ καὶ δευτέρας συζυγίας, ὅτε σημαίνει τὸ ἀφείλαντο· οἱ δὲ ἀπὸ μεταφορᾶς τῶν ἀποσπώντων τοὺς ὅρους τινὸς, ἀπουρήσας, καὶ ἐν συγκοπῇ ἀπούρας.

357. πότνια] Διὰ τοῦ ι. ἐπειδὴ τὰ διὰ τοῦ ια προπαροξύτονα ὑπεσταλμένων τῶν διὰ τοῦ τρία διὰ τῆς ει διφθόγγου γράφονται, οἷον ἀναίδεια, φληνάφεια, ἐνέργεια καὶ τὰ ὅμοια. πρόσκειται ὑπε-

σταλμένων τῶν διὰ τοῦ τρία, οἷον Ἐρέτρια, λεκάστρια, σημαίνει δὲ τὴν πόρνην, μονάστρια, ψάλτρια. καὶ χωρὶς τοῦ πότνια, Πολύμνια, Λάμια, Ἰάμνια, Ὄπνια[b], σημαίνει δὲ τὴν Δήμητραν. δεῖ προσθεῖναι[c] καὶ χωρὶς Ἀκυλήϊα[d], ἔστι δὲ ὄνομα πόλεως· τὸ δὲ Καλαύρεια παρὰ μὲν Ἀπολλωνίῳ καὶ Καλλιμάχῳ διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ δὲ Διονυσίῳ διὰ συνεσταλμένου τοῦ ι, οἷον Καλαύριά τε τρηχεῖα[e]· ἔστι δὲ ὄνομα πόλεως· τὸ δὲ Θέσπεια ὅπερ Ὦρος[f] διὰ τῆς ει διφθόγγου γράφει[g] τῷ κανόνι τῶν παροξυνομένων, ὃν καὶ προείπομεν· ὁ δὲ Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ λέγει, ὅτι διὰ τοῦ ι γράφεται, ἐπειδὴ εὕρηται καὶ συνεσταλμένη ἡ πι συλλαβὴ, οἷον ὡς παρὰ[h] Κορίννῃ[i]

Θέσπια, καλλιγένεθλε, φιλόξενε, μουσοφίλητε[j].

359. καρπαλίμως] Ὥσπερ παρὰ τὸ κάπω, καπνὸς, καὶ ὥσπερ γίνεται ἀπὸ τοῦ γόνος, γόνιμος, καὶ ἀπὸ τοῦ πομπὸς, πόμπιμος, οὕτω καὶ τοῦ καρπνὸς, κάρπνιμος, καὶ ἀποβολῇ τοῦ ν, καὶ πλεονασμῷ τῶν αα καρπάλιμος, "καρπαλίμοισι πόδεσσι."

Ib. ἀνέδυ] Ἔστιν ἀορίστου β τῶν εἰς μι δ συζυγίας, τὸ πρωτότυπον δύω, τὸ παράγωγον δῦμι, ὁ μέλλων δύσω, ὁ β ἀόριστος ἔδυν, καὶ τὸ γ ἔδυ, καὶ μετὰ τῆς ἀνὰ προθέσεως ἀνέδυ, ὥσπερ κατέδυ.

361. κατέρεξεν] Ἔστιν ἀορίστου πρώτου τὸ θέμα ἐρέζω, ὁ μέλλων ἐρέξω, ὁ ἀόριστος ἤρεξα, καὶ κατὰ συγκοπὴν ἔρεξα.

365. οἶσθα] Ἔστιν ἐνεστὼς τῶν εἰς μι β προσώπου· τὸ θέμα εἴδω, τὸ σημαῖνον τὸ ἐπίσταμαι καὶ γινώσκω, τούτου παράγωγον εἴδημι, τὸ β εἴδης, καὶ κατὰ πλεονασμὸν τῆς θα συλλαβῆς εἴδησθα, καὶ τροπῇ τοῦ ε εἰς ο Αἰολικῶς καὶ ἐν συγκοπῇ τῆς δη συλλαβῆς οἶσθα. καὶ ἄλλως· τὸ θέμα εἰδῶ, τὸ σημαῖνον τὸ ὁμοιῶ, τὸ ἐπίσταμαι καὶ γινώσκω, ὁ μέσος παρακείμενος οἶδα, τοῦτο τὸ οἶδα οἱ Αἰολεῖς οἴδημι λέγουσι, τὸ β οἴδης, καὶ κατὰ πλεονασμὸν τῆς θα συλλαβῆς οἴδησθα, καὶ κατὰ συγκοπὴν οἶσθα.

[b] Leg. Ὄμπνια. [c] προσθῆναι Cod. [d] ἀκλήϊα. [e] τετρίχια bis Cod. [f] ὅρος Cod. [g] γράφεται Cod. [h] ὥσπερ Cod. [i] κορίνη. [j] In alio loco μοῦσα ὤφιλετας. Cf. Schol. Hom. Cod. 2556. p. 136. et Epimer. Hom. Anecd. Oxon. t. I. p. 370, 17.

εἰδυίῃ] Ἔστι μετοχὴ μέσου παρακειμένου, τὸ θέμα εἴδω, τὸ σημαῖνον τὸ ἐπίσταμαι, ὁ μέσος παρακείμενος εἶδα, ἀτρέπτως, ἡ μετοχὴ εἰδὼς εἰδυῖα, καὶ εἰδυίῃ ἡ δοτική.

366. ᾠχόμεθα] Ἔστι παρακείμενος παθητικὸς πρώτου προσώπου τῶν πληθυντικῶν, τὸ θέμα οἴχω τὸ πορεύομαι, τὸ παθητικὸν οἴχομαι, ὁ παρατατικὸς ᾠχόμην, τὸ πρῶτον τῶν πληθυντικῶν ᾠχόμεθα.

Ib. ἐς Θήβην] Ἰστέον ὅτι Θῆβαι αἱ Ὑποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ ζ, καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ δ καὶ ἐν τῇ ε, καὶ αἱ τῆς Αἰγύπτου, ὧν μέμνηται ἐν τῷ ι.

367. ἤγομεν] Ἔστιν ἀορίστου δευτέρου, ἔστιν ὅτε πολλάκις κατὰ πλεονασμὸν τῆς γα συλλαβῆς ἠγάγομεν.

368. υἷες] Ὀνόματος εὐθεῖα τῶν πληθυντικῶν υἱέες, καὶ κατὰ συγκοπὴν υἷες.

380. χωόμενος] Ἕκτης συζυγίας τῶν βαρυτόνων τὸ ῥῆμα χώω, χώομαι, ἡ μετοχὴ χωόμενος.

381. ἦεν] Ἔστιν ἀόριστος δεύτερος γ προσώπου τῶν ἑνικῶν, τὸ θέμα ἔω τὸ ὑπάρχω, ἐξ οὗ καὶ ὁ μέσος παρακείμενος ἦα, ὡς καὶ ἡ χρῆσις δηλοῖ,

ἐπεὶ οὐκ ἀποφώλιος ἦα
οὐδὲ φυγοπτόλεμος,

καὶ ὁ β ἀόριστος ἦον, καὶ τὸ β ἦες, καὶ τὸ γ ἦε, καὶ τὸ ν ἐφελκυστικόν ἐστι τοῦ γ προσώπου, καὶ γίνεται ἦεν, καὶ κράσει ἦν, "ἐν ἀρχῇ ἦν ὁ Λόγος· ἐξ οὗ καὶ τὸ δὴν τὸ ἐπίρρημα τὸ σημαῖνον τὸ ἐπὶ πολὺν χρόνον ἦν, καὶ πλεονασμῷ τοῦ δ δὴν, τοῦ τόνου μεταβληθέντος καὶ ὀξύνεται. τὸ γὰρ ὑπάρχω ἐπὶ πολὺν χρόνον διήκει.

382. ἧκεν] Ἔστιν ἀορίστου πρώτου τῶν εἰς μι γ προσώπου τῶν ἑνικῶν, ἀπὸ τοῦ ἵημι τοῦ σημαίνοντος τὸ πέμπω, ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧκα, ὅπερ ἡμάρτηται, καὶ τὰ λοιπὰ δῆλα.

383. ἐπασσύτεροι] Γέγονε παρὰ τὸ ἆσσον ἐπίρρημα, ὃ σημαίνει τὸ ἐγγύς. ἐπασσύτεροι οὖν, τουτέστιν ἐγγὺς ἀλλήλων, καὶ ἐπάλληλοι καὶ πυκνοί. ἆσσον, ἀσσύτερος, καὶ ἐν συνθέσει ἐπασσύτερος.

386. ἱλάσκεσθαι] Ἐνεστῶτος καὶ παρατατικοῦ ἀπαρεμφάτου.

γέγονε δὲ ἀπὸ τοῦ ἱλῶ β συζυγίας τῶν περισπωμένων τοῦ σημαίνοντος τὸ ἐξιλεοῦμαι καὶ ἐξευμενίζω. ὁ μέλλων ἱλάσω, καὶ κατὰ πλεονασμὸν τοῦ κ ἱλάσκω, καὶ μετῆλθεν εἰς ἐνεστῶτα καὶ ὁ παθητικὸς ἐνεστὼς ἱλάσκομαι, καὶ τὸ ἀπαρέμφατον ἱλάσκεσθαι.

391. ἔβαν] Ἀορίστου β τῶν εἰς μι κατὰ συγκοπὴν κατὰ Δωριέας καὶ Αἰολέας· τὸ ῥῆμα βῆμι, ὁ μέλλων βήσω, ὁ ἀόριστος β ἔβην.

392. δόσαν] Ἀορίστου β κατὰ συστολὴν καὶ ἔδοσαν.

393. ἐῆος] Ἔστι γένους ἀρσενικοῦ πτώσεως γενικῆς, γέγονε δὲ ἀπὸ τοῦ ἔω τὸ ὑπάρχω, ὄνομα ῥηματικὸν ἐὺς, ὁ ἀγαθὸς καὶ προσηνὴς, καὶ ὥσπερ παρὰ τὸ ἥδω τὸ εὐφραίνω γίνεται ἡδὺς, καὶ βρίθω, βριθὺς, οὕτως οὖν καὶ παρὰ τὸ ἔω ἐὺς, τὸ γὰρ ἀγαθὸν βέβαιον καὶ ἑδραῖον ὑπάρχει· καὶ τροπῇ τοῦ ε εἰς η γίνεται ἠὺς, ἠέος, ὡς ἡδὺς, ἡδέος, καὶ ἐν ὑπερβιβασμῷ ἐῆος.

394. λίσαι] Ἔστι μέσου ἀορίστου ἀπαρέμφατον· τὸ θέμα λίσσω, ὥσπερ πλάσσω καὶ μάσσω καὶ πάσσω, καὶ ὁ μέλλων ὥσπερ πλάσσω καὶ πάσσω, οὕτω καὶ λίσω ὁ ἀόριστος ἔλισα, τὸ προστακτικὸν λίσαι.

395. ὤνησας] Ἀορίστου πρώτου ἐστὶν β προσώπου πρώτης συζυγίας τῶν περισπωμένων· τὸ θέμα ὀνῶ, ὃ σημαίνει τὸ ὠφελῶ, ἔστι δὲ καὶ ἕτερον, καὶ σημαίνει τὸ ἀγοράζω, καὶ γράφεται διὰ τοῦ ω μεγάλου, καὶ ἔστι πρώτης συζυγίας τῶν περισπωμένων, ὅθεν λέγεται ἀργυρώνητος οἰκέτης· καὶ ἕτερον ὄνομαι τὸ μέμφομαι, καὶ ἔστι τρίτης συζυγίας τῶν περισπωμένων, ὀνόσω, ἐξ οὗ καὶ τὸ

ἔνθακεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο.

397. ἔφησθα] Ἔστιν ἀορίστου β τῶν εἰς μι β προσώπου κατὰ πλεονασμὸν τῆς θα συλλαβῆς γίνεται· γίνεται ἀπὸ τοῦ φημὶ, φήσω, ἔφην ὁ β ἀόριστος, ἔφης, καὶ κατὰ πλεονασμὸν τῆς θα συλλαβῆς ἔφησθα.

399. ξυνδῆσαι] Ἔστιν Ἰωνικὴ διάλεκτος· ἔστι δὲ τῶν εἰς μι πρώτης συζυγίας· τὸ οὖν πρωτότυπον διδῶ τὸ σημαῖνον τὸ δεσμεύω, ὅπερ ἀπὸ τοῦ δέω. ἔστι καὶ ἄλλο δίδω, καὶ σημαίνει τὸ παρέχω· ἀπὸ οὖν τοῦ διδῶ περισπωμένου γίνεται παράγωγον δίδημι, ὁ μέλλων δήσω, ὁ ἀόριστος ἔδησα, καὶ τὸ ἀπαρέμφατον

δῆσαι, καὶ μετὰ τῆς σὺν προθέσεως συνδῆσαι, καὶ Ἰωνικῶς ξυνδῆσαι, τροπῇ τοῦ σ εἰς ξ.

401. ὑπελύσαο] Ἔστι τὸ θέμα λύω, ὁ μέλλων λύσω, ὁ ἀόριστος ἔλυσα, ὁ μέσος ἐλυσάμην, ἐλύσω, καὶ κατὰ διάλυσιν ἐλύσαο, καὶ ἐν συνθέσει ὑπελύσαο.

406. ὑπέδδεισαν] Ἔστιν ἀορίστου τῶν εἰς ω, ἐκ τοῦ δείδω ῥήματος τοῦ σημαίνοντος τὸ φοβοῦμαι, οὗ ὁ μέλλων δείσω, ὁ ἀόριστος ἔδεισα, καὶ τὸ γ τῶν πληθυντικῶν ἔδεισαν, καὶ κατὰ ἀναδιπλασιασμὸν ἔδδεισαν.

408. ἐθέλῃσι] Ἐνεστῶτος καὶ παρατατικοῦ ὑποτακτικοῦ γ προσώπου οἷον ἐθέλω, καὶ τὸ ὑποτακτικὸν ἐὰν ἐθέλω, τὸ β ἐὰν ἐθέλῃς, καὶ τὸ γ ἐὰν ἐθέλῃ, καὶ κατ' ἐπέκτασιν τῆς σι συλλαβῆς ἐὰν ἐθέλῃσι.

Ib. ἀρῆξαι] Ἔστιν ἀπαρέμφατον ἀορίστου πρώτου, τὸ θέμα ἀρήγω τὸ σημαῖνον τὸ βοηθῶ καὶ ἀντιλαμβάνω, ὁ μέλλων ἀρήξω, καὶ τὰ λοιπὰ δῆλα. ὅθεν καὶ ἀρωγὸς ὁ βοηθός.

409. ἔλσαι] Ἔστιν ἀπαρέμφατον ἀορίστου πρώτου κατὰ συγκοπὴν γινόμενον ἀπὸ τοῦ ἐλῶ τοῦ σημαίνοντος τὸ ἐλαύνω, β συζυγίας τῶν περισπωμένων, ὁ μέλλων ἐλάσω, ὁ ἀόριστος ἤλασα, καὶ τὸ ἀπαρέμφατον ἐλάσαι, καὶ κατὰ συγκοπὴν ἔλσαι.

410. ἐπαύρωνται] Μέσου ἀορίστου β παθητικοῦ ὑποτακτικοῦ, τὸ θέμα ἐπαυρῶ, ἔστι δὲ β συζυγίας τῶν περισπωμένων, ἐνταῦθα δὲ πρώτης, ὁ μέλλων ἐπαυρήσω, ὁ β αόριστος ἐπηῦρον, καὶ τὸ ὑποτακτικὸν ἐὰν ἐπαυρῶ, καὶ ὁ μέλλων ἐὰν ἐπαύρωμαι, καὶ τὸ β ἐὰν ἐπαύρῃ, καὶ τὸ γ ἐὰν ἐπαύρωνται.

411. γνῷ] Ἔστιν ἀορίστου δευτέρου ὑποτακτικοῦ τρίτου προσώπου τῶν εἰς μι τρίτης συζυγίας. ἔστι γνῶ τὸ πρωτότυπον, τὸ παράγωγον γνῶμι, ὁ μέλλων γνώσω, ὁ ἀόριστος β ἔγνων, καὶ τὸ ὑποτακτικὸν ἐὰν γνῶ, τὸ β ἐὰν γνῷς, τὸ γ ἐὰν γνῷ.

416. αἶσα] Τουτέστιν ἡ μοῖρα τῆς ζωῆς ἢ εἱμαρμένη, ἢ ἄγαν ἴση, ἡ μὴ μεταβαλλομένη. γέγονε δὲ παρὰ τὸ δαίω τὸ μερίζω, οὗ ὁ μέλλων δαίσω, καὶ ῥηματικὸν ὄνομα δαῖσα, ἡ μερίζουσα ἕκαστα τὰ ἐπακολουθοῦντα, καὶ κατὰ ἀποβολὴν τοῦ δ αἶσα.

417. ἔπλεο] Ἔστι παρατατικὸς παθητικὸς β προσώπου Ἰωνικῶς· γέγονε δὲ παρὰ τὸ πέλω τὸ σημαῖνον τὸ γίνομαι, καὶ καθ'

ὑπερβιβασμὸν τοῦ ε ἐπλέω, ὁ παθητικὸς ἐνεστὼς πλέομαι, καὶ ὁ παθητικὸς παρατατικὸς ἐπλεόμην, καὶ κατὰ συγκοπὴν ἐπλόμην, καὶ τὸ β ἔπλεο Ἰωνικῶς, καὶ ἔπλου Ἀττικῶς.

422. μήνιε] Ἐνεστὼς καὶ παρατατικὸς, προστακτικοῦ ἐνεστὼς β προσώπου ἀπὸ τοῦ μηνίω, ὁ παρατατικὸς ἐμήνιον, καὶ τὸ προστακτικὸν μήνιε, μηνιέτω.

Ib. πάμπαν] Ἔστι πᾶν, καὶ κατὰ ἀναδιπλασιασμὸν πάμπαν [1]πρὸ τοῦ ν εἰς μ, οὕτω γὰρ καὶ Ἡρωδιανός.

423. Αἰθιοπῆας] Ἔστιν αἰτιατικὴ τῶν πληθυντικῶν, ἡ γὰρ εὐθεῖα ἔστιν Αἰθιοπεὺς, τοῦ Αἰθιοπῆος Ἰωνικῶς.

424. χθιζός] Ἀπὸ χθὲς, χθιζός.

Ib. δαῖτα] Ἔστιν αἰτιατικῆς πτώσεως γένους θηλυκοῦ, ἡ εὐθεῖα δαῖς, γέγονε δὲ παρὰ τὸ δαίω τὸ μερίζω, ὁ μέλλων δαίσω, ἀποβολῇ τοῦ ω γίνεται δαῖς ἡ μεριστὴ εὐωχία, ἡ γενικὴ δαιτός.

426. δῶ] Τὸ πλῆρες δῶμα, γίνεται δὲ κατὰ ἀποκοπὴν, δῶμα οὖν τὸ δῶ ω̄μέγα, τὸ δὲ δόμος τὸ δο̄ ο μικρόν.

427. γουνάσομαι] Ἔστι μέσου μέλλοντος πρώτου δευτέρας συζυγίας τῶν περισπωμένων παρὰ τὸ θέμα γουνῶ, γουνᾷς, γουνάσω· λέγεται οὖν καὶ γουνάζω.

428. ἀπεβήσετο] Ἔστι παρατατικοῦ παθητικοῦ τῶν εἰς μι, τὸ θέμα βῶ τὸ βαίνω, τὸ παράγωγον βῆμι, ὁ μέλλων βήσω, καὶ μετάγεται εἰς ἐνεστῶτα ὁ μέλλων, καὶ ὁ παθητικὸς ἐνεστὼς βήσομαι ὁ παρατατικὸς ἐβησόμην, τὸ β ἐβήσου, τὸ γ ἐβήσετο.

430. ἀπηῦραν] Σημαίνει δὲ τὸ ἀφείλοντο. ἔστι παρατατικοῦ γ προσώπου τῶν πληθυντικῶν β συζυγίας τῶν περισπωμένων, τὸ θέμα ἀπαυρῶ.

434. πέλασαν] Ἔστιν ἀορίστου πρώτου ἐνεργητικοῦ γ προσώπου τῶν πληθυντικῶν. τὸ θέμα πελῶ τὸ σημαῖνον τὸ πλησιάζω, δευτέρας συζυγίας τῶν περισπωμένων, καὶ ἐγένετο παράγωγον πλάζω, ὁ μέλλων πλάσω, ὁ ἀόριστος ἔπλασα, καὶ τὰ λοιπὰ δῆλα. ἐντεῦθεν καὶ τὸ πλησίον, πελῶ καὶ κατὰ συγκοπὴν γίνεται πλῶ, ὁ μέλλων πλήσω, ῥηματικὸν ὄνομα πλητὸς, οὗ παράγωγον πλητίος, καὶ τροπῇ τοῦ τ εἰς σ πλησίος.

Ib. ὑφέντες] Ἔστιν ἀορίστου δευτέρου μετοχὴ τῶν εἰς μι ἐκ

[1] Leg. πρὸ τοῦ π, ν εἰς μ.

τοῦ ἵημι γέγονεν, ὁ μέλλων ἥσω, ὁ β ἀόριστος ἧν, ἡ μετοχὴ εἷς ἕντος, ἡ εὐθεῖα τῶν πληθυντικῶν ἕντες, καὶ ἐν συνθέσει ὑφέντες.

437. ῥηγμῖνι] Ἐκ τοῦ ῥήσσω, ὁ παθητικὸς παρακείμενος ἔρρηγμαι, ῥηματικὸν ὄνομα ῥηγμὶν, ῥηγμῖνος· εἴρηται δὲ ῥηγμὶν ὁ αἰγιαλὸς, παρὰ τὸ ἐκεῖ ῥήσσεσθαι, τουτέστι σχίζεσθαι τὰ κύματα.

436. εὐνάς] Τὰς ἀγκύρας, τὰ σίδηρα, παρὰ τὸ εὐνάζειν τὴν ναῦν· γ σημαίνει ἡ λέξις παρὰ τῷ ποιητῇ, τὴν κοίτην, ὅταν λέγῃ "εὐνῇ ἐνὶ μαλακῇ·" τὴν ἄγκυραν ὡς νῦν, "ἐκ δ' εὐνὰς ἔβαλον," καὶ

ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

448. ἑξείης] Ἔστιν ἐπίρρημα τάξεως, κατὰ πλεονασμὸν τῆς ει διφθόγγου.

Ib. ἐΰδμητον] Παρὰ τὸ δέω τὸ οἰκοδομῶ, κατὰ συγκοπὴν δμῶ, ὁ μέλλων δμήσω, ὄνομα δμητὸς, καὶ ἐΰδμητον.

Ib. βωμόν] Γέγονε παρὰ τὸ βῶ ῥῆμα τὸ σημαῖνον τὸ περιπατῶ, ὁ μέλλων βήσω, καὶ ῥηματικὸν ὄνομα βημὸς, καὶ τροπῇ τοῦ η εἰς ω βωμός· ἐντεῦθεν καὶ βῆμα, παρὰ τὸ βῶ βήσω.

449. χερνίψαντο] Ἔστιν μέσου ἀορίστου πρώτου, τὸ θέμα χερνίπτω ἐν συνθέσει, καὶ ὁ μέλλων χερνίψω, καὶ τὰ λοιπὰ δῆλα.

Ib. οὐλοχύτας] Ἔστιν ὄνομα θηλυκὸν πτώσεως αἰτιατικῆς ἀριθμοῦ πληθυντικοῦ, σημαίνει δὲ τὰς κριθὰς, εἰσὶ δὲ μετὰ ἁλῶν μεμιγμέναι, ἃς ἐπέχεαν τοῖς ἱερουργουμένοις ζώοις πρὸ τοῦ θύεσθαι.

454. ἴψαο] Ἐκ τοῦ ἵπτω, ὁ μέλλων ἴψω, ὁ ἀόριστος ἶψα, ὁ μέσος ἰψάμην, ἴψω, καὶ διαλύσει Ἰωνικῇ ἴψαο.

459. αὐέρυσαν] Σημαίνει δὲ τὸ εἰς τοὐπίσω ἀνείλκυσαν· τὸ θέμα αὐερύω, εἰς τοὐπίσω γὰρ εἵλκυον τὸν τράχηλον τοῦ θυομένου ἱερείου, ὡς προσέχειν εἰς τὸν οὐρανὸν τοῖς θεοῖς οἷς ἐθύοντο· ἢ ἃ ἔρυσαν, καὶ πλεονασμῷ τοῦ υ αὐέρυσαν.

Ib. ἔδηραν] Ἔστι τὸ θέμα δέρω, τὸ δηλοῦν τὸ ἐκδέρω, σημαίνει δὲ τὸ τύπτω, ὁ μέλλων δερῶ, καὶ τὰ λοιπὰ δῆλα.

460. ἐξέταμον] Ἔστιν ἀορίστου δευτέρου γ προσώπου τῶν πληθυντικῶν. τὸ θέμα τέμνω, ὁ μέλλων τεμῶ, ὁ ἀόριστος ἔταμον.

461. ὠμοθέτησαν] Ὠμὰ τὰ κρέα ἐπέθηκαν, ἔστιν ἀορίστου πρώτου πρώτης συζυγίας τῶν περισπωμένων, τὸ θέμα ὠμοθετῶ.

462. σχίζῃς] Ἔστι δοτικὴ τῶν πληθυντικῶν, ἡ εὐθεῖα ἡ σχίζα, παρὰ τὸ σχίζω, καὶ κλίνεται σχίζῃς, ἡ δοτικὴ τῶν πληθυντικῶν ταῖς σχίζαις, καὶ ἐκτάσει τοῦ α εἰς η σχίζῃς.

Ib. οἶνον] Οἶνος εἴρηται οἷον οἴνους τίς ὤν, παρὰ τὸ οἰήσεως ἡμᾶς πληροῦν. Ἀριστοφάνης, (Equit.)

σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν.
ὅταν γὰρ πίνωσιν οἱ ἄνθρωποι τότε
πλουτοῦσι, πράττουσι, νικῶσι δίκας.

ἢ παρὰ τὴν ὄνησιν, τουτέστι τὴν ὠφέλειαν, καὶ Ὅμηρος,

ἔπειτα δέκ' αὐτὸς ὀνήσεαι, αἴκε πίησθα
οἶνον.

ὀνῶ τὸ ὠφελῶ, ὄνος ῥηματικὸν ὄνομα, καὶ πλεονασμῷ τοῦ ι οἶνος, ὁ γὰρ οἶνος ὠφέλιμος ἐστὶ τῷ μετρίως αὐτοῦ μεταλαμβάνοντι.

464. ἐκάη] Παρὰ τὸ καίω, ὁ μέλλων καύσω, ὁ μέσος παρακείμενος κέκηα, ὁ ἀόριστος ἔκαον, ὁ παθητικὸς ἐκάην.

Ib. ἐπάσαντο] Ἔστι μέσου ἀορίστου πρώτου, τὸ θέμα πατῶ, ὅπερ ἀπὸ τοῦ μασῶ, τοῦτο παρὰ τὸ μάσσω τὸ μαλάσσω. πατῶ οὖν δηλοῖ τὸ ἐσθίω, ὁ μέλλων πατήσω, καὶ κατὰ συγκοπὴν πάσω. ἐντεῦθεν γέγονε καὶ φάτνη, ὁ τόπος ἐν ᾧ ἐσθίουσι τὰ ἄλογα, ὅθεν καὶ πάσασθαι παρὰ τὸ μασᾶσθαι, τροπῇ τοῦ μ εἰς π, καὶ ἀναδρομῇ τοῦ τόνου πάσασθαι.

465. μίστυλλον] Παρατατικοῦ γ προσώπου τῶν πληθυντικῶν τῶν εἰς ω, τὸ θέμα μιστύλλω, σημαίνει τὸ εἰς μικρὰ διακόπτω· γέγονε δὲ παρὰ τὸ μειῶ, τοῦτο παρὰ τὸ μεῖον τὸ σημαῖνον τὸ μικρὸν, καὶ τὸ τίλλω τὸ κόπτω, μιτύλλω, καὶ πλεονασμῷ τοῦ σ μιστύλλω, ὁ παρατατικὸς ἐμίστυλλον, καὶ τὸ γ τῶν πληθυντικῶν ἐμίστυλλον.

Ib. ἔπειραν] Ἔστιν ἀορίστου πρώτου γ προσώπου τῶν πληθυντικῶν, σημαίνει δὲ τὸ ἐπερόνησαν. τὸ θέμα πείρω, ὁ μέλλων περῶ, ὁ παρακείμενος πέπαρκα, ὁ ἀόριστος ἔπειρα, καὶ τὰ λοιπὰ δῆλα.

466. ὤπτησαν] Ἀορίστου πρώτου πρώτης συζυγίας τῶν περισπωμένων, τὸ θέμα ὀπτῶ, ὁ μέλλων ὀπτήσω, ὁ ἀόριστος ὤπτησα.

467. Τετύκοντο] Μέσου ἀορίστου δευτέρου παθητικοῦ. τὸ θέμα τεύχω τὸ σημαῖνον τὸ κατασκευάζω, ὁ μέλλων τεύξω, ὁ β' ἀόριστος ἔτυχον, ὁ μέσος ἐτυχόμην, τὸ γ τῶν πληθυντικῶν ἐτύχοντο, καὶ κατὰ ἀναδιπλασιασμὸν τετύχοντο, καὶ τροπῇ τοῦ χ εἰς κ τετύκοντο ποιητικῶς.

468. δαίνυντο] Ἔστι παρατατικὸς γ προσώπου τῶν πληθυντικῶν τῶν εἰς μι, ἀπὸ τοῦ δαινύω ἕκτης συζυγίας γίνεται παράγωγον δαίνυμι.

Ib. ἐδεύετο] Παρατατικοῦ παθητικοῦ γ προσώπου τῶν ἑνικῶν, τὸ θέμα δεύω τὸ σημαῖνον τὸ ἐνδεοῦμαι καὶ χρῄζω, ὁ παθητικὸς δεύομαι, ὁ παρατατικὸς ἐδευόμην, τὸ γ ἐδεύετο.

Ib. ἐΐσης] Ἴσης παρὰ τὸ ἴσος, περιττὸν τὸ ε.

Ib. ἐξέρον] Ἔστιν ὄνομα αἰτιατικῆς πτώσεως γένους θηλυκοῦ Αἰολικῶς, σημαίνει δὲ τὴν ἐπιθυμίαν, τουτέστι τὸν ἔρωτα τῆς τροφῆς, γέγονε δὲ παρὰ τὸ ἔρως ἔρωτος, θηλυκὸν ὄνομα ἡ ἔρος, τῆς ἔρου.

Ib. ἕντο] Σημαίνει δὲ τὸ ἐπλήρωσαν, ὅ ἐστιν ἐκορέσθησαν, γέγονε δὲ παρὰ τὸ ἵημι τὸ πληρῶ, ὁ μέλλων ἥσω, ὁ ἀόριστος ἧν, ὁ μέσος ἀόριστος ἕμην, τὸ πληθυντικὸν ἕμεθα, καὶ τὸ γ ἕντο.

470. κρητῆρας] Γέγονε κρατὴρ ἐκ τοῦ κερῶ ῥήματος β συζυγίας τῶν περισπωμένων τὸ σημαῖνον τὸ κερνῶ, καὶ κατὰ συγκοπὴν κρῶ, ὁ μέλλων κράσω, καὶ ῥηματικὸν ὄνομα κρατὴρ, καὶ τροπῇ τοῦ α εἰς η κρητήρ. ἐκ δὲ τοῦ κράσω μέλλοντος γέγονε ῥηματικὸν ὄνομα κρατὸς, καὶ μετὰ τοῦ στερητικοῦ α ἄκρατος προπαροξυτόνως.

471. νώμησαν] Ἔστιν ἀορίστου πρώτου α συζυγίας τῶν περισπωμένων ἐκ τοῦ νωμῶ τοῦ σημαίνοντος τὸ μερίζω καὶ διαδίδωμι, ὁ μέλλων νωμήσω, ὁ ἀόριστος ἐνώμησα, καὶ τὰ λοιπὰ δῆλα.

Ib. ἱλάσκοντο] Ἔστι παρατατικὸς παθητικὸς γ προσώπου τῶν πληθυντικῶν ἀπὸ τοῦ ἱλῶ δευτέρας συζυγίας τῶν περισπωμένων, ὁ μέλλων ἱλάσω, καὶ πλεονασμῷ τοῦ κ ἱλάσκω γίνεται ἐνεργητικὸν, παθητικὸν ἱλάσκομαι, καὶ τὰ λοιπὰ δῆλα.

473. παιήονα] Ἡ εὐθεῖα παιὰν ὁ νῦν δὲ παιήων, παιήονος· παιὰν δέ ἐστιν ὕμνος εἰς Ἀπόλλωνα ἐπ' ἀφέσει λοιμοῦ ᾀδόμενος, τουτέστιν εἶδος ᾠδῆς.

475. *κατέδυ*] Ἔστιν ἀορίστου δευτέρου τῶν εἰς μι, ἐκ τοῦ δύω τοῦ σημαίνοντος τὸ εἰσέρχομαι καὶ κρύπτομαι, τὸ παράγωγον δῦμι, καὶ τὰ λοιπὰ δῆλα.

Ib. *κνέφας*] Εἴρηται παρὰ τὸ κενὸν εἶναι φάους, κνέφας οὖν ὡς οὖδας, καὶ κνέφος ὡς οὖδος "οὔδει πλῆντο."

479. *ἵκμενον*] Παρὰ τὸ ἄνωθεν ἱκνεῖσθαι πρὸς ἡμᾶς.

Ib. *ἵει*] Ἔστι παρατατικὸς ἐνεργητικὸς πρώτης συζυγίας τῶν περισπωμένων, τὸ θέμα ἰῶ τὸ σημαῖνον τὸ πέμπω, ὁ παρατατικὸς ἴουν, ἴεις, ἴει.

481. *πρῆσεν*] Ἔστιν ἀορίστου πρώτου, ἐκ τοῦ πρήθω ἐνεστῶτος τοῦ σημαίνοντος τὸ φυσῶ, τὸ σημαῖνον τὸ ἐμπυρίζω, γέγονε παρὰ τὸ πιπρῶ β' συζυγίας τῶν περισπωμένων, τὸ παράγωγον πίπρημι, ὁ μέλλων πρήσω, ὁ ἀόριστος ἔπρησα, ἔπρησε καὶ πρησείω.

482. *στείρῃ*] Δεῖ γινώσκειν ὅτι τὸ στεῖρα ἐπὶ πλοίου εἴρηται παρὰ τὸ στερὰν εἶναι καὶ εὔτονον, ἐγένετο στέρρα, καὶ κατὰ ἀποβολὴν τοῦ ἑνὸς ρ καὶ πλεονασμῷ τοῦ ι, στείρα, ἀφ' οὗ καὶ τὴν μὴ τετοκυῖαν γυναῖκα στεῖραν λέγομεν, διὰ τὸ στερεωτέραν εἶναι τῆς τετοκυίας. ἢ ἀπὸ τοῦ στερεῖσθαι γέγονε στέρα, καὶ κατὰ πλεονασμὸν τοῦ ι στείρα, οἱονεὶ ἡ στερουμένη τοῦ τίκτειν. ἢ παρὰ τὸ στῶ, οὗ παράγωγον στείω, ὡς σῶ σείω, κιχῶ κιχείω, θῶ θείω, καὶ ἐκεῖθεν στεία, καὶ πλεονασμῷ τοῦ ρ στείρα, ἡ τοῦ κυῆσαι στάσιν ἔχουσα· οὕτω Φιλόξενος.

483. *ἔθεεν*] Ἔστι παρατατικὸς, τὸ θέμα θέω τὸ σημαῖνον τὸ τρέχω, ὅθεν καὶ ἥλιον καὶ σελήνην καὶ τοὺς λοιποὺς ἀστέρας θεοὺς ὠνόμασαν οἱ Ἕλληνες, παρὰ τὸ θέειν αὐτοὺς ἐν τῷ πόλῳ, τουτέστι τρέχειν.

Ib. *κῦμα*] Παρὰ τὸ κύω ῥῆμα πρώτης συζυγίας τῶν περισπωμένων, ὁ μέλλων κυήσω, ῥηματικὸν ὄνομα κύημα, καὶ κατὰ συγκοπὴν κῦμα. ἐξ οὗ τὸ κῦμα. οἱ δὲ παρὰ τὸ κυκῶ, κυκήσω, κύκημα, καὶ κατὰ συγκοπὴν κῦμα, καὶ ἐντεῦθεν τὸ κῦμα καὶ προπερισπᾶται. ὅθεν Ὅμηρος

δεινὸν ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα.

Ib. *διαπρήσσουσα*] Ἔστι μετοχὴ μέλλοντος πρώτου γένους θηλυκοῦ. τὸ ῥῆμα περῶ συζυγίας δευτέρας τῶν περισπωμένων, σημαίνει δὲ τὸ διαπερῶ καὶ πωλῶ, τοῦτο γίνεται κατὰ συγκοπὴν

πρῶ, ὡς βιῶ βῶ, ἐξ οὗ βώσεσθαι, καὶ βορῶ βρῶ, ἐξ οὗ βέβρωκα. ἐξ οὗ καὶ τορῶ τρῶ, ἐξ οὗ τέτρωκα· καὶ γίνεται ὁ παρακείμενος πεπέρακα, καὶ κατὰ συγκοπὴν πέπρακα, καὶ γὰρ τὸ πωλώμενον περᾷ ἀπὸ τοῦ πωλοῦντος εἰς τὸν ἀγοράζοντα. ἐκ τοῦ πρῶ ἐνεστῶτος γίνεται ὁ μέλλων πρήσω, ἡ μετοχὴ ὁ πρήσων, τοῦ πρήσοντος, καὶ τὸ θηλυκὸν ἡ πρήσουσα, καὶ μετὰ τῆς δια.

Ib. κέλευθος] Γέγονε παρὰ τὸ ἐλεύθω, οὗ ὁ μέλλων ἐλεύσω, καὶ ῥηματικὸν ὄνομα ἔλευθος, καὶ πλεονασμῷ τοῦ κ κέλευθος.

486. ἕρματα] Παρὰ τὸ ἐρίζω τὸ στηρίζω, ὁ μέλλων ἐρίσω, ὁ παρακείμενος εἴρικα, εἴρισμαι, ἐξ οὗ καὶ ἔρισμα, καὶ κατὰ συγκοπὴν ἕρμα, καὶ δασύνεται, τὰ γὰρ φωνήεντα πρὸ τοῦ ρ ἐπιφερομένου τοῦ μ δασύνονται, πλὴν τοῦ ἄρμενον καὶ ὄρμενον.

487. ἐσκίδναντο] Παρατατικοῦ παθητικοῦ τῶν εἰς μι. ἔστι δὲ τὸ πρωτότυπον αὐτοῦ σκιδνῶ β΄ συζυγίας τῶν περισπωμένων, καὶ τὸ παράγωγον σκίδνημι, τὸ παθητικὸν σκίδναμαι, ὁ παρατατικὸς ἐσκιδνάμην.

488. παρήμενος] Ἐκ τοῦ ἑῶ ῥήματος τοῦ σημαίνοντος τὸ καθέζομαι πρώτης συζυγίας, τὸ παράγωγον ἕημι, ὁ παθητικὸς ἕεμαι, καὶ κράσει ἧμαι, καὶ ἡ μετοχὴ ὁ ἥμενος, καὶ ἐν συνθέσει παρήμενος.

490. πωλέσκετο] Ἔστι παρατατικὸς παθητικὸς, γέγονε δὲ οὕτω πολῶ ῥῆμα τὸ ἀναστρέφομαι, ὅθεν καὶ πόλοι οἱ ἐν τῷ οὐρανῷ, παρὰ τὸ περὶ αὐτοὺς ἀναστρέφεσθαι τὸν κόσμον, τουτέστι τὸν οὐρανὸν, καὶ πόλις παρὰ τὸ πολεῖν ἐν αὐτῇ, ὅ ἐστιν ἀναστρέφεσθαι τοὺς ἀνθρώπους. ὁ μέλλων πολέσω, καὶ κατὰ πλεονασμὸν τοῦ κ πολέσκω, ὁ ἐνεστὼς παθητικὸς πολέσκομαι, ὁ παρατατικὸς ἐπολεσκόμην, καὶ τὸ γ κατὰ συστολὴν πολέσκετο.

491. φθινύθεσκε] Τουτέστι διέφθειρεν, ἔτηκεν. τοῖς γὰρ πρακτικοῖς ἡ ἀργία φθορά ἐστι, τὸ θέμα φθινύθω παράγωγον, γέγονε δὲ παρὰ τὸ φθίω τὸ σημαῖνον τὸ φθείρω, καὶ κατὰ πλεονασμὸν τοῦ ν φθίνω. καὶ ὥσπερ ἀπὸ τοῦ φλέγω ἐγένετο φλεγέθω, καὶ ἀπὸ τοῦ τελῶ τελέθω, οὕτω καὶ ἀπὸ τοῦ φθίνω γίνεται φθινύθω, ταῦτα δὲ μέλλοντα οὐκ ἔχουσι. εἶτα ὁ παρατατικὸς ἐφθίνυθον, καὶ τὸ γ ἐφθίνυθε, καὶ πλεονασμῷ τῆς κε συλλαβῆς καὶ συστολῇ τῆς ἀρχούσης, φθινύθεσκε.

492. ποθέεσκε] Τοῦτο ὁμοίως παρατατικὸς γ' προσώπου συζυγίας πρώτης τῶν περισπωμένων, τὸ θέμα ποθῶ, ὁ παρατατικὸς ἐπόθουν, τὸ γ ἐπόθεε, καὶ κατὰ πλεονασμὸν τῆς κε συλλαβῆς καὶ συστολῇ τῆς ἀρχούσης ποθέεσκε.

494. Ὄλυμπον] Νῦν τὸν οὐρανὸν λέγει· φυσικώτερον Ὄλυμπος νοηθῇ ἂν οὐρανὸς, οἱονεὶ ὁλολαμπής τις ὢν τῷ ἡλίῳ καὶ τῇ σελήνῃ καὶ τοῖς ἄστροις.

Ib. ἴσαν] Ἔστι παρατατικὸς γ' προσώπου τῶν πληθυντικῶν, ἀπὸ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι, ὁ παρατατικὸς εἶν, καὶ τὸ πρῶτον τῶν πληθυντικῶν ἴμεν, κατὰ συστολὴν, καὶ τὸ δεύτερον ἴτε, ἶσαν.

495. ἐφετμέων] Τουτέστιν ἐντολῶν, πτώσεως γενικῆς τῶν πληθυντικῶν, ἐφετμῶν. ἡ ἐφετμὴ, καὶ κατὰ πλεονασμὸν τῆς ε ἐφετμέων.

496. ἀνεδύσατο (sic)] Ἔστι παρατατικὸς παθητικὸς ὡς ἀπὸ τοῦ δύω ἐνεστῶτος, γέγονε δὲ οὕτως. ἔστι δύω, τὸ παράγωγον δῦμι, ὁ μέλλων δύσω, καὶ ἐγένετο ὁ μέλλων ἐνεστὼς δύσω, καὶ ὁ παθητικὸς δύσομαι, ὁ παρατατικὸς ἐδυσόμην, καὶ τὸ γ ἐδύσετο, καὶ ἀνεδύσετο.

497. ἠερίη] Ἔστιν ὄνομα θηλυκὸν, σημαίνει δὲ τὴν ἑωθινήν. γέγονε δὲ παρὰ τὸ ἦρι ἐπίρρημα, ὃ σημαίνει τὸ ὄρθρον, τὸ πάνυ ταχέως.

498. εὐρύοπα] Τουτέστι μεγαλόφωνον. ὅτε γὰρ μικρὸν τὸ ο παρὰ τὸ ὄπα, τουτέστι τὴν φωνὴν, ὅτε δὲ τὸ ω μέγα σημαίνει τὸν μεγαλόφθαλμον, παρὰ τοὺς ὦπας [j], ὅ ἐστι τοὺς ὀφθαλμούς.

499. κορυφὴ] Κυρίως λέγεται κορυφὴ τὸ μέσον τῆς κεφαλῆς, ὅτι τοῦ κάρα ἐστὶν ὀροφὴ, τινὲς δὲ ἀπὸ τοῦ κεκρύφθαι ὑπὸ τὰς τρίχας, γίνεται κρυφὴ, καὶ πλεονασμῷ τοῦ ο κορυφή.

501. σκαιῇ] Εἴρηται σκαιὴ παρὰ τὸ σκάζειν, τουτέστιν ὑστερεῖν, καὶ περὶ τὰς πράξεις ἐνδέουσαν πρὸς τῇ δεξιᾷ, καὶ ὑστεροῦσαν. ἢ ὅτι ἀσθενεστέρα τῆς δεξιᾶς ἐστιν, ὁ δὲ ἀσθενὴς σκάζει, ὅθεν καὶ σκαιὸς ἄνθρωπος, ὁ σκαμβός τις ὢν καὶ μὴ ὀρθός.

Ib. δεξιτερῇ] Δεξιὰ εἴρηται ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὸν ἄνθρωπον τὰ διδόμενα. ἢ ἀπὸ τοῦ δι' αὐτῆς τὰς πλείονας διεξιέναι πράξεις ἤπερ διὰ τῆς ἀριστερᾶς.

j ὄπας Cod.

Ib. *ἀνθερεῶνος*] Εἴρηται ἀνθερεὼν παρὰ τὴν ἄνθησιν τῶν τριχῶν, φυλάττει δὲ τὸ ω ἐπὶ τῆς γενικῆς ὡς περιεκτικόν.

503. *ὤνησα*] Ἔστιν ἀορίστου πρώτου, τὸ θέμα ὀνῶ α′ συζυγίας τῶν περισπωμένων, σημαίνει δὲ τὸ ὠφελῶ, τὸ παράγωγον ὄνημι, καὶ τὸ γ ὄνησι, καὶ πλεονασμῷ τῆς νι συλλαβῆς ὀνίνησι, ὁ μέλλων ὀνήσω, ὁ ἀόριστος ὤνησα. ἔστι καὶ ἕτερον ὀνῶ τὸ σημαῖνον τὸ μέμφομαι, τρίτης συζυγίας τῶν περισπωμένων, καὶ ὠνῶ τὸ ἀγοράζω.

510. *ὀφέλλωσιν*] Ἔστιν ἐνεστῶτος καὶ παρατατικοῦ ὑποτακτικοῦ γ′ προσώπου, τὸ θέμα ὀφέλλω διὰ β′ λλ, καὶ σημαίνει τὸ αὔξω.

512. *ἧστο*] Ἔστιν ὑπερσυντελικοῦ παθητικοῦ τῶν εἰς μι, ἔστι τὸ πρωτότυπον ἑῶ τὸ σημαῖνον τὸ καθέζομαι, τὸ παράγωγον ἕημι, ὁ μέλλων ἥσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντελικὸς ἥσμην, ἧσο, ἧστο.

513. *ἐμπεφυκυῖα*] Τουτέστιν ἐνεῖχεν ἐμπεπλεγμένη, καὶ ἔστι μετοχῆς παρακειμένου τῶν εἰς μι τὸ θέμα φύω, τὸ παράγωγον φῦμι, ὁ μέλλων φύσω, ὁ παρακείμενος πέφυκα, ἡ μετοχὴ πεφυκὼς, καὶ τὸ θηλυκὸν πεφυκυῖα.

Ib. *εἴρετο*] Ἔστι παρατατικοῦ παθητικοῦ γ′ προσώπου τῶν ἑνικῶν. τὸ θέμα εἴρω, τὸ σημαῖνον τὸ λέγω. ἐντεῦθεν γέγονεν εἴρων τὸ κύριον ὄνομα, καὶ μειράκιον, τὸ ἐπιτήδειον τοῦ λαλεῖν τρανῶς. εἴρω οὖν καὶ ὁ παθητικὸς ἐνεστὼς εἴρομαι, καὶ ὁ παρατατικὸς εἰρόμην, καὶ εἴρετο.

514. *νημερτὲς*] Ἔστιν ὄνομα γένους οὐδετέρου τὸ ἀρσενικὸν, γέγονε δὲ κατὰ στέρησιν τοῦ ἁμαρτεῖν, ἐγένετο νημερτές.

515. *ἔπι*] Ἀντὶ τοῦ ἔπεστιν. αἱ γὰρ προθέσεις ἀναστρεφόμεναι ῥῆμα σημαίνουσιν.

518. *ἐφήσεις*] Σημαίνει δὲ τὸ παρασκευάσεις καὶ ποιήσεις, καὶ ἔστι μέλλοντος πρώτου τῶν εἰς μι ἀπὸ τοῦ ἵημι, ὁ μέλλων ἥσω, τὸ β ἥσεις, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπήσεις, καὶ ἐφήσεις.

519. *ἐρέθησι*] Σημαίνει δὲ τὸ παροξύνει καὶ παροτρύνει, καὶ ἔστιν ἐνεστῶτος καὶ παρατατικοῦ ὑποτακτικοῦ γ′ προσώπου τῶν ἑνικῶν. τὸ θέμα ἐρέθω, ὁ παρατατικὸς εἴρεθον, καὶ τὸ ὑποτακτικὸν

ἐὰν ἐρέθω, καὶ τὸ β ἐὰν ἐρέθῃς, καὶ τὸ γ ἐὰν ἐρέθῃ, καὶ κατὰ πλεονασμὸν τῆς σι συλλαβῆς ἐρέθῃσιν.

521. νεικεῖ] Τουτέστι κακολογεῖ, ὑβρίζει, ἢ φιλονεικεῖ, καὶ ἔστιν ἐνεστῶτος χρόνου πρώτης συζυγίας τῶν περισπωμένων. τὸ θέμα νεικῶ, ὅπερ γέγονεν ἀπὸ τοῦ νεῖκος, ἐξ οὗ γράφεται διὰ τῆς ει διφθόγγου, παρὰ τὸ νέοις ἐοικέναι γίνεται νεῖκος. ἡ γὰρ φιλονεικία τοῖς νέοις πρέπει.

522. ἀπόστιχε] Τουτέστιν ἀπαλλάσσου καὶ ἀναχώρει καὶ πορεύου· καὶ ἔστιν ἐνεστῶτος καὶ παρατατικοῦ προστακτικοῦ. τὸ θέμα στίχω, ὁ παρατατικὸς ἔστιχον, καὶ τὸ προστακτικὸν στίχε, καὶ μετὰ τῆς ἀπὸ ἀπόστιχε.

523. μελήσει[k]] Ἔστι τὸ θέμα μέλλω βαρύτονον, καὶ ὡς ἀπὸ περισπωμένου μέλλοντος ποιεῖται τὴν κλίσιν, οἷον μελῶ, μελήσω.

528. ἦ] Σημαίνει τὸ ἔφη, καὶ ἔστιν ἀορίστου δευτέρου ἐνεργητικοῦ. γέγονε δὲ ἀπὸ τοῦ ἠμὶ τοῦ σημαίνοντος τὸ λέγω, τοῦτο δὲ γέγονε παρὰ τὸ φημὶ, καὶ κατὰ ἀφαίρεσιν τοῦ φ, ὁ μέλλων ἤσω, ὁ β′ ἀόριστος ἦν, καὶ τὸ γ′ ἦ, ἔστι καὶ παρατατικοῦ.

529. ἐπερρώσαντο] Ἔστι μέσου ἀορίστου πρώτου, τὸ θέμα ῥώω, τὸ σημαῖνον τὸ κινῶ καὶ σείω, ὁ μέλλων ῥώσω, ὁ ἀόριστος ἔρρωσα, ὁ μέσος ἐρρωσάμην, καὶ τὰ λοιπὰ δῆλα.

530. ἐλέλιξε] Ἔστιν ἀορίστου πρώτου. τὸ θέμα ἐλελίζω τὸ σείω, ὁ ἀόριστος ἐλέλιξα.

531. διέτμαγεν] Διὰ τοῦ ε, ἡ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων. καὶ ἔστιν ἀορίστου β′ παθητικοῦ, γ′ προσώπου τῶν πληθυντικῶν, Αἰολικῶς ἢ Δωρικῶς. τὸ θέμα τμήγω τὸ σημαῖνον τὸ κόπτω, ὁ μέλλων τμήξω, ὁ μέσος παρακείμενος ἔτμηγα, ὁ β′ ἀόριστος ἔτμαγον, ὁ παθητικὸς ἐτμάγην, καὶ τὸ πληθυντικὸν ἐτμάγημεν, καὶ τὸ γ ἐτμάγησαν, καὶ κατὰ συγκοπὴν ἔτμαγεν.

532. ἆλτο] Ἔστι μέσου ἀορίστου πρώτου, τὸ θέμα ἄλλω, ὁ μέλλων ἀλῶ, ὁ ἀόριστος ἧλα, ὁ μέσος ἡλάμην καὶ τὸ γ ἥλατο, καὶ κατὰ συγκοπὴν καὶ συστολὴν τοῦ η ἆλτο, καὶ μετὰ τῆς

[k] μελήσεται Edd.

συγκοπῆς μετέπεσεν εἰς ψιλὴν ἡ δασεῖα. τὸ γὰρ α λῆγον εἰς λ, ἐπιφερομένου συμφώνου τῆς γʹ συζυγίας τῶν βαρυτόνων, ψιλοῦται.

533. ἔσταν[1]] Ἔστιν ἀορίστου δευτέρου τῶν εἰς μι γʹ προσώπου τῶν πληθυντικῶν. τὸ θέμα ἵστημι, ὁ μέλλων στήσω, ὁ βʹ ἀόριστος ἔστην, ἔστημεν τὸ πληθυντικὸν, τὸ γʹ ἔστησαν, καὶ κατὰ συγκοπὴν Αἰολικὴν ἔσταν.

539. κερτομίοισι] Λόγοις ἐρεθιστικοῖς καὶ χλευαστικοῖς. νῦν δὲ ὡς κέαρ τέμνουσι, τουτέστι τὴν ψυχήν.

540. δολομῆτα] Δόλια βουλευόμενε. παρὰ τὸ δόλον καὶ τὴν μῆτιν, ὃ σημαίνει τὴν βουλὴν, γίνεται δολομῆτις, καὶ ἡ κλητικὴ γίνεται δολομῆτα προπερισπωμένως. τὰ γὰρ εἰς ης ὀνόματα βαρύτονα τῷ η παραληγόμενα, καὶ εἰς α τὴν κλητικὴν ποιοῦντα, προπερισπῶνται, οἷον ἀγκυλομῆτα, πλὴν τοῦ ἀκάκητα.

Ib. συμφράσατο] Ἔστι τὸ θέμα φράζω, ὅπερ γέγονε παρὰ τὸ φῶ τὸ λέγω, φάζω, ὡς βῶ βάζω, καὶ πλεονασμῷ τοῦ ρ φράζω, ὁ μέλλων φράσω, καὶ τὰ λοιπὰ δῆλα.

546. εἰδήσειν] Ἔστιν ἀπαρέμφατον μέλλοντος πρώτου. τὸ θέμα εἰδῶ, τὸ σημαῖνον τὸ γινώσκω, ὁ μέλλων εἰδήσω, καὶ τὰ λοιπὰ δῆλα.

548. εἴσεται] Ἔστι μέσου μέλλοντος πρώτου. τὸ θέμα τὸ σημαῖνον τὸ ἐπίσταμαι καὶ γινώσκω, ὁ μέλλων εἴσω, ὁ μέσος μέλλων εἴσομαι, καὶ τὸ γʹ εἴσεται.

550. μετάλλα] Ἔστι προστακτικὸν ἐνεστῶτος. τὸ θέμα μεταλλῶ, βʹ συζυγίας τῶν περισπωμένων, σημαίνει δὲ τὸ πολυπραγμονῶ καὶ ζητῶ, ὁ παρατατικὸς ἐμετάλλαον ἐμετάλλων, καὶ τὸ γʹ ἐμετάλλα.

554. ἄσσα] Σημαίνει δὲ τὸ ἅτινα· τότε γὰρ δασύνεται. καὶ ἔστι κατὰ Ἡρωδιανὸν δύο μέρη λόγου. τὸ πρῶτον ἄρθρον καὶ τὸ σα. ἔστι Μεγαρικὸν, δηλοῦν τὸ τίνα. ἐν δὲ τῷ στίχῳ ψιλοῦται.

555. δείδοικα] Ἔστι μέσος παρακείμενος, τὸ θέμα δειδῶ τὸ σημαῖνον τὸ φοβοῦμαι, ὁ μέλλων δείσω, ὁ ἀόριστος ἔδεισα, ἐξ οὗ

[1] Scil. ἄνεσταν.

καὶ τὸ δείσας, ὁ μέσος δέδοικα, καὶ διὰ τὴν ἐπαλληλίαν τῶν γ′ δδδ ἐτράπη τὸ ἓν δ εἰς κ, καὶ ἐγένετο δέδοικα, καὶ κατὰ πλεονασμὸν τοῦ ι γίνεται δείδοικα. ἢ ὥς τινες φασιν ἀπὸ τοῦ δείδω, ὁ μέλλων δείσω, ὁ παρακείμενος δέδεικα, καὶ τροπῇ τοῦ ε εἰς ο δέδοικα.

562. δυνήσεαι] Ἔστι μέσου μέλλοντος πρώτου β′ προσώπου τῶν εἰς μι, β′ συζυγίας ἐκ τοῦ δυνῶ δύνημι, ὁ μέλλων δυνήσω, ὁ μέσος μέλλων δυνήσομαι, τὸ β′ δυνήσῃ, καὶ κατὰ διάλυσιν τοῦ η εἰς ε καὶ α, δυνήσεαι.

563. ῥίγιον] Ἔστιν ὄνομα γένους οὐδετέρου. γέγονε δὲ παρὰ τὸ φρίσσω φρίγος, καὶ ἀφαιρέσει τοῦ φ, ῥῖγος, καὶ ῥίγιον.

566. χραίσμωσι] Ἔστιν ἀορίστου δευτέρου ὑποτακτικοῦ γ′ προσώπου τῶν πληθυντικῶν, ὥσπερ οὖν ἀπὸ τοῦ ἁμαρτῶ γίνεται ὁ β′ ἀόριστος ἥμαρτον, καὶ ὀλισθῶ ὤλισθον, οὕτω καὶ ἀπὸ τοῦ χραίσμω ἔχραισμον, καὶ τὸ ὑποτακτικὸν ἐὰν χραίσμω βαρυτόνως, καὶ τὰ λοιπὰ δῆλα.

Ib. εἰσὶ] Ἀπὸ τοῦ εἰμὶ τοῦ σημαίνοντος τὸ ὑπάρχω, α′ προσώπου τῶν πληθυντικῶν ἐσμὲν, ἐστὲ, καὶ τὸ τρίτον ἐσὶ, καὶ κατὰ πλεονασμὸν τοῦ ι εἰσί. μαρτυρεῖ δὲ καὶ τὸ ἔασι τῇ διφθόγγῳ γραφῇ. ὥσπερ γὰρ ἐκ τοῦ τιθέασι γίνεται τιθεῖσι, οὕτω καὶ ἐκ τοῦ ἔασι εἰσί.

567. ἐφείω] Ἐπιβάλλω, ἐπενέγκω, καὶ ἔστιν ἐνεστὼς εἴω, καὶ ἐν συνθέσει ἐφείω.

569. καθῆστο] Ἔστιν ὑπερσυντελικοῦ παθητικοῦ τρίτου προσώπου τῶν ἑνικῶν, ἐκ τοῦ ἕω τὸ καθέζομαι, ὁ μέλλων ἕσω, ὁ παρακείμενος ἧκα, ὁ παθητικὸς ἧσμαι, ὁ ὑπερσυντελικὸς ἥσμην, τὸ β′ ἧσο, ἐξ οὗ καὶ τὸ κάθησο, καὶ τὸ γ′ ἧστο, καὶ καθῆστο. οὐκ ἀνεβίβασε δὲ τὸν τόνον κανόνι τοιούτῳ. ἐπειδὴ πᾶς παρῳχημένος ὁριστικὸς ἀπὸ φωνήεντος ἀρχόμενος καὶ ἀπὸ φύσει μακρᾶς, τὸν αὐτὸν τόνον φυλάττει καὶ ἐν τῇ συνθέσει· χωρὶς τοῦ σύνοιδα Αἰολικοῦ, καὶ τοῦ ὑπόειξα παρὰ τῷ ποιητῇ, καὶ τοῦ ὑπόεικον. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· οἷον, εὗδεν καθεῦδεν, εἶχον κατεῖχον· εἶπον προεῖπον καὶ προσεῖπον· συνῆλθον ἐφεῦρον, συνῆψα, συνεῖδον, ἀνῷγε. τὸ σύνοιδα Αἰολικὸν ὥσπερ εἴρηται. ὥσπερ καὶ τὸ τοῦ β′ προσώπου Ἀττικὸν οἶσθα, κάτοισθα. πρόσ-

κειται παρῳχήμενος ὁριστικὸς, διὰ τὸ εἶπε ἔξειπε, ἔφευρε, ἧσο κάθησο, "ἀκέουσα κάθησο." ταῦτα γὰρ ἀνεβίβασαν τὸν τόνον ἐπὶ τῆς συνθέσεως· οὐ γάρ εἰσιν ὁριστικὰ, ἀλλὰ προστακτικά. οὕτως οὖν καὶ τὸ ἧστο ὁριστικὸν ὂν οὐκ ἀνεβίβασε τὸν τόνον ἐν τῇ συνθέσει, οἷον ἐν τῷ καθῆστο. πρόσκειται ἀπὸ φωνήεντος ἀρχόμενος, διὰ τὸ κεῖτο κατέκειτο, χεῦεν κατέχευεν, ταῦτα γὰρ ἀνεβίβασαν τὸν τόνον, ἀλλ' οὐκ ἄρχονται ἀπὸ φωνήεντος.

570. ὤχθησαν] Ἔστιν ἀορίστου πρώτου πρώτης συζυγίας τῶν περισπωμένων, τὸ θέμα ὀχθῶ τὸ σημαῖνον τὸ στενάζω, τὸ β' ὀχθεῖς, ὁ μέλλων ὀχθήσω, ὁ ἀόριστος ὤχθησα, καὶ τὸ γ' τῶν πληθυντικῶν, ὤχθησαν.

572. ἐπίηρα] Τουτέστι τὴν μετ' ἐπικουρίας χάριν παρὰ τὸ ἐρῶ. ὥσπερ γὰρ ἀπὸ τοῦ κόπτω γέγονε κόπανον, καὶ ἀπὸ τοῦ τύπτω τύπανον, καὶ πλεονασμῷ τοῦ μ τύμπανον, καὶ ἀπὸ τοῦ τήκω τήκανον καὶ τροπῇ τοῦ κ εἰς γ τήγανον, καὶ ἀπὸ τοῦ ὄχω ὄχανον, οὕτω καὶ ἀπὸ τοῦ ἐρῶ ἔρανον, καὶ κατὰ συγκοπὴν ἔρον, καὶ τροπῇ τοῦ ε εἰς η ἦρον· καὶ ἀπὸ τοῦ τέκω τέκανον, καὶ ἐν συγκοπῇ τέκνον. ἦρον οὖν καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν ἦρα, καὶ ἐν συνθέσει ἐπίηρα. εἰς δὲ τὴν καθόλου εὗρον οὕτως. ἔστιν ἦρ, ἡ ἐπικουρία, καὶ ὀξύνεται, καὶ ἡ γενικὴ ἠρὸς, καὶ ἡ αἰτιατικὴ ἦρα, καὶ ἐν συνθέσει ἐπίηρα. Ἀρίσταρχος δὲ ὑφὲν κατ' ὀρθὴν[m] σημασίαν λέγει τὸ ἐπίηρα.

574. σφῷ] Τοῦτο πρὸς ἔμφασιν τῶν προσώπων. πρωτόθετον δὲ αὐτὴν ἀντωνυμίαν ὁ Ἡρωδιανὸς καλεῖ, καὶ οὐκ ἀπὸ τὴν σφῶϊ, διὸ ὀξύνεται· τὸ γὰρ ω τῶν δυϊκῶν ἀπέστραπται τὴν περισπωμένην.

Ib. ἐριδαίνετον] Ἔστι παρατατικοῦ β' προσώπου τῶν δυϊκῶν, ἐγένετο δὲ ἐκ τοῦ ἐρίζω κατὰ συγγένειαν, ἐρίδω, καὶ παράγωγον ἐριδαίνω, καὶ ὁ παρατατικὸς ἠρίδαινον, καὶ τὸ β' τῶν δυϊκῶν ἐριδαίνετον, κατὰ συστολήν.

575. κολῳὸν] Εἴρηται κολῳὸς παρὰ τὸ κλῶ ῥῆμα, ὃ σημαίνει τὸ φωνῶ, καὶ γίνεται ῥηματικὸν ὄνομα κλωιὸς, ὡς σῶς σῶος, καὶ πλεονασμῷ τοῦ ο κολῳὸς μετὰ τοῦ ἀνεκφωνήτου ι. ἐκ τούτου

[m] κατορ. Cod.

ἐγένετο κολῳῶ ῥῆμα β′ συζυγίας τῶν περισπωμένων, τὸ β′ κολῳᾶς, ὁ παρατατικὸς ἐκολῴων, καὶ τὸ γ′ ἐκολῴα.

Θερσίτης δέ τι μοῦνος ἀμετροεπὴς ἐκολῴα,

οὕτω Φιλόξενος.

Ib. δαιτὸς] Ἔστιν ὄνομα εὐθείας τῶν ἑνικῶν, ἀπὸ τοῦ δαίω τοῦ σημαίνοντος τὸ μερίζω, ὁ μέλλων δαίσω, ἀποβολῇ τοῦ ω δαὶς, τουτέστιν ἡ μεριστικὴ εὐωχία, καὶ ἴσως διδομένη πᾶσιν, καὶ ὀξύνεται. τρία γάρ εἰσιν ὀνόματα εἰς αις λήγοντα, παῖς καὶ δαὶς καὶ σταῖς. τὸ μὲν παῖς καὶ σταῖς περισπᾶται, τὸ δὲ δαὶς ὀξύνεται.

576. ἐσθλῆς] Παρὰ τὸ ἐθέλω γέγονεν οἷον ἐθελόν τι ὂν, ὃ θέλει τίς. τὸ γὰρ ἀγαθὸν πάντες θέλομεν.

Ib. ἦδος] Ἔστιν ὄνομα οὐδέτερον καὶ δασύνεται. εἰ καὶ ταῦτα ψιλοῦνται, τῷ κανόνι τῷ λέγοντι, τὰ εἰς ος λήγοντα οὐδέτερα δισύλλαβα, εἰ ἀπὸ φύσει μακρᾶς ἄρχοιντο, ψιλοῦνται, οἷον αἶσχος, εὖχος, εὖρος, ἦθος. καὶ ὁ Τρύφων ὁ γραμματικὸς συναινεῖ τοῖς δασέσι[n] τὴν λέξιν ταύτην, διότι ἀπὸ τοῦ ἥδεσθαι, ὃ σημαίνει τὸ τέρπεσθαι, ἐγένετο, καὶ ὥσπερ ἀπὸ τοῦ ἕλκεσθαι ἐγένετο ἕλκος, καὶ ἐφυλάχθη τὸ αὐτὸ πνεῦμα, οὕτως οὖν καὶ ἀπὸ τοῦ ἥδεσθαι, φυλάσσει τὸ αὐτὸ πνεῦμα. γέγονε δὲ ἡ λέξις ἐντεῦθεν ἄδος, καὶ σημαίνει τὸν κόρον καὶ τὴν πλησμονήν. οἷον

ἄδος τέ μιν ἵκετο θυμόν.

καὶ ἐπεκτάσει τοῦ α εἰς η ἦδος. ἢ οὕτως. ἔστιν ἔω δηλοῦν τὸ κορεννύω, τούτου παράγωγον ἔδω τὸ σημαῖνον τὸ ἐσθίω, καὶ ἐκτάσει τοῦ α εἰς η ἥδω, ὁ παθητικὸς ἐνεστὼς ἥδομαι, ἀφ᾽ οὗ ἦδος, καὶ κατὰ συστολὴν τοῦ η εἰς α ἄδος καὶ ἄδην ἐπίρρημα τὸ κεκορεσμένον καὶ πλήρωσιν ἔχον. καὶ γὰρ τὸ τερφθῆναι ἐπὶ κόρου τίθησιν ὁ ποιητής.

579. νεικείῃσι] Ἔστιν ἐνεστῶτος καὶ παρατατικοῦ ὑποτακτικὸν ἐνεργητικὸν γ′ προσώπου τῶν ἑνικῶν. ἔστι γὰρ ἐὰν νεικείω, καὶ τὸ β′ ἐὰν νεικείῃς, καὶ τὸ γ′ ἐὰν νεικείῃ, καὶ κατ᾽ ἐπέκτασιν τῆς σι συλλαβῆς νεικείῃσι. τὸ θέμα νεικείω καὶ σημαίνει τὸ κακολογῶ παρὰ τὸ νεικῶ νεικείω παραγώγως, τὸ δὲ νεικῶ παρὰ τὸ

[n] Leg. δασύνουσι.

νεῖκος τὸ σημαῖνον τὴν φιλονεικίαν. τοῦτο παρὰ τὸ τοῖς νέοις ἐοικέναι γέγονε νεέκος, καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον, νεῖκος, ἡ γὰρ φιλονεικία τοῖς νέοις πρέπει. τὸ δὲ νῖκος τὸ ἐπὶ τῆς ἥττης, γέγονε παρὰ τὸ ἐνὶ ἀνθρώπῳ εἴκειν, εἶτα κατὰ ἀφαίρεσιν τοῦ ε νίεικη, καὶ ἐλλείψει τοῦ ἑτέρου ε καὶ κράσει τῶν β΄ ιι εἰς ι μακρὸν, γίνεται νίκη.

584. δέπας] Εἴρηται δέπας οἱονεὶ δέχας τί ὂν, ἀπὸ τοῦ δέχεσθαι τὸν οἶνον, τροπῇ τοῦ χ εἰς π δέπας γίνεται.

Ib. ἀμφικύπελλον] Τουτέστιν ἀμφοτέρωθεν κύκλον καὶ περιφερὲς, ἢ οἱονεὶ ἀμφιχύπελλον, ἔνθα χεῖται ὁ πηλὸς, τουτέστιν ὁ οἶνος, καὶ τροπῇ τοῦ χ εἰς κ κύπελλον, ὅθεν καὶ κάπηλος ὁ τὸν οἶνον χέων, τουτέστιν ὁ τὸν οἶνον πωλῶν. εἴρηται πηλὸς ὁ οἶνος ἀπὸ τοῦ πάλλειν καὶ κραδαίνειν ἡμῶν τὴν καρδίαν, ὅθεν καὶ ἡ μέθυσις κραιπαλισμὸς λέγεται, παρὰ τὸ τὴν κάραν πάλλειν.

586. τέτλαθι] Ἔστι προστακτικὸν τῶν εἰς μι ἐνεστῶτος καὶ παρατατικοῦ β΄ συζυγίας τῶν περισπωμένων. τλῶ τλῆμι, τὸ πρῶτον τῶν πληθυντικῶν τλάμεν, καὶ τὸ προστακτικὸν τλάθι, καὶ κατὰ ἀναδιπλασιασμὸν τέτλαθι. ἔστι δὲ ἀόριστος δεύτερος ἔτλην, ἡ μετοχὴ τλὰς, τλάθι, καὶ μετὰ τοῦ ἀναδιπλασιασμοῦ τέτλαθι.

590. ἀλεξέμεναι] Ἔστιν ἀπαρέμφατον ἀλέξειν, καὶ Ἰωνικῶς ἢ Δωρικῶς ἀλεξέμεναι.

Ib. μεμαῶτα] Ἔστι μετοχὴ ἀπὸ τοῦ μῶ τὸ ζητῶ καὶ προθυμοῦμαι δευτέρας συζυγίας τῶν περισπωμένων, ὁ μέλλων μήσω, ὁ παρακείμενος μέμηκα, ἡ μετοχὴ μεμηκὼς, μεμηκότος, καὶ τροπῇ τοῦ η εἰς α μεμακώς.

591. τεταγὼν] Ἔστιν ἀορίστου δευτέρου μετοχή. τὸ θέμα τάξω τὸ σημαῖνον τὸ τείνω καὶ ἑλκύω, ὁ μέλλων τάξω, ὁ παρακείμενος τέταγα, ὁ β΄ ἀόριστος ἔταγον, καὶ ἡ μετοχὴ ταγὼν, καὶ κατὰ ἀναδιπλασιασμὸν τεταγών.

Ib. βηλοῦ] Εἴρηται ὁ βαθμὸς, παρὰ τὸ ἐπ' αὐτὸν βαίνειν ἡμᾶς. τουτέστι παρὰ τὸ βῶ τὸ βαίνω, βήσω, βηλὸς, ἐξ οὗ καὶ βαλβὶς ἀπὸ τοῦ βηλὸς βηλὶς, ὡς ψῆφος ψηφὶς, καὶ τροπῇ τοῦ η εἰς α, καὶ πλεονασμῷ τοῦ β βαλβίς.

593. κάππεσον] Ἔστιν ἀορίστου δευτέρου ἐκ τοῦ πεσῶ περι-

σπωμένου, ὁ β′ ἀόριστος ἔπεσον, καὶ μετὰ τῆς κατὰ κατέπεσον, καὶ ἐν συγκοπῇ κάππεσον.

Ib. ἦεν[o]] Ἔστιν ἀορίστου δευτέρου γ′ προσώπου. τὸ θέμα ἔω, τὸ σημαῖνον τὸ ὑπάρχω, ἐξ οὗ καὶ ὁ μέσος παρακείμενος ἦα, ὡς καὶ ἡ χρῆσις δηλοῖ "ἦα φυγοπτόλεμος." ὁ δεύτερος ἀόριστος ἦον, καὶ τὸ β′ ἦες, καὶ τὸ γ′ ἦε, καὶ τὸ ν ἐφελκυστικόν ἐστι, καὶ γίνεται ἦεν, καὶ ἐν συναιρέσει ἦν, "ἐν ἀρχῇ ἦν ὁ Λόγος." τὸ γὰρ ε καὶ η εἰς η κιρνᾶται, ὡς ἡ ἐμὴ ἡμή.

594. Σίντιες] Ἔστιν ὄνομα εὐθείας τῶν πληθυντικῶν, ἡ εὐθεῖα τῶν ἑνικῶν ὁ Σίντις τοῦ Σίντιος. γέγονε δὲ παρὰ τὸ σίνω τὸ βλάπτω.

Ib. ἄφαρ] Ἐπίρρημα μεσότητος ἀντὶ τοῦ εὐθέως.

Ib. κομίσαντο] Ἐκ τοῦ κομίζω, ὁ μέλλων κομίσω.

598. νέκταρ] Ὄνομα οὐδέτερον. ἰστέον δὲ ὅτι διαφορὰ ἐπίσταται τοῦ νέκταρος καὶ ἀμβροσίας, νέκταρ μὲν τὸ τῶν θεῶν πόμα, ἀμβροσίαν δὲ τὴν τῶν θεῶν βρῶσιν.

Ib. ἀφύσσων] Τουτέστιν ἀπαντλῶν. ἔστι δὲ μετοχὴ χρόνου ἐνεστῶτος, τὸ θέμα ἀφύσσω, ὁ μέλλων ἀφύξω. ἔστι δὲ ὁ ἐνεστὼς ἀφύω, καὶ ὁ μέλλων ἀφύσω, καὶ μετάγεται εἰς ἐνεστῶτα.

599. ἐνῶρτο] Ἔστι παρατατικοῦ παθητικοῦ. τὸ θέμα ὄρω τὸ διεγείρω, ὁ Αἰολικὸς μέλλων ὄρσω, εἶτα ὁ παθητικὸς ἐνεστὼς ὄρομαι, ὁ παρατατικὸς ὠρόμην, καὶ τὸ γ′ ὤρετο, καὶ κατὰ συγκοπὴν ὦρτο, καὶ μετὰ τῆς εν προθέσεως ἐνῶρτο, ἔστι δὲ καὶ ἀορίστου δευτέρου.

600. ποιπνύοντα] Ἔστι μετοχὴ γένους οὐδετέρου, ὁ ἐνεστὼς ποιπνύω. γέγονε δὲ ἀπὸ τοῦ πονῶ πονύω, καὶ κατὰ πλεονασμὸν τοῦ ι ποιπνύω. ἢ καὶ οὕτως· παρὰ τὸ ποιῶ καὶ τὸ πνύειν, τὸ μετὰ πνεύματος καὶ σπουδῆς ποιεῖν τι καὶ ἐνεργεῖν. ἔγκειται οὖν ὃ ποιεῖ τις καὶ τὸ πνύειν.

602. ἐδεύετο] Ἔστι παρατατικὸς παθητικὸς τρίτου προσώπου τῶν ἑνικῶν, ὁ ἐνεστὼς δεύω, τὸ σημαῖνον τὸ ἐνδεοῦμαι, ὁ παθητικὸς δεύομαι, ὁ παρατατικὸς ἐδευόμην, τὸ γ′ ἐδεύετο. γέγονε δὲ παρὰ τὸ δέω τὸ χρήζω πλεονασμῷ τοῦ υ.

603. φόρμιγγος] Μετάθεσις τοῦ ρ φόρμιξ, ἐστὶ παρὰ τὸ

[o] Scil. ἐνῆεν.

προηγεῖσθαι τῆς οἴμης, τουτέστι τῆς ᾠδῆς, πρῶτα γὰρ ἐκιθάριζεν ὁ Ἀπόλλων, εἶτα ἐπῆγον τὴν ᾠδὴν αἱ Μοῦσαι.

604. ὀπὶ] Δοτικῆς πτώσεως γένους θηλυκοῦ, ἡ εὐθεῖα ἡ ὄψ, ὃ σημαίνει τὴν φωνὴν, γέγονε δὲ παρὰ τὸ ἔπω τὸ λέγω, ὁ μέλλων ἔψω, ἀποβολῇ τοῦ ω, ἒψ, καὶ τροπῇ τοῦ ε εἰς ο ὄψ, ὀπὸς, καὶ ἡ δοτικὴ ὀπί.

606. κακκείοντες] Ἔστι μετοχὴ ἐνεστῶτος καὶ παρατατικοῦ. ἔχει δὲ ἔμφασιν μέλλοντος. ἔστι κῶ ῥῆμα δηλοῦν τὸ κοιμῶμαι, τούτου παράγωγον κείω, καὶ μετὰ τῆς κατὰ προθέσεως κατακείω, καὶ ἐν συγκοπῇ κακκείω, καὶ ἡ μετοχὴ κακκείων, καὶ τὰ λοιπὰ δῆλα.

607. πραπίδεσσιν] Ἔστι δοτικὴ τῶν πληθυντικῶν, ἡ εὐθεῖα πραπὶς, ἡ γενικὴ πραπῖδος, γέγονε δὲ παρὰ τὸ φρῶ τὸ προϊῶ, φραπὶς, ὡς λέπω λεπὶς, κόπτω κοπὶς, τροπῇ τοῦ φ εἰς π, πραπὶς ἀφ' ἧς προΐεται τὰ βουλεύματα. οὕτω Φιλόξενος. ἐντεῦθεν γέγονε καὶ τὸ φρὴν ἀπὸ τοῦ προϊῶ, καὶ κατὰ συγκοπὴν πρῶ, καὶ τροπῇ τοῦ φ εἰς π φρῶ, καὶ ἐξ αὐτοῦ φρήν.

609. ἤϊε] Ἔστι μέσος παρακείμενος τρίτου προσώπου, ἐκ τοῦ εἴω ἐνεστῶτος γέγονεν ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, καὶ ἐκτάσει τοῦ ε εἰς η, καὶ ἐν διαλύσει ἤϊα, καὶ τὸ γ' ἤϊε.

610. ἱκάνοι] Ἔστιν εὐκτικὸν ἐνεστῶτος καὶ παρατατικοῦ γ' προσώπου. τὸ θέμα ἱκάνω, ταῦτα γὰρ τὰ διὰ τοῦ ανω ἄχρι τοῦ παρατατικοῦ κλίνονται.

611. καθεῦδεν] Ἐκ τοῦ εὕδω ἐν συνθέσει. δεῖ γινώσκειν ὅτι οὐκ ἀνέδωκε τὸν τόνον, ἐπειδὴ ἀπὸ φύσει μακρᾶς ἤρξατο, ὡς εἴρηται. τὸ δὲ κάθευδε προπαροξύνεται, προστακτικὸν γάρ ἐστι, καθὼς ἐν τῷ καθῆστο καὶ κάθησο εἴρηται.

Ib. ἀναβὰς] Ἔστι μετοχὴ ἀορίστου δευτέρου τῶν εἰς μι. τὸ θέμα βῆμι, ὁ μέλλων βήσω, ὁ δεύτερος ἀόριστος ἔβην, καὶ ἡ μετοχὴ βὰς καὶ ἀναβάς.

Τέλος σὺν Θεῷ τῶν Ἐπιμερισμῶν.

COD. REG. 3058.

Cod. Reg. 3058. Chart. Sæc. XVI. continet Arsenii Violetum et in Marg. inter alia, plurima Scholia in Hom. Iliad. ejusdem manu ut vid. scripta, quæ Lexici modo alphabetico ordine disposita sunt. Hæc variis fontibus derivata esse videntur, sicut illa quæ initio hujus Vol. e Codice 2769 ab eodem Arsenio congesta dedimus. Horum vero hoc esto specimen.

Ἄβολος, νέος· πώλοις ἀβόλοις, οὐδέπω ἐγκύμονα[a] ἔχουσι. γνώμονα δ' ἔλεγον τὸν βαλλόμενον ὀδόντα, δι' οὗ τὰς ἡλικίας ἐξήταζον. τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον· ἐκ μεταφορᾶς δὲ τῆς ἀπὸ τῶν τετραπόδων· καὶ λειπογνώμονας τοὺς ἀπογεγηρακότας, ἐν οἷς ἐλελοίπει τὸ γνώρισμα[b].

[c] *" Ὡς ἄρ' ἀλώπηξ κἀετὸς ξυνωνίαν ἔθεντο," καὶ τὰ ἑξῆς. καὶ πάλιν, " ἐρέω τίν' ὑμῖν αἶνον ὦ Κηρυδίκη ἀχνυμένη σκυτάλη." εἶτ' ἐπιφέρει· " πίθηκος ᾔει θηρίον ὑποκριθεὶς μοῦνος ἂν ἐσχατιήν· τῷ δ' ἄρ' ἀλώπηξ κερδαλῆ συνήντετο πύκν' ἔχουσα νόον." καὶ Ἡσίοδος·*

νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω νοέουσι καὶ αὐτοῖς·
ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.

ἀπὸ δὲ φυτῶν, ὡς ἔχει τὸ τοῦ Καλλιμάχου, " ἄκουε δὴ τὸν αἶνον. ἔνκοτε Τμώλῳ δάφνην ἐλαία νεῖκος οἱ πάλαι Λυδοὶ λέγουσι θέσθαι·" ἡ δὲ παροιμία τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει, ἐνδέουσα τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδεχομένη μετάβασιν. οἷον, " μένε βοῦς ποτὲ βοτάνην," καὶ " ἄκισσος μετ' ἀνθεστήρια." ἐτυμολογεῖται δὲ ὁ μὲν αἶνος παρὰ τὸ ἰαίνω τὸ πέμπω καὶ διαχέω· ἰαίνεται γὰρ καὶ διαχέεται ἡ ψυχὴ τῇ διηγήσει τῶν τοιῶνδε λό-

[a] Leg. *γνώμονα.* [b] Hæc sunt verba Schol. Plat. de Leg. p. 453. Bekker. [c] Desunt quædam quæ ad v. *αἶνος* cum seq. spectant. Vid. Arsen. Viol. Præf. p. 6.

γων. ἴαινος, καὶ ἀφαιρέσει αἶνος, ὁ τὴν διάνοιαν ἰαίνων καὶ περιτέρπων· Ὅμηρος,

ἰαίνεται δὲ φρένας εἴσω.

ἡ δὲ παροιμία ἐκ τῆς παρὰ προθέσεως καὶ τοῦ οἶμος ἡ ὁδὸς, παραοιμία καὶ παροιμία, ἤτοι τὸ παροδικὸν τρίμμα τε καὶ διήγημα. ἐν γὰρ τῇ ἀρχῇ ἔτι τῶν τρίβων ἀσήμων οὐσῶν, διὰ τὸ τοὺς ὁδεύοντας μὴ ἀποκάμνειν, τῷ μὴ γινώσκειν πόσον τῆς ὁδοῦ διήνυσαν, καὶ τί λείπεται, τὰ νῦν προσαγορευόμενα μίλια πρὸς Ῥωμαίων, τότε σημεῖα καλούμενα, οἱ παλαιοὶ κατά τινας τῆς ὁδοῦ τόπους ἐτίθεσαν, καὶ τούτοις ἐπέγραφον τινὰ ζητήματα. τοῦτο δὲ ἐποίουν δυοῖν ἕνεκα, τοῦ τε γνωρίζειν τὸν ὁδεύοντα τῆς ὁδοῦ τὸ ποσὸν, καὶ τὸν ἀναγινώσκοντα τὸ ἐπίγραμμα καὶ τὴν περὶ τούτου σαφήνειαν καταγιγνόμενον, τοῦ καμάτου ἐπικουφίζεσθαι. περιέχει δὲ παίδευσιν ἠθῶν, καὶ παθῶν ἐπανόρθωσιν καὶ τῶν πρακτέων πυκνὰς ὑποθήκας. περὶ μὲν οὖν ἐτυμολογίας, καὶ διαφορᾶς αἴνου καὶ παροιμίας, ἔτι τε περὶ τῶν ὅρων τοῖνδε αὐτῶν, ἔχουσι φάναι καὶ ἄλλα, ἱκανά γε ὅμως εἰρημένα τοσάδε.

[c] Ὑποκυψάντων[d] Ἀλεξάνδρου[e], μόνους Ἀβίους φασὶν οὐχ ὑπεῖξαι. μόνον δὲ ἐπισκεψαμένους τὴν ψυχὴν τοῦ ἀνδρὸς, ἐπικηρυκεύσασθαι πρὸς αὐτόν· οὓς δικαιοτάτους φησὶ διὰ τὸ ἀνεπίμικτον· ἢ ὅτι κοινοὺς ἔχουσι παῖδας καὶ γυναῖκας καὶ τὰ πάντα, πλὴν ποτηρίου καὶ ξίφους· τούτοις αὐτόματος ἡ γῆ φύει βοτάνας, ζῷον δὲ οὐδὲν ἐσθίουσιν. ἄβιοι[f] δὲ οἱ ἀνέστιοι, οὗτοι καὶ ἁμαξόβιοι, καὶ νομάδες ὀνομάζονται.

Il. E. 892. Ἀάσχετον] Τὸ ἄγαν ἀκατάσχετον. ἔστι δὲ τὸ μὲν πρῶτον α ἐπιτατικὸν, τὸ δὲ δεύτερον στερητικὸν,

μητρός τοι μένος ἐστὶν ἀάσχετον.

B. 542. Ἄβαντες θοοὶ ὄπισθεν κομόωντες] Ἀγχέμαχος ὁ Εὐβοεὺς φησὶ τοὺς Κούρητας ἐν Χαλκίδι οἰκῆσαι· συνεχῶς δὲ τοῖς ἀστυγείτοσιν ἐπολέμουν. ἐπεὶ δὲ οἱ πολέμιοι τῆς κόμης ἁπτόμενοι κατέσπων αὐτοὺς, ὀπισθοκόμους γενέσθαι φασὶ, τὰ δὲ

[c] Hoc Scholion ad v. Ἀβίων (Il. N. 6.) pertinet. [d] Suppl. Πάντων Σκυθῶν ὑποκ. [e] Leg. Ἀλεξάνδρῳ. [f] ἄβιος restituendum credo Teleti Stob. Tit. 95, 21. p. 253. ed. Gaisf. ubi legitur ἐπεὶ καὶ τῶν τοιούτων φροντίδων μοι δοκεῖ ὁ ἄσιος λελυμένος.

ἔμπροσθεν κείρεσθαι· διὸ καὶ Κούρητας ἀπὸ τῆς κουρᾶς κληθῆναί φασιν

αἰχμητὰς, μεμαῶτες ὀρεκτῇσι μελίῃσι.

τοῖς ἐκ χειρῶν δόρασιν, οἷς ὀρέγδην ἐχρῶντο, συνιστάμενοι καὶ ἐκτείναντες αὐτὰ, ὀρέξασθαι γὰρ τὸ ἐκ χειρὸς πατάξαι. καὶ ὁ χρησμὸς οὕτω περὶ αὐτῶν λέγει,

ἄνδρες δουρεμάχοι ναίουσιν ὕδωρ καλῆς Ἀρεθούσης·

ἦν δὲ παρ᾽ αὐτοῖς αἰσχρὸν τὸ τοξεύειν.

Δ. 540. Ἄβλητος καὶ ἀνούτατος] Λέγεται ὁ μήτε ἀπὸ διαστήματος τρωθεὶς δόρατι ἢ ὀϊστῷ, μήτε ἐκ τοῦ σύνεγγυς ξίφει· τοῦτο γὰρ διαφέρει βολὴ τρώσεως· βάλλω ἐκ τοῦ πόρρω, ἐξ οὗ καὶ βολή· τιτρώσκω ἐκ τοῦ σύνεγγυς, ὅθεν ἡ τρῶσις.

Κ. 65. Ἀβροτάζειν] Ἢ τὸ βροτοῦ ἀποτυγχάνειν ἐν ὁδῷ, ἢ τὸ ἐν ἀβρότῃ τουτέστιν ἐν νυκτὶ ἀποπλανᾶσθαι. ἐν δὲ παλαιῷ κατὰ στοιχεῖον λεξικῷ γράφεται οὕτως· ἀβρόταξις, ἁμαρτία, διαμφόδησις· καὶ ἀβροτάξομεν διαμφοδήσομεν, ἁμαρτήσομεν ἀλλήλων· καὶ ὅρα τὸ διαμφοδῆσαι παρὰ τοῖς παλαιοῖς ἀντὶ τοῦ ὧδε καὶ ἐκεῖ τραπέσθαι, καὶ ἀστοχῆσαι τῆς ὀρθῆς ἀμφόδου.

Ν. 41. Ἄβρομοι, αὐΐαχοι] Φύσει γὰρ ὄντες θορυβώδεις, τῇ νίκῃ πλεῖον θορυβοῦσιν. ἔλαβε δὲ τὸν μὲν βρόμον, ἀπὸ τοῦ πυρὸς, τὴν δὲ ἰαχὴν ἀπὸ τῆς θυέλλης· τὸ δὲ αὐΐαχοι ἀντὶ τοῦ ἀνίαχοι· τοῦ γὰρ ν ἐξαιρεθέντος, ὑπεισῆλθε τὸ υ, ὡς καὶ τὸ ἀγανοὶ ἀγαυοί.

Ξ. 78. Ἀβρότη] "Νὺξ ἀβρότη," ἡ θεία, οἱονεὶ ἀμβρότη· ἔστι γὰρ ἱερὰ τῶν θεῶν ἡ νὺξ, ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται. ἢ ἐν ᾗ βροτὸς καὶ φόνος καὶ μολυσμὸς οὐ γίνεται· ἔλυον γὰρ νυκτὸς τὰς τάξεις, ἢ μεταληπτικῶς ἡ φῶς μὴ ἔχουσα· βροτὸς γὰρ ὁ φῶς· καὶ Αἰσχύλος

ἄβροτον εἰς ἐρημίαν,

ἐν ᾗ φῶς οὐ γίνεται.

Β. 164. Ἀγανοῖς ἐπέεσσι] Λόγοις προσηνέσι, παρὰ τὸ α ἐπιτατικὸν μόριον καὶ τὸ γάννυσθαι, οἷς τις ἄγαν γάννυται, ἤγουν χαίρει, ὅθεν καὶ γάνος ἡ χαρά. ἐν δὲ ῥητορικῷ λεξικῷ γράφεται ταῦτα. ἀγανὸν τὸ καλὸν καὶ ἡδὺ καὶ προσηνές. πότε δὲ κατὰ ἀντίφρασιν τὸ χαλεπόν. ἐν ἑτέρῳ δὲ, ὅτι καὶ ἄγανον ἐστὶ προπαροξυτόνως, καὶ δηλοῖ τὸ κατεαγὸς, τραγικώτερον δὲ φησὶ τὸ ὄνομα.

Σ. 39. Ἀγκῦλον] Σημαίνει τρία· τὸ σκολιὸν, ὡς ὅταν λέγῃ ἀγκυλομήτην τὸν Κρόνον, τὸν σκολιὰ βουλευσάμενον κατὰ τοῦ πατρὸς καὶ τῶν παίδων. τοῦ μὲν γὰρ τὰ αἰδοῖα τῇ ἅρπῃ ἀπέτεμε, τοὺς δὲ κατέφαγε. καὶ τὸ περιφερὲς σχῆμα, ὡς τὸ ἀγκύλα κύκλα· καὶ τὸ ἰσχυρὸν, ὡς τὸ ἀγκύλον ἅρμα.

Η. 416. Ἀγγελίην ἀπέειπε] Ἀπήγγειλε καὶ ἀπεφήνατο, ἢ ἀπεδοκίμασε καὶ ὡς ἀνωφελῆ ἀνήγγειλεν, ὅτι οὐ προσεδέξαντο τὴν πρεσβείαν οἱ Ἕλληνες.

Η. 41. Ἀγασσάμενοι] Τὸ μὲν ἀγάασθαι, φθόνου· τὸ δὲ ἀγάσσασθαι ἐπὶ ἐκπλήξεως.

Κ. 127. Ἀγερέεσθαι, καὶ ἠγερέεσθαι] Ὡς τὸ

ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέεσθαι.

ἀπὸ ἐνεστῶτος τοῦ ἠγερῶ. αὐτὸς δέ γε ἀπὸ μέλλοντος παρῆκται τοῦ ἀγερῶ αὐξηθέντος, ὡς τὸ ἀπύω ἠπύω. πολλοὶ δὲ καὶ ἕτεροι ἐνεστῶτες, οἱ μὲν οὕτως, οἱ δὲ ἄλλως αὔξονται, ὡς καὶ τὸ εἰῶ ἀντὶ τοῦ καταλιμπάνω, καὶ ἠλάσκω, καὶ ὠρῶ τὸ φυλάσσω.

Ξ. 355. Ἀγγελίην ἐρέων γαιηόχῳ ἐνοσιγαίῳ] Διὰ τὴν ἐπαγγελίαν τῆς ἐρωμένης, καὶ ἃ μὴ κελεύεται ὁ ὕπνος ποιεῖ. οὐ γάρ ἐστι τῶν συμμαχούντων, ὡς οὐδὲ ὁ ἥλιος, οὐδὲ ἡ Δημήτηρ. καὶ πόθεν μαθὼν ἐπαγγέλλει τῷ Ποσειδῶνι; ἢ συνῆκεν ἐκ τοῦ εἰρημένου ὑπὸ τῆς Ἥρας,

ἦ φῂς ὡς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆνα·
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.

οὐκ ἀναγκαίως φασὶ τὸ ἀπόρρητον ἐξήνεγκεν. ἢ πρὸς τὸ θαρραλεώτερον ποιῆσαι Ποσειδῶνα τὴν τέχνην τῆς Ἥρας ἐδήλωσεν.

Ο. 404. Ἀγαθὴ δὲ παραίφασις ἐστὶν ἑταίρου] Ἀγαθὴ ἡ ἐξ ἑταίρου γινομένη παραμυθία. οὐχ ἡ δύναμις ῥητορείας· διὸ οὐδὲ Νέστωρ, ἀλλ' οἱ φίλοι ἐν ταῖς λιταῖς πρεσβεύουσιν.

Ἀγορὰ, ὁ τόπος ἔνθα ἀγορεύουσιν]

ἵξον δ' εἰν ἀγορῇ τετιηότες.

καὶ ἡ δημηγορία καὶ ὁ λόγος·

ἀγορῇ δὲ ἑ παῦροι Ἀχαιῶν
νίκων.

καὶ ἡ ἐκκλησία·

τῆδε κατὰ δ' ἀγορὴν δ' ἐκαλέσατο.

καὶ ἡ ἄγυρις, ἡ συνδιαγωγὴ καὶ τὸ ἄθροισμα. "ἀγορὴ θεῶν." καὶ

κινήθη δ' ἀγορή.

Δ. 400. Ἀγορῇ δὲ τ' ἀμείνω]

τοῖος ἔην Τυδεὺς Αἰτωλός· ἀλλὰ τὸν υἱὸν
γείνατο εἷο χέρηα μάχῃ· ἀγορῇ δὲ τ' ἀμείνω.

οὐ γὰρ μετεῖχε λόγου Τυδεύς. Ἀντίμαχος δέ φησιν ὅτι παρὰ συφορβοῖς ἐτράφη. καὶ Εὐριπίδης,

οὐδ' ἐν λόγοις ἦν δεινὸς, ἀλλ' ἐν ἀσπίδι.

πιθανῶς δὲ προφυλαξάμενος, ἀγορητὴν αὐτὸν φησὶν, ἵνα πρὸς τὴν ἀπολογίαν ὀκνήσῃ, διὸ οὐδὲν προσφθέγγεται ὁ Διομήδης·

ὣς φάτο, τὸν δ' οὔτι προσέφη κρατερὸς Διομήδης.

E. 765. Ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην Ἥ ἑ μάλιστ' εἴωθε κακῇς ὀδύνῃσι πελάζειν] ἄνωθεν κατασκευάζει τρῶσιν Ἄρεος· ἄλλως τε τὸν ταραχώδη, ἡ τῆς συνέσεως προεστηκυῖα καταλύει.

Λ. 512. Ἄγρει σῶν ὀχέων ἐπιβήσεο· πὰρ δὲ—ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος καὶ τὰ ἑξῆς.] Οὐχ ὅτι τὸ δέον μᾶλλον ὁρᾷ τοῦ Νέστορος, ἀλλ' ὅτι ἀπίθανον ἦν τοῦτον τὸν λόγον περιθεῖναι αὐτῷ, ὡς περὶ ἰδίας σπεύδοντι ἀπαλλαγῆς· πιθανὴ δὲ αὐτῷ καὶ ἡ ἀναχώρησις, κατὰ πρόφασιν τῆς τοῦ ἰατροῦ ἐπιμελείας, ἵνα καὶ τούτου ἔρημον γένηται τὸ στράτευμα. ἀπαλλάσσει δὲ αὐτὸν δευτέρων κινδύνων ὁ ποιητής. στερόμενον τῶν σωζόντων δὲ τοῦτον ἠδύνατο ὁ ποιητὴς καὶ πεζὸν ἐπὶ τὰς ναῦς ἀγαγεῖν. τὸν γὰρ ὦμον ἦν τετρωμένος· οἰκονομικῶς δὲ ἐφ' ἅρματος ἐποίησεν αὐτὸν ἀπιόντα, διὰ τὸ τῶν ἵππων τάχος, ἵνα παραδράμῃ τοῦ Ἀχιλλέως τὴν ὄψιν, καὶ μὴ δυνηθεὶς καταμαθεῖν ἀκριβῶς τίς ἐστι, τὸν Πάτροκλον τοῦτο εἰσόμενον ἐκπέμψῃ· ἔστι δὲ τὸ μὲν ἄγρει παρορμητικὸν ἐπίρρημα, τὸ δὲ ἄγε παρακελευστικόν. ἰστέον δὲ ὅτι τοῦ πρακτικοῦ μόνον ἐμνήσθη, καταλιπὼν τὸ θεωρητικόν· ὅπερ ἐστὶ μέγιστον μέρος τῆς ἰατρικῆς· διὸ μεσολογίαν λογιστέον τὸ, "ἰητρὸς γὰρ ἀνήρ·" ἀρκεῖ γὰρ εἰς τέλειον ἔπαινον· τὸν ἐπιφερόμενον δὲ στίχον πρὸς τὸν ἀνώτερον ἀνακτέον, ἵνα ᾖ οὕτως· ταχύτατα δὲ εἰς τὰς ναῦς ἔλαυνε τοὺς μονώνυχας ἵππους, ἰοὺς τ' ἐκτάμνειν καὶ τὰ ἑξῆς· φασὶ τινὲς ὡς ἐμείωσεν αὐτῷ τὸν ἔπαινον, μερικὴν αὐτῷ προσθεὶς τὴν εἴδησιν, καί τοί φησιν,

ὃς ῥάτε πάσης
εὖ εἰδὼς σοφίης.

οἱ μὲν οὖν φασιν ὅτι τὸ χειρουργικὸν καὶ τὸ φαρμακευτικὸν εὕρηται παρὰ τοῖς παλαιοῖς. τοῦ γὰρ διαιτητικοῦ Ἡρόδικος μὲν ἤρξατο, συνετέλεσε δὲ καὶ Ἱπποκράτης, Πραξαγόρας, Χρύσιππος· ἔνιοι δέ φασιν ὡς οὐδὲ ἐπὶ πάντας τοὺς ἰατροὺς ὁ ἔπαινος οὗτος ἐστὶ κοινὸς, ἀλλὰ τὸν Μαχάονα μόνον χειρουργεῖν θέλουσι. τὸν γὰρ Ποδαλείριον διαιτᾶσθαι φασὶ τὰς νόσους, καὶ τεκμήριον ὅτι Ἀγαμέμνων τρωθέντος Μενελάου, οὐ Ποδαλείριον καλεῖ, ἀλλὰ Μαχάονα. εἰ δὲ μὴ παράγει τινὰ διαιτώμενον, οὐ θαῦμα, διὰ γὰρ τὸ ἀπρεπὲς παρῆκε τὴν δίαιταν. αἰσχρὸν γὰρ ἦν τὸν ἥρωα πυρέττοντα παραβαλεῖν, ἢ κενούμενον τὴν γαστέρα, ἢ προποτιζόμενον· ἢ μόνων τῶν ἐν πολέμῳ ἐνεργούντων μέμνηται· εἰσὶ δὲ φάρμακα καὶ χειρουργίαι. εἰ δὲ ἀπὸ τῶν ἡττόνων ὁ ἔπαινος, καὶ τοῦτο ἰατρικῆς ἐγκώμιον, τὸ καὶ τὰ ἡττώμενα μέρη ταύτης πολλῶν ἀντάξια.

Γ. 372. Ἄγχε δέ μιν πολύκεστος ἱμὰς ἁπαλὴν] Ἔπνιγε δὲ αὐτὸν ὁ πολύκεστος ἱμὰς, ὁ πολυκέντητος λῶρος ὑπὸ τὸν τρυφερὸν αὐχένα. ὡς ἐπὶ γυναικὸς δὲ ἁπαλῆς εἶπεν, ὡς οὐκ εἰωθυίας κόρυθα φορεῖν.

Ν. 769. Ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι, δύσπαρι, εἶδος ἄριστε γυναιμανὲς] Ὡς αἴτιον τῆς μάχης, καὶ ἐπεὶ δι' αὐτὸν ὁ τῶν ἀρίστων κίνδυνος. ἔχει δὲ ἦθος ὁ λόγος· αὐτὸς γὰρ μᾶλλον αἴτιος τῆς ἐκείνου ἀπωλείας γεγονὼς, ὡς ἀναγκάσας αὐτοὺς διαβῆναι τὸ τεῖχος, ἄλλῳ τὴν αἰτίαν ἀναφέρει, ὅπερ ἴδιον τῶν δυσχεραινόντων, καὶ τὰ ἴδια ἁμαρτήματα μετατιθέντων. ὃ καὶ ῥέγχει ὁ Πάρις ἐν τῇ ἀποκρίσει·

Ἕκτορ ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι.

Λ. 425. Ἀγοστῷ, ἕλε γαῖαν ἀγωστῷ] Τῇ δρακὶ, παρὰ τὸ ἄγειν, οἱ δὲ τῇ ἀγκάλῃ· οὐ δύναται δὲ ἀγκῶνι λέγεσθαι. οὐδεὶς γὰρ μετ' αὐτοῦ δράσσεται γῆς· ἢ τῇ χειρὶ, ἀπὸ τοῦ καθόλου δὲ λέγει τὸ μερικόν.

Λ. 817. Ἆ δειλοὶ Δαναῶν ἡγήτορες ἠδὲ μέδοντες· ὡς ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης ἄσειν ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δήμῳ] Εὖ τὸ μὴ πρὸς Εὐρύπυλον ποιήσασθαι τὸν

λόγον μηδὲ τὴν τούτου συμφορὰν ἀποδύρασθαι [ἀπολοφύρεσθαι]. ἀλλὰ τοὺς συμπότας ἡγεμόνας ἀνακαλεῖν, καὶ τούτων θρηνεῖν τὰ παθήματα, ὡς ἐν τῷ Εὐρυπύλῳ αὐτὰ θεώμενον.

M. 80. Ἄαδε δ' Ἕκτορι μῦθος ἀπήμων] Ἤρεσε δὲ τῷ Ἕκτορι λόγος ὁ ἄλυπος, ἤγουν ὁ λυσιτελὴς, ὁ γὰρ μὴ βλάπτων, λυσιτελής.

P. 443. Ἆ δειλὼ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι θνητῷ] Ἵνα τί ὔμμε δοῦναι τεθελήκαμεν, ἢ ἐπενεύσαμεν· ἐλλέλειπται γάρ τι τοιοῦτον τῇ ὀρθῇ συντάξει· τὸ ὅλον δὲ εἰς καταβολὴν τοῦ ἀνθρωπίνου γένους. εἰ γὰρ οἱ ἵπποι διὰ τὸ συνωμιληκέναι ἀνθρώποις ἐν χαλεποῖς γίνονται, καὶ διὰ τοῦτο δειλοὶ, πόσῳ μᾶλλον οὗτοι[f] οἱ ἄνθρωποι. εἶτα καὶ κατασκευάζει. πάντων ζώων εἶναι φήσας χείριστον τὸν ἄνθρωπον· πλεονεκτοῦμεν γὰρ τὰ ἄλλα ζῶα τῷ λογισμῷ μόνῳ, ἀλλὰ κατὰ πολλὰ ἐνδεέστεροι ἐσμὲν, αὐτῷ δὲ ᾧ δοκοῦμεν πλεονεκτεῖν, τὴν ἀντίληψιν τῶν κακῶν ποιούμεθα. διδάσκει οὖν μὴ μέγα φρονεῖν. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος ὑπὸ θεοῦ λεγόμενος.

K. 98. Ἀδδηκότες] Ὀκνήσαντες, ἀηδισθέντες· ὕπνῳ δὲ ἤγουν τῇ ἀγρυπνίᾳ· ἆδος γὰρ ὁ κόρος κατὰ παλαιούς.

Σ. 316. Ἀδινοῦ ἐξῆρχε γόοιο] Λεπτοῦ καὶ ἀσθενοῦς· οἱ δὲ δαψιλοῦς, παρὰ τὸ ἄδην.

Σ. 77. Ἀεκήλια ἔργα] Ἃ ἄκοντες πάσχομεν, ὅ ἐστι δυσχερῆ. Ἀρίσταρχος δέ φησι τὰ ἀναγκάζοντα αὐτοὺς σιωπᾶν, τὰ μὴ ἡσυχίας ἄξια, ταραχώδη, δεινά.

Γ. 327. Ἀερσίποδες] "Ἵπποι ἀερσίποδες," οἱ λίαν ταχεῖς, καὶ ὠκύποδες, ἢ ἀελλόποδες. ἐκ τοῦ ἀείρω ἀέρσω. ἀείρεσθαι δέ ἐστι, τὸ εἰς ἀέρα κουφίζεσθαι, ἀφ' οὗ καὶ "ἀερσιπότητος ἀράχνη" παρὰ Ἡσιόδῳ.

I. 189. Ἄειδε δ' ἄρα κλέα ἀνδρῶν] Ὅτι ἀειμνήστους δεῖ τοὺς ἀγαθοὺς εἶναι. οἱ γὰρ ἀοιδοὶ διὰ τῶν παλαιῶν ἱστοριῶν τοὺς ἀκούοντας ἐσωφρόνιζον. προσέθηκε δὲ τὸ ἀνδρῶν, ἐπεὶ καὶ θεῶν ᾄδουσι γάμους.

O. 25. Ἀζηχὴς ὀδύνη] Ἡ σκληρὰ, ἀπὸ τῆς ἄζης τῆς ξηρα-

[f] Sic et Cod. Townl.

σίας, ἐναντία τοῖς θάλλουσι φυτοῖς. λέγει δὲ ἴσως τὴν διὰ τῆς ἀπάτης ὀργήν. καὶ γίνεται ἀπὸ τοῦ ἀδιεχὴς καὶ διηχὴς, καὶ τροπῇ τοῦ δ εἰς ζ, καὶ ἐκθλίψει τοῦ ι, ζηχὲς καὶ ἀζηχὲς, ἤγουν ἡ μὴ διαχεομένη ἀλλ' ἐμμένουσα.

Ξ. 229. Ἄθως] Ὄρος ἐν Θρᾴκῃ καὶ μέγα καὶ ὑψηλὸν, ἐξέχον εἰς θάλασσαν, τὸν ἰσθμὸν ἔχων χερρονησώδη, σταδίων ιβ΄. τοῦτο Ξέρξης ὁ Περσῶν βασιλεὺς, ἀγανακτήσας ὅτι πρὸς αὐτὸ νῆες αὐτῷ διεφθάρησαν, ἐποίησε θάλασσαν διακόψας. ἡ ἱστορία παρὰ Ἡροδότῳ.

Ε. 876. Ἀήσυλα ἔργα μέμηλε] Ἐκ τοῦ ἥδω ἥσω ἥσυλον καὶ ἀήσυλον. δηλοῖ δὲ τὰ μὴ τέρποντα καὶ ἥδοντα, μᾶλλον δὲ λυποῦντα.

Λ. 155. Ἀΐδηλον πῦρ] Τὸ οἱονεὶ ἄστατον καὶ ὡς εἰπεῖν ἀΐζηλον, καὶ μὴ ἵζον καὶ μένον ἐπὶ ἑνὸς τόπου, ὅτε δηλαδὴ ἄνεμος εἰλυφόων φέρει· τραπέντος τοῦ ζ εἰς δ. ἔνθα παραπηκτέον καὶ τὸ κατὰ μὲν Ὧρον τὸν γραμματικὸν ζήτρειον προπαροξυτόνως, ὃ δηλοῖ φασιν δούλων δεσμωτήριον, ἤγουν μύλωνα· ἐκεῖ γὰρ ἐδεσμοῦντο οἱ δοῦλοι. αὐτὸ γὰρ κατά τινας παρὰ τὸ δεῖν, ὅ ἐστι δεσμεύειν, καὶ τὸ τρεῖν ὅ ἐστι φοβεῖσθαι συντεθὲν, δήτρειον ζήτρειον γέγονε, μεταπεσόντος τοῦ δ εἰς ζ. οὕτω δέ φασι καὶ ζεῖρα ἐξ ὁμοίας τροπῆς ἐγένετο· συγκειμένη καὶ αὕτη παρὰ τὸ δεῖν τὸ δεσμεῖν καὶ εἴρειν. σημαίνει δέ φασι ζώνην καὶ χιτῶνα καὶ χλαμύδα, ἣν μέχρι καὶ ἐς ἄρτι παραφθείροντες οἱ Λυκιακοὶ, ἡμίζαρον λέγουσιν.

Ο. 709. Ἀϊκὰς τόξων] Τὰς βολὰς, τὰς ὁρμὰς, ἀπὸ τοῦ ἀΐσσω.

Ο. 402. Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος] Εἰ αὐτοσχεδὸν ὥρμησαν, πῶς ἀκοντίζει; ὑποκεχωρήκει γὰρ Ἰδομενεὺς ὡς πόρρωθεν ἀγωνιούμενος.

Ζ. 243. Αἴθουσαι] Αἱ πρὸς ἥλιον τετραμμέναι στοαὶ, παρὰ τὸ αἴθεσθαι.

Δ. 20. Αἳ δ' ὑπέμυξαν[g]] Ἐν μεμυκόσι τοῖς χείλεσιν ἀπεστέναξαν, ὃ πάσχουσιν οἱ ὀργιζόμενοι, καὶ μηδὲν ποιεῖν δυνάμενοι. ἠθικῶς δὲ καὶ τὸ γυναικεῖον σχῆμα πρὸ τῶν λόγων ἐμφαίνει,

[g] Edd. ἐπέμυξαν.

ὅπως γνώμης ἔχουσι. καὶ ἤρκει μὲν τοῦτο. ἡ δὲ ὀργὴ καὶ ἐπὶ λόγους ἄγει.

B. 774. Αἰγανέῃ] Ἀπὸ τοῦ αἶξ αἰγὸς, καὶ τοῦ ἵημι τὸ πέμπω, τὸ τὰς αἶγας τιτρῶσκον βέλος.

B. 235. Αἰδὼς Ἀργεῖοι κάκ' ἐλέγχεα εἶδος ἀγητοὶ] Οἱ τὰ μὲν παρὰ τῆς φύσεως εὐποροῦντες, οἰκείᾳ δὲ κακίᾳ ἀμελοῦντες, ὡς καὶ ἀλλαχοῦ,

οὐκ ἄρα σοίγε ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν

δηλοῖ δὲ ὅτι οὐδέν ἐστι κάλλος δίχα δυνάμεως.

Θ. 408. Αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττικεν εἴπω] Ἀεὶ γὰρ εἴωθεν ἐμποδίζειν καὶ κωλύειν ὅπερ ἂν εἴπω. ἡ μεταφορὰ ἀπὸ τῶν εἰς τὰς ἀσπίδας ἀποθραυομένων δοράτων.

Λ. 542. Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνίδαο] Ἐντεῦθεν φαίνεται τὸ "γνῶθι σαυτόν." δῆλον γὰρ ὡς πάντας τοὺς ἀρίστους σκοπῶν ὑπεχώρει. καί τοι Διὸς περὶ μόνου εἰπόντος Ἀγαμέμνονος. ἐντεῦθεν οἱ Στωϊκοὶ λαβόντες ἔχουσιν, ὅτι ὁ σοφὸς οὐ φεύξεται, αὐτὸς γὰρ μεταξὺ ἀριστείας καὶ ἀναχωρήσεως τὴν ἔφοδον ποιεῖται.

N. 95. Αἰδὼς Ἀργεῖοι, κοῦροι νέοι] Λείπει τὸ ἔστω. Ἑλληνικῶς δὲ τὰ τῆς αἰδοῦς προβάλλεται. ὁ δὲ Ἕκτωρ τοῖς βαρβάροις οὐ τὸ αἰσχρὸν, ἀλλὰ τὸν φόβον. εὖ δὲ καὶ τὸ τῆς ἀκμῆς ὑπομιμνήσκει ἐπὶ δειλίᾳ συγγνώμην ἐχούσῃ. διὸ καὶ δὶς ἐπανέλαβε τὸ ὄνομα· οἱ δὲ τὸ κοῦροι ἀντὶ τοῦ εὐγενεῖς.

O. 502. Αἰδὼς Ἀργεῖοι νῦν ἄρκιον ἢ ἀπολέσθαι ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν] Λείπει τὸ γινέσθω. καλὴ δὲ παρ' Ἕλλησιν αἰδοῦς ὑπόμνησις, οὐ φόβος ἀπειλούμενος, καὶ νεκρὸς ἄταφος, ὡς παρ' Ἕκτορι. νῦν ἄρκιον, ὠφέλιμον, ἢ ἕτοιμον, ὃ καὶ ἄμεινον· οἱ δύο δὲ η ἀντὶ τοῦ καὶ, οἷον καὶ σωθῆναι καὶ ἀπολέσθαι, σωθῆναι μὲν νικῶντας, ἀπολέσθαι δὲ μή. ἐπεὶ τοῦ δίχα νίκης σωθῆναι κρείττων ὁ θάνατος. οὐ μόνον δὲ ἔργοις, ἀλλὰ καὶ λόγοις ἀλλήλων ἀνταγωνίζονται.

ἢ ἔλπεσθ' εἴκε νῆας ἕλη κορυθαίολος Ἕκτωρ.

ἦθος καὶ εἰρωνείαν καὶ βάρος μεθ' ὑποκρίσεως αὐτοῦ τὰ ὁμολογημένα πυνθανομένου. ὅρα δὲ τὰ ἐπιχειρήματα ὅσα.

Αἶαν ἁμαρτοεπὲς, βουγάϊε, ποῖον ἔειπες] Ὦ Αἶαν ἁμαρτάνων

ἐν τῷ λέγειν, μεγάλως γαυριῶν, ὁποῖον εἶπες; τὸ βουγάϊον ἀκουστέον, διὰ τὸ ὑπερμεγέθη ἔχειν βοείαν ἀσπίδα. ὡσεὶ ἔλεγεν ὁ γαίων ἐπὶ τῇ ἀσπίδι, ὡς κύδεϊ γαίων. ἐπὶ δὲ τοῦ Ἴρου,

νῦν μὲν μήτ᾽ εἴης βουγάϊε, μήτε γένοιο.

χαριεντιζομένου ἀκουστέον διὰ τὸ μέγεθος, ὡς ὑπερμεγέθη ἂν ἔχοντος ἀσπίδα. λέγει δὲ μὴ εἴης μέγας, μηδὲ γένοιο μέγας. ᾧ ὅμοιον τὸ

ἦ μάλα Ἶρος ἄϊρος ἀπαγγέλλων ὅτέ που τὶς ἀνώγοι.

τούτῳ ὅμοιον τὸ

οὕτω γάρ κεν δή μοι εὐκλείη τ᾽ ἀρετή τε
εἴη ἐπ᾽ ἀνθρώπους, ἅματ᾽ αὐτίκα καὶ μετέπειτα,

ταυτὸ τῷ εἴη καὶ γένοιτο. ἁμαρτοεπὲς, τῶν βελτίστων λόγων ἁμαρτάνων, ἐπιλέλησται δὲ τοῦ

ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε
καὶ πινυτήν.

βουγάϊε, τὴν γῆν ἐργαζόμενε βοῦ, διὰ τὸ δυσκίνητον καὶ μὴ δρομικὸν ὡς Ἀχιλλεὺς, καὶ μέγα τοῦ σώματος. ἢ ἐπὶ τῇ ἀσπίδι γαίων. βουκαῖος δὲ ὁ ἄγροικος, ὡς Νίκανδρος,

βουκαῖος τ᾽ ἀλέγοι καὶ ὀροιτύπος.

N. 825. Αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς αἰγιόχοιο εἴην] Οὐ προμαντεύεται ἀλλὰ στοχάζεται. ἤκουσε γὰρ καὶ Ἀχιλλέως,

ἀμφὶ δέ τοι τῇ ᾽μῇ κλισίῃ
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι δίω,

ὅθεν καὶ τὸ περισσὸν ὑποφαίνει. τέσσαρα δὲ εὔχεται, καὶ παῖς Διὸς εἶναι, καὶ θεὸς ἀεὶ, καὶ ἐξ Ἥρας, καὶ ἴσος Ἀθηνᾷ καὶ Ἀπόλλωνι.

N. 829. Αἴκε ταλάσσῃς μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ, τοι χρόα λειριόεντα δάψει] Μακρὸν τὸ μέγα ἢ τὸ κατὰ βάθος ἐρχόμενον. λειριόεντα δὲ, εὐστραφῆ καὶ ἀνθηρὸν, χρόα δὲ λέγει τὴν ἕως ὀστῶν σάρκωσιν.

A. 202. Αἰγὶς, αἰγίοχος Ζεὺς] Κρόνος χρησμὸν λαβὼν, ὅτι ὁ ἴδιος αὐτὸν τῆς βασιλείας μεταστήσει υἱὸς, τὰ γεννώμενα κατέπινε. Ῥέα δὲ τεκοῦσα Δία, Κρόνῳ μὲν λίθον ἀντ᾽ αὐτοῦ σπαργανώσασα ἔδωκε καταπιεῖν. τὸ δὲ παιδίον εἰς Κρήτην δια-

κομίσασα, ἔδωκε Θέμιδι καὶ Ἀμάλθῃ, ἣ ἦν αἴξ. ταύτην οἱ Τιτᾶνες ὁπόταν ἐθεάσαντο ἐφοβοῦντο. αὕτη δὲ τοὺς ἑαυτῆς μαστοὺς ὑπέχουσα ἔτρεφε τὸ παιδίον. αὐξηθεὶς δὲ ὁ Ζεὺς μετέστησε τῆς βασιλείας τὸν πατέρα. πολεμούντων δὲ αὐτὸν τῶν Τιτάνων, Θέμις συνεβούλευσε τῷ τῆς Ἀμαλθίας δέρματι σκεπαστηρίῳ χρήσασθαι, εἶναι γὰρ ἀεὶ αὐτὸ φόβητρον. πεισθεὶς δὲ ὁ Ζεὺς ἐποίησε, καὶ τοὺς Τιτᾶνας ἐνίκησεν. ἐντεῦθεν αὐτὸν φασὶν αἰγίοχον προσαγορευθῆναι.

Π. 102. Αἴας δ' οὐκέτ' ἔμιμνε. βιάζετο γὰρ βελέεσσι.] Μέτεισιν ἐπὶ τὴν μάχην ὅπως τὴν ναῦν ἐμπιπραμένην δείξας τῷ Ἀχιλλεῖ τὸν Πάτροκλον ἐξαγάγῃ. καλῶς δὲ τῇ ἐκλογῇ τῶν ὀνομάτων χρῆται, φυγὴν γὰρ οὐκ ὠνόμασεν, ἀλλ' ὅτι μένειν οὐκ ἐδύνατο. καὶ τὰς πολλὰς αἰτίας ἐπάγει. θαυμάσιον δὲ τὸ κατὰ τὴν ἐπαγγελίαν ὁρῶ. φασὶ γὰρ ὅτι τινὲς ποιηταὶ φαντασίαν παρέχουσι τῷ λόγῳ ἐπιτροπικὰ χωροῦντες, καὶ παρ' αὐτῷ Ὁμήρῳ ἔστι πολλὰ τοιαῦτα. ἐνταῦθα δὲ χωρὶς παραβολῆς τοιαύτης πάσης καὶ τροπικῆς ἐπαγγελίας ἐπῆρται ὁ λόγος, ἐπ' αὐτῶν τῶν πραγμάτων γινομένης τῆς φράσεως.

Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας, ζωὸν ἕλε] Πιθανῶς τὸ ζωγρεῖν οὐκ ἄλλῳ τινὶ περιέθηκεν ἢ τῷ Ὀϊλέως Αἴαντι· ἔστι γὰρ τάχιστος, διὸ καὶ τὸ ἐπορούσας πρόσκειται. ἱκανώτατος γὰρ ἦν τῶν ἄλλων ἐπιδραμὼν συλλαβεῖν τινά. τὸ δὲ,

τὸν δὲ κατ' ὄσσε ἔλαβεν [πορφύρεος] θάνατος, καὶ μοῖρα κραταιή.

τὸν δὲ, ἀντὶ τοῦ τοῦδε. ἡ δὲ κατὰ πρὸς τὸ ἔλαβεν, ἵν' ᾖ, τούτου δὲ τὼ ὄσσε κατέλαβε.

Σ. 410. Αἴητον ἀνέστη] Ἀετηδὸν, τὰ γὰρ γαμψώνυχα τῶν ὀρνέων χωλεύει. αἴητον, μέγα, "πέλωρ αἴητον ἀνέστη," ἀπὸ τῶν ἀετῶν. κατὰ γὰρ τὴν πτῆσιν οἱ ἀετοὶ πολύ τι ἑαυτῶν βαστάζουσιν. ἢ πελώριος ὁ μετέωρος ἀπὸ μεταφορᾶς.

Ζ. 208. Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων, μηδὲ γένος πατέρων αἰσχυνέμεν] Παραίνεσις πρέπουσα εὐγενέσι καὶ ἀγαθοῖς πατράσι πρὸς ὁμοίους υἱούς· ταῦτα παραινεῖ Ἱππόλοχος πέμπων τὸν υἱὸν εἰς Τροίαν Γλαῦκον. εἴρηκε δὲ καί τις παλαιὸς ῥήτωρ πρὸς Ῥωμαῖον στρατηγὸν ἐρωτήσαντα ὅτι θέλει ἐξ αὐτοῦ τὸ Ὁμηρικὸν τοῦτο ἔπος, τὸ "αἰὲν ἀριστεύειν καὶ ὑπείροχον εἶναι

"ἄλλων," ὡς καὶ ὁ Στράβων ἱστορεῖ. ἔοικε δὲ ἀνενδεὴς ἐκεῖνος ὁ ῥήτωρ εἶναι, διὸ καὶ μηδενὸς ἔφη ἑτέρου προσδεῖσθαι, ἢ τοῦ εἰσαεὶ τὸν στρατηγὸν προέχειν τῶν κατ' αὐτὸν, ὡς οἷα καὶ φιλούμενον αὐτῷ.

Θ. 247. Αἰετὸν ἧκε τελειότατον πετεεινῶν] Λέγεται κατὰ τὴν τοῦ Διὸς γένεσιν καὶ τὸν ἀετὸν γεννηθῆναι, καὶ ἐν τῇ πρὸς τοὺς γίγαντας μάχῃ παραστῆναι αἴσιον τῷ Διΐ. διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν, Ζεὺς ἀετὸν εἵλετο, ᾧ καὶ προστάσσει, καὶ ἀγγέλῳ αὐτῷ χρᾶται πρὸς ἐκείνους, οἷς ἐπιφάνειαν ἀξιοῖ, ὅθεν καὶ ἀετὸς ἐκλήθη, οὐχ ὥς τινες παρὰ τὸ ἀΐσσειν, ἀλλὰ παρὰ τὸ ἐτεὸν δὴ αὐτὸν εἶναι, ὅ ἐστιν ἀληθῆ, τελειότατον δὲ, ἤτοι τὸν τελεστικώτατον ἢ τὸν μέγαν.

νεβρὸν ἔχοντ' ὀνύχεσσιν] Ὁ νεβρὸς δὲ τοὺς κατεπτηχότας Ἕλληνας δηλοῖ, ὁ δὲ κοινὸς βωμὸς, τὴν κοινὴν ἅπασιν ἀπὸ Διὸς σωτηρίαν· ἄδειαν γὰρ τοῖς καταφεύγουσιν ὁ βωμὸς πορίζεται. ὅτι δὲ κοινὸς, καὶ τῷ πανομφαίῳ δῆλον, οἷον ἀπὸ πάσης φωνῆς καὶ γλώσσης τετιμημένῳ.

Ι. 265. Αἴθωνας δὲ λέβητας ἐείκοσι] Τί βούλεται τὸ αἴθωνας δὲ λέβητας ἐείκοσι. καὶ εἰ[g] αὐτοὶ τοῖς ἀπύροις, ὅταν εἴπῃ ἄπυρον λέβητα; φημὶ ὅτι τῶν τριπόδων καὶ τῶν λεβήτων οἱ μὲν ἦσαν εἰς ὑπηρεσίαν αὐτοῦ πυρὸς ἐπιτήδειοι. οἱ δὲ ἀργοὶ καὶ εἰς θέαν, καὶ διὰ τὴν τῆς ὄψεως θέαν εἰργασμένοι. διακρίνει δὲ τοῖς ἐπιθέτοις ἀπ' ἀλλήλων, τοὺς μὲν λέγων αἴθωνας καὶ ἐμπυριβήτας, τοὺς δὲ ἀπύρους καὶ ἀνθεμόεντας, τοὺς ἕνεκα κόσμου μόνον εἰργασμένους.

Ι. 383. Αἵθ' ἑκατόμπυλοι εἰσὶ, διηκόσιοι δ' ἂν ἑκάστην ἀνέρες ἐξιχνεῦσι σὺν ἵπποισι καὶ ὄχεσφιν.[h]]

Ε. 82. Αἴκε μὴ Ἕκτωρ πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς] Ἔδει πρότερος, δύο γὰρ εἰσίν. ἐμφαντικῶς δὲ ἄγαν, πάντα μὲν ὁμοῦ συνήγαγε τὰ κεφάλαια, οὐ μετ' ἄλλα δὲ ἐπιθυμεῖν φησὶ τῆς Ἕκτορος ἀναιρέσεως, ἀλλ' ἐκείνου προτέρου.

g Male Bekker. Codd. εἰ.

h Hujus Porphyriani Scholii quod est apud Bekker. Ed. p. 258, 26. notabo tantum duas e nostro lectiones, l. 3, B. pro ὡς δὲ Κάτων leg. ὡς Δεκάτων. et l. 7, B. pro τινὲς δέ φασι τὴν ἱερὰν leg. τ. δ. φ. τῶν ἱερέων. ita et Cod. 2769.

A. 542. Αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπονόσφιν ἐόντα κρυπτὰ διαφρονέοντα δικαζέμεν] Τὸ ἑξῆς ἀπεόντα. ἡ δὲ φράσις συνήθης, ἀπὸ δοτικὴν εἰς αἰτιατικὴν ἔρχεσθαι. "σφῶϊ μέντοι ἐπέοικε μετὰ "πρώτοισιν ἐόντα," ἀντὶ τοῦ ἐοῦσιν.

B. 88. Αἰεὶ νέον ἐρχομενάων] Οἱ μὲν πρὸς τὸ πλῆθος τοῦτο εἰρῆσθαι θέλουσιν, ὅτι συνεχῶς οὕτω προϊᾶσι πολλαὶ, ὡς δοκεῖν αὐτὰς νεωστὶ ἄρχεσθαι τῆς ἐξόδου. οἱ δὲ νέον τὸ ἔαρ φασίν. ἄμεινον δὲ λέγειν ὅτι τοῖς μὲν ἄλλοις ζώοις αἱ πτήσεις ἀποτεταμέναι γίνονται, αἱ δὲ μέλισσαι βραχύ τι πτᾶσαι ἐφιζάνουσι τοῖς ἄνθεσι, καὶ πάλιν ἐφ' ἕτερα μετίασιν ἄνθη.

Δ. 288. Αἲ γὰρ Ζεύς τε πάτερ καὶ Ἀθηναίη. Λυκουρ καὶ Ἄπολλον] Πάτριοι οὗτοι τοῖς Ἀθηναίοις θεοί. ἐκ τούτου δὲ νομίζουσι τινὲς Ἀθηναῖον εἶναι τὸν ποιητὴν, ἐκ τοῦ εἶναι τὸν ὅρκον Ἀττικὸν καὶ ἴδιον Ἀθηναίοις. κἀνταῦθα μὲν ἐπὶ τοῦ Νέστορος, "δέκα μοι συμφράδμονες." ἐπὶ δὲ τοῖς Αἴασιν,

τοῖος πᾶσι θυμὸς ἐνὶ στήθεσι γένοιτο

φησὶν, ἢ πᾶσι τοῖς ἡγεμόσιν, ἵνα πρὸς ὁμοτίμους ἡ σύγκρισις ᾖ. φαίνεται οὖν προτιμῶν ἀνδρείας φρόνησιν.[1]

I. 15. Αἰγίλιψ] Καταιγίλιπος, ἤγουν τῆς ὑψηλῆς, ἣν καὶ ἡ αἲξ ἀπολείπει διὰ τὸ ἄγαν ὑψηλὸν καὶ δύσβατον. ἐν γὰρ τοῖς κρημνοῖς αἱ αἶγες ὡς ἐπίπαν νέμονται.

E. 531. Αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται] Τῶν αἰδουμένων ἀλλήλους καὶ ἀγωνιζομένων πλείονες σώζονται ἤπερ φονεύονται. ἐπὰν δὲ φύγωσι, καὶ ἀδοξία καὶ ἀσθένεια αὐτοὺς καταλαμβάνει.

H. 93. Αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι] Αἴδεσθεν μὲν, δειλῶν γὰρ, δεῖσαν δὲ, διὰ τὰς σπονδὰς, ἢ περιμένοντες κέλευσιν, ὡς δῆλον ἐπὶ τῶν ἑξῆς.

N. 822. Αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐέργων] Ἀριστερὰ γὰρ σημεῖα τὰ ἀπαίσια, δεξιὰ δὲ τὰ συμφέροντα. ἀριστερὰ δὲ ἐφάνη τοῖς Τρωσὶν, ἐξ ἀνατολῆς πρὸς δύσιν ἐρχομένοις.

Π. 459. Αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε, παῖδα φίλον τιμῶν] Πολλάκις ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων πραγ-

[1] Hoc Scholium habet et Cod. 2706.

μάτων ἱστοροῦσι τεράστια τῷ βίῳ συμφέρεσθαι καὶ σημεῖα ποταμῶν τε καὶ πηγαίων ναμάτων αἱμοροφύτοις ῥεύμασιν ἐκμαινομένων, ὡς ἐπ' Ἀσωποῦ τε καὶ Δίρκης παραδιδόασιν οἱ πάλαι μῦθοι. λόγος δ' ἔχει καὶ κατὰ νεφῶν ψεκάδας ὕσεσθαι φόνου τισὶ κηλίσιν ἐπικεχρωσμένας. ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλε τοῖς βαρβάροις, ἐγγὺς δ' ὁ τοῦ κατ' ἀλκὴν ἀρίστου Σαρπηδόνος ὄλεθρος, ὡς περὶ τεράστια προφανῆ ταύτης τῆς συμφορᾶς ἀγγελτικὰ φησίν·

αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε.

τοῦτον δὴ τὸν φονέα ὄμβρον ἀλληγορικῶς εἶπεν αἰθέρος δάκρυα, Διὸς μὲν οὔ, ἄκλαυστος γάρ, ἐκ δὲ τῶν ὑπὲρ ἄνω τόπων ὡσπερεὶ θρήνοις μεμιγμένου καταρραγέντος ὑετοῦ. ταυτὶ μὲν ἴσως ἐλάττω τεκμήρια περὶ τῶν ἠλληγορημένων. ἁρμόδιος δὲ ἡ τερατεία ἐφ' ἥρωϊ τοιούτῳ, καὶ πατρὸς πενθοῦντος Διὸς, τὸ τὸν κόσμον μονονουχὶ συνάχθεσθαι.

Π. 620. Αἰνεία χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα, πάντων ἀνθρώπων σβέσαι μένος] Δύσκολον, ἀδύνατον καὶ ἀτελείωτον ἐστὶ πάντων ἀνθρώπων παῦσαι τὴν δύναμιν, ὃς ἂν σου ἐξ ἐναντίας ἔλθῃ μαχόμενος.

σβέσαι] Σβέσις γὰρ δυνάμεως ὁ θάνατος, ἔμψυχος γὰρ ἡ μεταφορὰ καὶ εἰκότως. ὁ γὰρ θάνατος σβέννυσι τὴν δύναμιν, ὅρα δὲ σεμνότητα.

Β. 474. Αἰπόλιον, ὥστ' αἰπόλια πλατέ' αἰγῶν] Αἰπόλιον τὸ τῶν αἰγῶν πλῆθος, ποίμνιον τὸ τῶν προβάτων, συβόσιον τὸ τῶν χοίρων, βουκόλιον τὸ τῶν βοῶν, ἱπποφόρβιον τὸ τῶν ἵππων. πλατέα δὲ ὅτι διεσκεδασμένα νέμονται.

Ζ. 62. Αἴσιμα παρειπὼν, ὃδ' ἀπὸ ἔθεν ὦσατο χειρὶ] Ὅρα ἐν τῷ παρειπὼν ἐκτεταμένην οὐκ ἀλόγως τὴν τῆς προθέσεως παραλήγουσαν. οὕτω δ' εὐθὺς ἐφεξῆς τῆς ἀπὸ προθέσεως ἐκτείνεται ἡ λήγουσα ἐν τῷ, "ὃδ' ἀπὸ ἔθεν ὦσατο χειρί." τινὲς δὲ θεραπεύοντες αὐτὸ μεταγράφουσιν ἀπαὶ ἔθεν, καὶ οὕτω τὸ μέτρον ἀναπληροῦσιν. οἱ μέν τοι ἀκριβέστεροι ἐκτείνουσιν ὡς ἐρρέθη τὸ ο ἐνταῦθα τῆς προθέσεως διαφόροις λόγοις τῆς κοινῆς συλλαβῆς, μέρους τε γὰρ λόγου καταπεραίωσις ἐστὶ, καὶ δασεῖα καὶ ὀξεῖα τοῦ ἔθεν ἐπιφέρονται, δυνάμεναι τὴν λήγουσαν ἐκτείνειν τῆς προθέσεως, ὡς οἱ

γραμματικοὶ δεικνύουσιν ἐν τῷ περὶ κοινῆς συλλαβῆς. τὸ δὲ ὤσατο νῦν μὲν Ἀττικῶς προηνέχθη κατὰ πάθος πλείων δὲ ἡ χρῆσις τοῦ ἐνεργητικοῦ τοῦ ὦσδε δηλαδή. τὸ δὲ

ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως,

ἀντὶ τοῦ μετέπεισεν. ὅθεν καὶ τρεπτὸν ζῶον ὁ ἄνθρωπος. τὸ δ' αὐτὸ καὶ τρέψαι λέγεται, καὶ ὁ τοῦτο πάσχων τρεπτός. κατὰ τὸ,

τρεπτοὶ δὲ καὶ θεοὶ αὐτοί.

καὶ

τρεπταὶ δέ τοι φρένες ἐσθλῶν.

Αἴσιμα παρειπὼν, ὅδ' ἐπείθετο] Διττολογεῖ καὶ ἐνταῦθα ὁ ποιητὴς φανερῶς ἐν τῷ

ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως
αἴσιμα παρειπὼν,

ἤρκει γὰρ καὶ τὸ ἓν μόνον εἰπεῖν. καὶ τὸ μὲν εἰπὼν καὶ παρειπὼν ἔχουσι πολλὴν διαφορὰν, ὡς τοῦ παρειπεῖν λαμβανομένου ἐπὶ παραινέσεως. τὸ δὲ παρέπεισε, καὶ τὸ ὅδ' ἐπείθετο, κατὰ μόνην διαφέρουσι τὴν σχέσιν τοῦ πείθοντος καὶ τοῦ πειθομένου. ὁ γὰρ πείθων πειθόμενον πείθει, καὶ οὐδεὶς ἂν ἐρεῖ πεῖσαι τὸν μὴ αὐτῷ πεισθέντα, ἵνα μὴ καὶ ἐπ' αὐτῷ ῥηθῇ το τοῦ κωμικοῦ, τὸ

οὐ πείσεις, οὐδ' ἂν πείσῃς.

ἔστι δ' εἰπεῖν καὶ ὅτι τὸ παρέπεισεν, ὅδ' ἐπείθετο, ἐν ταυτολογίᾳ εἶπεν ὁ ποιητὴς διὰ τοὺς τῷ δοκεῖν μὲν πείθοντας, οὐ μὴν καὶ τῇ ἀληθείᾳ πείθοντας· ἵνα εἴπῃ ὅτι ὁ βασιλεὺς οὐ μόνον ἔδοξε πεῖσαι, ἀλλὰ καὶ ἀληθῶς ἔπεισε τὸν ἀδελφόν. ἐκτείνει δὲ καὶ ἐνταῦθα τὸ παρειπὼν τὴν παραλήγουσαν τῆς παρὰ προθέσεως. Ἰστέον δὲ ὅτι τὸ εἰπὼν καὶ τὸ παρειπὼν κατὰ θέσιν ἣν ἔχουσι παρίσωσιν ποιοῦσι. καὶ ὅτι καθὰ ἐκ τοῦ εἶπον β' ἀορίστου γίνεται ἀναλόγως ὁ εἰπὼν, οὕτω καὶ τοῦ εἶπα α' ἀορίστου ὁ εἴπας, οὗ ἡ χρῆσις πλατεῖα, τούτου δὲ πλάγιοι οὐκ ἐτρίβησαν ὡς ἐκ τοῦ εἰπών.

Λ. 534. Αἵματι δ' ἄξων, νέρθεν ἅπας πεπάλακτο] Φαντασίαν ποιεῖ ἡ ἔπειξις, ὥστε διὰ τῶν πτωμάτων ἔρχεσθαι. εἴωθε δὲ ἀπὸ τῶν συμβεβηκότων δηλοῦν τὰ πράγματα. νῦν δὲ ἀπὸ τοῦ ἀναφερομένου αἵματος ὥστε πιμπλάναι τὸν ἄξονα καὶ τὰς ἄντυγας τὸ πλῆθος ἐνέφηνε τῶν νεκρῶν. καὶ ἀλλαχοῦ θέλων δηλῶσαι τὸ τραῦμα βαθὺ φησὶ,

πᾶν δ' ὑπερθερμάνθη ξίφος.

Π. 31. Αἰναρέτη] Σύνθετον ἐστὶ παρὰ θηλυκὸν, ὡς τὸ ὑψαγόρη. ὅπερ ἀγνοοῦντες γράφουσιν αἰναρετὴς, ἵν᾽ ᾖ ὁ χόλος ὁ πολέμιος καὶ ἐχθρὸς ταῖς ἀρεταῖς. ἡ δὲ δίχα τοῦ σ ἀνάγνωσις Ἀριστάρχειος ἐστὶ, καὶ ἔστιν εἰς αἰνὸν χρώμενε τῇ ἀρετῇ εἰς ὄλεθρον οὐκ εἰς σωτηρίαν. ὀνόματα δὲ ἔπαινον ἔμιξε καὶ ψόγον. ὅτι μὲν γὰρ ἔχει ἀρετὴν φησὶ, ὅτι δὲ οὐκ ἐπ᾽ ἀγαθῷ τῶν φίλων διαβάλλει.

Αἵματι διαβρόχους ἐκ τοῦ αἰθέρος. ὅτι σύνεγγυς ἐστὶν ὁ ἀὴρ τοῦ αἰθέρος. ἢ ὅτι Διός ἐστιν ἔργον τὸ τοιοῦτον καὶ οὐχ ὑετὸς, διὸ καὶ ἐνήλλακται.

Αἰναρέτη τίς σευ ἄλλος ὀνήσεται ὀψιγόνός περ] Τίς ἄλλος τῶν μεταγενεστέρων ἐκ τῶν σῶν ὑπομνημάτων ὠφεληθήσεται, καὶ τῶν περὶ σοῦ διηγημάτων ἐξαγγελλομένων αὐτῷ, ὅπου νῦν παρὼν παρὰ τοσοῦτον οὐ γίνῃ αἴτιος ὠφελείας τοῖς συνοῦσι σοι, ὅτι καὶ τῆς μεγίστης βλάβης μὴ ἐπαμύνων αὐτοῖς.

Ἀκράτισμα τὸ πρωϊνὸν ἔμβρωμα, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς. δεῖπνον καὶ ἄριστον τὸ αὐτό. καὶ τὸ μὲν παρὰ τὸ δεῖ πονεῖν. τὸ δὲ παρὰ τὸ ἄρην τηνικαῦτα συνίστασθαι, ὥσπερ αὖ πάλιν δόρπον ἑσπέρας παρὰ τὸ δόρυ παύεσθαι. ἡ δὲ τοῦ ἀρίστου λέξις ἅπαξ ἐν Ὀδυσσείᾳ καὶ ἐν Ἰλιάδι εἴρηται.

Α. 499. Ἀκροτάτῃ κορυφῇ] Φυσικῆς ἅπτεται θεωρίας. καὶ ὅταν ὁ Ζεὺς εἰς τὸν αὐτὸν συναθροίσας ἅπαντας τοὺς θεοὺς ἄρχεται τῶν μεγάλων ἀπειλῶν καθήμενος

ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο,

πρῶτος ἕστηκεν αὐτὸς, ἐπειδὴ τὴν ἀνωτάτω τάξιν ὥσπερ ἐδηλοῦμεν ἡ αἰθερώδης ἐπέχει φύσις. σειρὰν δ᾽ ἀπήρτησεν ἀπὸ τοῦ αἰθέρος χρυσῆν. οἱ γὰρ δεινοὶ τῶν φιλοσόφων περὶ ταῦτα ἀνάμματα πυρὸς εἶναι τὰς τῶν ἀστέρων περιόδους νομίζουσι. τὸ δὲ σφαιρικὸν ἡμῖν τοῦ κόσμου σχῆμα δι᾽ ἑνὸς ἐμέτρησε στίχον, εἰπὼν

τόσσον ἔνερθ᾽ ἀΐδεω, ὅσσον οὐρανὸς ἔστ᾽ ἀπὸ γαίης.

μεσαιτάτη ἁπάντων ἑστία τίς οὖσα καὶ κέντρου δύναμιν ἐπέχουσα. καθίδρυται βεβαίως ἡ γῆ πᾶσα, κύκλῳ δ᾽ ὑπὲρ αὐτὴν ὁ οὐρανὸς ἀπαύστοις περιφοραῖς εἰλούμενος ἀπ᾽ ἀνατολῆς εἰς δύσιν τὸν ἀεὶ δρόμον ἐλαύνει, συγκαθέλκεται δὲ ἡ τῶν ἀπλανῶν σφαῖρα. πᾶσαι

γεμὴν αἱ ἀπὸ τοῦ περιέχοντος ἀνωτάτω κυκλοφορούμεναι πρὸς τὸ κέντρον εὐθεῖαι, καὶ κατ' ἀναγωγάς εἰσιν ἀλλήλαις ἴσαι· διὰ τοῦτο γεωμετρικῇ θεωρίᾳ τὸ σφαιρικὸν σχῆμα διεμέτρησεν εἰπὼν

τόσσον ἔνερθ' ἀΐδεω, ὅσον οὐρανὸς ἔστ' ἀπὸ γαίης.

O. 714. Ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσεν, ἄλλα δ' ἀπ' ὤμων ἀνδρῶν μαινομένων] Ἄλλα μὲν σὺν ταῖς χερσὶν ἀποκοπτόμενα ἄλλα σὺν ὤμοις. γελοῖον γὰρ τὸ οἴεσθαι ἀπὸ τῶν ὤμων ἐκπίπτειν τὰς μαχαίρας. ἀνάγκη ἦν κοπτομένων τῶν ὤμων αὐτῶν καταπίπτειν καὶ τὰ δόρατα.

[i] Ἀλλ' ἔν γε χέρσῳ τὰς λέοντος ᾔνεσα
καὶ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας,
ὃς εὖτ' ἂν ἄλλων θηρίων ὀσμὴν[j] μάθῃ,
στρόβιλος[k] ἀμφ' ἄκανθαν εἰλίξας δέμας,
κεῖται· δακεῖν δὲ καὶ θίγειν ἀμήχανος.

Θ. 400. Βάσκ' ἴθι Ἶρι ταχεῖα, πάλιν τρέπε, μηδ' ἔα ἄντην ἔρχεσθ', οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόν δε] Ἀντὶ τοῦ ταχέως, ὡς τὸ "λῦσε δ' ἀγορὴν αἰψηρὴν," καὶ "ταχέες δ' ἱππῆες ἄγερθεν." λέγει δὲ ὅτι μὴ συγχώρει αὐτὰς ἐξ ἐναντίας τῆς ἐμῆς κελεύσεως ἔρχεσθαι, οὐ γὰρ καλῶς ὑποστραφήσονται.

Εὐσταθίου. Βάσκ' ἴθι] Ἀντὶ τοῦ στραφῆναι ὀπίσω, καὶ ἀνακάμψαι τῆς ὁδοῦ ποίησον. ὅμοιον δὲ τούτῳ ἀλλαχοῦ καὶ τὸ "πάλιν τρέπειν ὄσσε φαεινὼ," προϊὼν δὲ τὸ πάλιν τραπῆναι, ἂψ ἱκέσθαι φησὶ, δῆλον δὲ ὡς ἐκ τοῦ πάλιν τρέπειν ὁ παλίντροπος σύγκειται, καὶ τὸ παλιντροπάασθαι, ὃ καινότερον διὰ τοῦ ο μικροῦ γράφεται, ὡς καὶ ἀλλαχοῦ δηλοῦται ἀνάπαλιν τοῦ τρωπάσθαι, ἴσως διὰ τὴν σύνθεσιν, καθὰ καὶ τὸ "γαστρὶ δὲ "πάντας ἀποτροπόωσι κάλωας." ἑρμηνεία δὲ τοῦ πάλιν τρέπε, τὸ μηδ' ἔα ἄντα ἔρχεσθαι, ὅπερ εὐθὺς ἐπήγαγεν ὁ ποιητὴς, ὡς ἐκ μεταφορᾶς δὲ ἅρματος παλινδρομοῦντος εἴρηται τὸ πάλιν τρέπε, κατὰ τὸ πάλιν τρέπε μώνυχας ἵππους. τὸ δὲ βάσκ' ἴθι τὸ αὐτὸ νοεῖ παραλλήλως, διά τε τοῦ βάσκε καὶ τοῦ ἴθι. ἐκτείνεται δὲ ἀεὶ τῆς Ἴριδος καθὰ καὶ τοῦ Ἴρου ἡ ἄρχουσα.

[i] Hæc aliunde in Alphabeticam Scholiorum seriem irrepserunt. Referenda videntur ad ea quæ Apostolius congessit Cent. IX. 45. de echino terrestri. Est Ionis fragm. sumptum ex Zenobio, V. 68.

[j] ὀσμίαν Cod. [k] στρόβυλος Cod.

Κ. 375. Βαμβαίνων ἄραβος δὲ διὰ στόμα γίνετ' ὀδόντων] Ἄκρως ἐδήλωσε πάθος δυσερμήνευτον, τοῖς δειλοῖς παρακολουθοῦν, τὸν θρασύδειλον Δόλωνα ὑπογράφων, καὶ τοῖς ἐσχάτοις ἐξευτελίζων ὀνόμασι. τὸ δὲ βαμβαίνειν δηλοῖ, τὸ ἱκεσίαις καὶ λόγων ἀπορεῖν καὶ δεδιότα ἵστασθαι, ἢ καὶ φωνὴν ἀσαφῆ προΐεσθαι ἀπὸ τοῦ φόβου.

Θ. 14. Βέρεθρον, τῆλε μάλ' ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον] Οἱ Ἀττικοὶ βάραθρον αὐτὸ φασί. πῶς δὲ δύναταί τις ἐκεῖ κατελθεῖν; φαμὲν δὲ ὅτι οἱ ἀπειλοῦντες τὰ ἀδύνατα σχεδὸν ἀπειλοῦσι πρὸς κατάπληξιν.

Ι. 3. Βεβολήατο] Ἀπὸ ἐνεστῶτος τοῦ βολῶ βολήσω τὸ βάλλω, καὶ ἔστι πρωτότυπον αὐτὸ καὶ τοῦ βλῶ βλήσω, καὶ τοῦ βεβλήατο, ἤγουν βέβληντο, καθὰ καὶ τὸ βεβλημένος. καὶ τοιοῦτον μὲν τὸ ἁπλοῦν βολεῖν. τὸ δὲ ἀντιβολεῖν ἑτεροῖον ἔγνωσται εἶναι. ὡς καὶ τὸ ἐπὶ νηῶν βολεῖν, εἴτε βολίζειν ὃ βάθους θαλάσσης μέτρημα διὰ καθιεμένου βόλου τινός. ὅρα δὲ ὅπως ἐσέμνυνεν Ὅμηρος τοὺς ἀριστεῖς, τὸν μὲν γὰρ δῆμον θεσπεσία εἶχε φύζα, τοὺς δὲ ἀρίστους πένθει βεβολῆσθαι φησὶ,

πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι.

Ο. 511. Βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι, ἢ δηθὰ στραγγεύεσθαι ἐν αἰνῇ δηϊοτῆτι] Αἱρετώτερον καθ' ἕνα χρόνον ζῆν, ἢ τεθνάναι συντόμως μᾶλλον, ἢ περισσῶς κάμνειν ἐν πολυχρόνῳ μάχῃ, οὕτως ὑπὸ χειρόνων πολεμουμένοις, τὸ δὲ καθ' ἕνα χρόνον, ἀντὶ τοῦ ἐν ὀλίγῳ καιρῷ.

Λ. 659. Βέβληται μὲν Τυδείδης κρατερὸς Διομήδης] Τῷ μὲν καταλόγῳ τῶν τραυματιῶν, ἐκπλήσσειν αὐτοῦ τὴν διάνοιαν οἴεται. οὐ προτάττει δὲ Ἀγαμέμνονα, ἵνα μὴ προήσηται τὴν ἔντευξιν ἐπὶ τῷ ὀνόματι χαλεπήνας ὁ Ἀχιλλεὺς, ἀλλ' οὐδὲ ἔσχατον. δέος γὰρ ἦν μὴ τῇ τοῦ ὀνόματος μνήμῃ ἀνανεύσῃ πρὸς τὸ παρὸν, διὸ εἰς μέσην αὐτὸν ἔταξε χώραν. πρῶτον δὲ Διομήδη, πρὸς ὃν μάλιστα δυσχεραίνει λέγοντα, ὡς μὴ ὄφελες λίσσεσθαι. εἶτα Ὀδυσσέα φίλον ὄντα, καὶ χθὲς ὁμόροφον γεγονότα. Εὐρυπύλῳ δὲ δέδωκε τὴν ἐσχάτην τάξιν. ὡς δὲ ἐκταραχθεὶς ἐξελάθετο Μαχάονος, δι' ὃν ἐπέμφθη. τάχα δὲ σιωπᾷ ὑποφαίνων ὡς τούτων αὐτόπτης γεγονὼς, οὐδὲ συνέτυχε Νέστορι, ἵνα μὴ δοκῇ ταῦτα παρ' ἐκείνου

ἀκηκοὼς λέγειν. τινὲς δὲ ἤθελον μὴ τετρῶσθαι Μαχάονα, δι' ὧν οὐ θεραπεύεται. οἱ δέ φασιν ὡς ἔθος Ὁμηρικὸν, περὶ ὧν τις πεμφθῇ, μὴ παλλιλογεῖν περὶ αὐτῶν. δαιμονίως δὲ ἐπαίρει τὸν Ἀχιλλέα, τὴν πᾶσαν σωτηρίαν τῶν Ἑλλήνων αὐτῷ ἀνατιθεὶς, διδάσκων ὅτι οὐδὲν ὤνησαν τοὺς Ἀχαιοὺς οἱ ἄλλοι ἀριστεῖς, ἀλλὰ κεῖνται τετρωμένοι.

Hæc fere sunt Scholiorum in Iliad. specimina, quæ e Codd. Paris. cum literarum fructu vulganda esse reputavi. Inspexi præterea Cod. 2706. qui est Bomb. et XIV. Sæc. et in multis convenit cum Cod. 2766. sed plerumque cum Didymi aut potius minoribus Scholiis facit, nec inutilis foret ad hæc emendanda. Cod. 2682. Sæc. XIV. Cont. Iliad. cum Prolegom. et Sch. Isaaci Porphyrogeniti.

Cod. 2683. membr. f. max. in fol. Sæc. XIV. Cont. Iliad. cum paucis Sch. Porphyrianis.

Cod. 2768. Chart. Sæc. XIV. lect. valde difficilis, Cont. Iliad. cum Paraphr. et Scholl. ex Eustathio plerumque derivatis.

DE SCHOLIIS PARISIENSIBUS IN ODYSSEAM

CUM APPENDICE E COD. HARLEIANO 5674.

Præter vulgata Scholia atque Eustathium, paucos ineditos in Odysseam interpretes habet Bibliotheca Parisiensis, neque eos antiquos aut magnæ utilitatis. Præcipuus inter eos est Cod. 2679. nempe exemplar Hom. Florent. cui ad marginem adscripta sunt et in Iliad. et Odyss. ampla Scholia, Arsenii ut refert Catalogi Auctor exarata manu [a]. Hæc autem, ut mihi quidem videtur, plerumque ex Eustathio et vulgatis Scholiis consarcinata sunt. Sed de eorum indole accuratius judicium feret lector, ex infra positi speciminis inspectione.

SCHOLIA IN ODYSS. COD. 2679.

A. v. 1. ἔννεπε] Ἐν μὲν τῇ Ἰλιάδι, "ἄειδε" φησὶν, ἡδονῇ γὰρ αὐτὰ σκέπειν θέλει δυσχερῆ ὄντα. περὶ δὲ τοῦ ῥήτορος, "ἔννεπε" φησίν. ἐκεῖ μὲν ὡς περὶ δημοσίων, καὶ πάσῃ τῇ Ἑλλάδι διαφερόντων, οὐ πρόσκειται ἀντωνυμία, ἀλλ' ἁπλῶς ἀείδειν τὴν θεὰν, καὶ πᾶσι δηλοῦν τὴν Ἀχιλλέως μῆνιν παρακάλει. ἐνταῦθα δὲ δισσὴ ἀντωνυμία. "ἄνδρα μοι," καὶ εἰπὲ ἡμῖν· ὡς γὰρ αὐτὸς ποθῶν ἐμπειρίαν ἔχειν τοῦ ἀνδρὸς, τῆς σοφίας ἐντυγχάνει τῇ θεᾷ.

ἔννεπε] Ὁμοιοσχήμων ἦτε τῆς Ἰλιάδος εἰσβολὴ, καὶ ἡ τῆς Ὀδυσσείας. μοῦσαν τὲ ἐπικαλουμένην, καὶ τὴν κλῆσιν προσεκτικῶς σχηματίζουσα. ἐκπέφευγε δὲ ἄλλως πολυτροπῶς τὸ τοῦ σχηματισμοῦ ὁμοειδές. σιωπᾷ δὲ τὸ τοῦ Ὀδυσσέως ὄνομα ὁ ποιητὴς, ἐξαίρων αὐτὸν σεμνοῖς ἐπιθέτοις καὶ ἐγκωμίοις ἐναρτῶν τὸν ἀκροατὴν, καὶ ἄλλως δὲ εἶπειν σεμνότερον τοῦ κυρίου κρίνας

[a] Hujus ad Iliad. Comment. excerpta vulgavimus p. 3.

ὀνόματος, τὸ ἐξ ὧν πολλῶν ἔτλη γνωρίσαι αὐτὸν, ἃ καὶ ὡς ἐξαίρετόν τι παράσημον ἦν αὐτῷ.

Ib. πολύτροπον] Ἐπιχειρηματικὸν, πολύβουλον, πολύστροφον. οὐκ ἐφ' ἑνὸς ἑστῶτα οἷα γεγραμμένα εἰκόνα· τρεπόμενον δὲ πολλὰς ὁδοὺς βουλευμάτων· ὡς Ὀδυσσεῖ πρέπει τῷ πολυμηχάνῳ, τῷ παντοίοις δόλοις κεκασμένῳ.

πολύτροπον] Ἐπὶ πολλὰ τρέποντα τὴν διάνοιαν· συνετὸν, πολλῶν ἔμπειρον τρόπων.

πολύτροπον] Καὶ μὴν οὐδαμοῦ τῆς Ἰλιάδος παλίμβολον τινὰ τῶν ἡρώων ὠνόμασαν. ἢ τάχα πολύτροπον φησὶ τὸν λόγιον, καὶ ἱκανῶς πηδαλίῳ καὶ δόλιως τῇ γλώσσῃ χρώμενον.

πολύτροπον] Ἐπιχειρηματικὸν, καὶ πολύβουλον, πολλὰς ὁδοὺς βουλευμάτων τρεπόμενον, καὶ διὰ πολλὴν ἐμπειρίαν πολύφρονα. οὐ γὰρ τὸν πρὸς πολλὰ ἤθη μεταβαλλόμενον· τρόπον γὰρ ἦθος οὐκ οἶδεν ὁ ποιητής.

πολύτροπος] Τὰ παρὰ τὸ πολὺ σύνθετα εἰς ος λήγοντα παροξύνονται, πλὴν τοῦ πολυφάγος. ὅσα γὰρ παρὰ τὸ φάγειν συντέθειται ἐν τῇ εἰς ος καταλήξει, παροξύνονται.

Ib. ὃς μάλα πολλὰ] Λαβὼν ἀφορμὴν ἐκ τοῦ πολὺ, ὃ ἔγκειται τῷ πολυτρόπῳ, ἐπένειμε τὸ πολλά.

2. πλάγχθη] Τοῦτο γὰρ ἐν μεγάλῳ ἐπέθεντο οἱ παλαιοί. Ἡρακλῆς οὖν καὶ Διόνυσος διὰ μακρᾶς ἀποδημίας μεγάλοι ἔδοξαν· διὸ καὶ Νέστωρ καὶ Μενέλαος σεμνύνονται τῇ πλάνῃ. ἀναύξητον δὲ ὂν, Ἰαστὶ προήνεκται ὡς φίλον Ὁμήρῳ· ἀπὸ τοῦ πλάζω γενόμενον, πλεονασμὸν ἔπαθε τοῦ γ διὰ καλλιφωνίαν καὶ ὄγκον ἦχου, ὡς καὶ ἐπὶ τοῦ ἀμφασία ἐγένετο· καὶ ἐπὶ τοῦ ἄμβροτος. καὶ τερψίμβροτος, καὶ χρίμπτω, καὶ ἐπὶ τοῦ λαγχάνω, καὶ λέλογχε, καὶ φυγγάνω, καὶ θιγγάνω, καὶ ἄλλων πολλῶν.

Ib. πτολίεθρον] Ὅθεν καὶ πολίπορθος Ὀδυσσεὺς, τῇ μηχανῇ τοῦ δουρείου· γίνεται δὲ ἐκ τοῦ πόλις, καὶ κατὰ ποιητικὸν ἔθος, γίνεται πτόλις, καὶ πτολίεθρον· διαφέρει δὲ ὅτι πόλις λέγεται καὶ χωρὶς τοῦ τ· τὸ δὲ πτόλιεθρον ἄνευ τοῦ τ οὐ λέγεται· λέγεται δὲ ἱερὸν διὰ τὸ τετειχίσθαι ὑπὸ θεῶν, ἢ διὰ τὴν πρὸς τὸν Δία εὐσέβειαν.

3. ἄστεα] Ἄστυ κοινῶς πᾶσα πόλις, ὅθεν καὶ ἀστεῖος ἀνὴρ κυρίως ὁ ἐξ ἄστεος, καὶ μὴ ἀγρότης· Ἀττικοὶ δὲ ἰδίως οὕτω τὰς

Ἀθήνας ὠνόμαζον κατά τι ἐξαίρετον· ὥσπερ καὶ οἱ Ἀλεξανδρεῖς πόλιν ἐξαιρέτως τὴν Ἀλεξάνδρειαν. ἔλεγον οὖν Ἀθηναῖοι καὶ αὐτοὺς ἀστὰς ἄνδρας τὲ καὶ γυναῖκας τοὺς ἐξ Ἀθηνῶν. καὶ ἀστὴν ἐλαίαν τὴν ἐκεῖθεν· καὶ μάλιστα τὴν ἐξ ἀκροπόλεως τὴν καὶ ἱεράν.

καὶ νόον ἔγνω] Νόυν ἐστὶν ἐνταῦθα νοῆσαι, οὐ μόνον τὸ κατὰ νοῦν τινα ἔθιμον, καὶ νόμιμον ἐν τοῖς ἔθνεσι, καὶ τὸ κατ' ἦθος καὶ διαγωγὴν αὐτῶν ἔννουν, ἢ ἄλλως φυσικόν· καθὸ χαρακτηρίζονται ἀνδρικοὶ τυχεῖν, ἢ ἀπόλεμοι, πανοῦργοι, ἢ ἁπλοῖ, σύνθετοι ἢ εὐήθεις, φιλόξενοι, ἢ ἀπάνθρωποι, λόγιοι, ἢ ἑτεροῖοι, ἀλλὰ καὶ αὐτὸν τὸν τοῦ Ὀδυσσέως νοῦν· ἵνα εἴποι ὅτι πολλῶν ἀνθρώπων Ὀδυσσεὺς ἰδὼν ἄστεα, νόον ἔγνω· τουτέστι μαθὼν συνήγαγε νοῦν. καὶ οὕτως ἀπέβη τῇ συχνῇ ἱστορίᾳ πολύνους· πολυειδὴς ἄρα καὶ πολύνους τὴν ἐμπειρίαν οἷα νοῦν τοσοῦτον οἴκοθεν εἰσωκισάμενος.

COD. REG. 2894.[a]

Σχόλια εἰς τὴν Α τῆς Ὀδυσσείας.

V. 1. ἄνδρά μοι] Ἔδει μὲν ἄνδρα μετὰ ὀξείας εἶναι, τὸ[b] "ἄνδρά τε οἶκον," ἀλλ' ἐδέξατο ὁ Ἀρίσταρχος, διὰ τὸ μὴ ἐν τῇ συμβολῇ τῶν λέξεων κακοηχίαν ποιῆσαι[c].

4. πάθεν ἄλγεα] Ἐνταῦθα στικτέον εἰς τὸ "ἄλγεα," εἶτα "ὃν κατὰ θυμὸν ἀρνύμενος."

8. ὑπερίονος] Ἐπίθετον τοῦ ἡλίου.

22. ἀλλ' ὁ μὲν Αἰθίοπας μετεκίαθε] Ἀπὸ μεσημβρίας διερχόμενος ὁ Νεῖλος διαμερίζει τοὺς Αἰθίοπας.

34. ὑπερμόρον] Οὐ σύνθετον τὸ ὑπὲρ μόρον. μόρον δὲ τὴν μοῖραν.

38. ἀργειφόντης] Ἢ τὸν ἀργὸν καὶ καθαρὸν φόνου, ἢ τὸν φονεύσαντα Ἄργον τὸν πολυόμματον, ὃς ἐφύλασσε τὴν Ἰνὼ, ἢ τὸν φονέα τῆς ἀργείας[d], ἢ ὅστις τοὺς ἀργοὺς καὶ ἀπράκτους λογισμοὺς ἀναιρεῖ.

41. ὁπότ' ἂν ἡβήσῃ] Μέλλοντα ἀντὶ ἐνεστῶτος ἐπήγαγε ἀκαταλλήλως.

42. ἀλλ' οὐ φρένας] Κατῆλθεν ἐπὶ τὸ μιμητικὸν, διὸ καὶ ἐπιφέρει "ὡς ἔφαθ' Ἑρμείας."

97. ἀμβρόσια χρύσεια] Προηθετοῦντο κατ' ἔνια τῶν ἀντιγράφων οἱ στίχοι. ἴδιον γὰρ ἀγγέλων τοιούτων ὑποδήμασι χρῆσθαι, καὶ ἡ τοῦ δόρατος ἀνάληψις πρὸς οὐδὲν ἀνάκειται.

98. ἐπ' ἀπείρονα] Τὴν πέρας καὶ τέλος μὴ ἔχουσαν, λέγει δὲ τὴν γῆν.

108. ἥμενοι ἐνὶ ῥινοῖσι] Διὰ τούτου τὸ βίαιον ἐμφαίνει τῶν

[a] De hoc Cod. vid. p. 247. inter Scholl. in Iliad. [b] Leg. ὡς τὸ.
[c] Sic et quidam Grammaticus Harleianus περὶ ἐγκλιτικῶν, sed quo Cod. oblitus sum. [d] Leg. ἀργίας.

μνηστήρων τοῦ καὶ τὰς βύρσας ὑποστρωννύειν τοῖς θρόνοις καθημένοις.

115. ὀσσόμενος] Τοῖς ὀφθαλμοῖς ὑποβλέπων.

121. χεῖρ' ἕλε] Ἐλάβετο μὲν τῆς δεξιᾶς σπενδόμενος φιλίαν, ἐδέξατο δὲ τὸ ἔγχος, ὑπονοῶν μὴ ἄρα τῶν ἐχθρῶν τις εἴη.

119. βῆ δ' ἰθὺς προθύροιο] Ἐπ' εὐθείας ὡς ἐπὶ τὸ πρόθυρον, οὐκ ἔνδον ἀλλὰ πρὸ τῆς ἐν τῷ τυκτῷ καλουμένῳ δαπέδῳ.

120. ξεῖνον δηθὰ] Καὶ τοῦτο διὰ τοὺς μνηστῆρας, ἵνα τὸ σκῆπτρον ἰδόντες, ὡς βασιλέα αὐτὸν ὑπονοήσωσι.

161. οὗ δήπου λεύκ' ὀστέα] Παραληπτικῶς, ἵνα μὴ παραμυθούμενος αὐτὸν ὁ ξένος πολλάκις ψεύσηται.

255. ἐν πρώτῃσι θύρῃσι] Ἐν αὐταῖς ταῖς πρώταις ταῖς αὐλείαις θύραις· προοικονομεῖ πόθεν ἔσται ἡ μνηστηροκτονία.

297. τηλίκος ἐσσὶ] Τηλικοῦτος, μικρὸς, ἀνήλικος, πάνυ νέος.

Ib. νηπιάας ὀχέειν] Ἀφροσύνας φέρειν, ἐπεὶ οὐκέτι τοιοῦτος εἶ εἰς τὸ νηπιάας ὀχέειν, ἢ τὰ νέων φρονεῖν καὶ φέρειν, ἢ ὀχεῖσθαι ὑπὸ τῆς νεότητος, τουτέστιν ἄφρων εἶναι.

299. ἔκτανε πατροφονῆα] Οὐκ οἶδεν ὁ ποιητὴς τὸν Κλυταιμνήστρας ὑπὸ τοῦ παιδὸς μόρον.

301. μάλα γὰρ σ' ὁρόω καλόν τε μέγαν] Αἰσχρὸν γὰρ τοῖς τῆς τύχης δώροις μὴ συνυπουργεῖν.

302. ἄλκιμος ἔσσι] Ταῦτα λοιπὸν εἰδυῖα, τὸ φιλότιμον τῶν νέων λέγει.

305. καὶ ἐμῶν ἐμπάξεο μύθων] Διδασκαλικῶς ἐπιλέγει πάλιν περὶ τῶν αὐτῶν ἀντὶ τοῦ ἐπιστρέφου, φρόντιζε.

307. ξεῖν' ἤτοι μὲν ταῦτα φίλα] Μιμουμένη γὰρ πατρικὸν ξένον ἐπιτιμήσει ἐχρήσατο. ὁ δὲ συνετῶς οὐκ ἐδυσχέρανεν, ἀλλὰ καὶ χάριν ὁμολογεῖ.

324. αὐτίκα δὲ μνηστῆρας] Καλῶς τὸ αὐτίκα, οὐ γὰρ ἔδει ἐγχρονίζοντα παρεχεῖν αὐτοῖς ὑποψίαν τοῦ ξένου.

330. κλίμακα δ' ὑψηλὴν] Ἐδεδίει γὰρ ἡ Πηνελόπη μὴ θάνατον Ὀδυσσέως ἀΐσας ἀναπτερώσῃ τοὺς μνηστῆρας.

333. πῦκα] Πυκνῶς, ἐπιμελῶς, κατεσκευασμένως.

334. παρειάων σχομένη] Ἀμφιβολία, "σχομένη," ἀναπετάσασα ἢ καλυψαμένη.

Ib. κρήδεμνα] Κρήδεμνον τὸ ἐπὶ τῆς κεφαλῆς περιβόλαιον, ἀκρήδεμνον καὶ ἐν συλλήψει κρήδεμνον.

337. γὰρ ἄλλα] Ἔθος Ὁμηρικὸν ἀπὸ τοῦ γὰρ ἄρχεσθαι.

357. ἠλακάτην] Οὕτως μὲν αὐτὸ τὸ ἐργαλεῖον, ἠλάκατα δὲ τὰ ἔργα.

360. ἡ μὲν θαμβήσασα] Τὴν αἰφνήδιον σύνεσιν ἐκπλαγεῖσα τοῦ παιδὸς, ἤγουν διὰ τὴν τοῦ Τηλεμάχου φρόνησιν.

361. παιδὸς γὰρ λόγον] Γράφεται μῦθον.

362. ἐς δ' ὑπερῷ' ἀναβᾶσα] Οὐκ ἀπέβαλε τὸ παιδευτικὸν, ὅτι οὐ χρὴ εἰς τὴν τῶν λόγων δύναμιν.

364. βλεφάροις] Βλέφαρον παρὰ τὸ αἵρεσθαι ἐν τῷ βλέπειν.

365. μνηστῆρες δ' ὁμάδησαν] Ἐθορύβησαν κοινολογούμενοι τὰ παρὰ τῆς Πηνελόπης, ὅτι συνετὴ γυνὴ, ὅτι ὡραία· ὅθεν Τηλέμαχος μὴ ἐνεγκὼν ἐξήλεγξε τὴν ὑβρισθεῖσαν.

375. ἀμειβόμενοι] Ἐξ ἀναδοχῆς ἀλλήλους καὶ ἀμοιβῆς ὑποδεχόμενοι καὶ ἐσθίοντες.

378. παλίντιτα] Παλίντροπα, παλιντιμώρητα, τὰ εἰς τιμωρίαν ἀντιστροφῆς εἰσπραττόμενα.

385. ὑψαγόρην] Μεγαλορρήμονα, ἐν τῷ λέγειν ὑπερήφανον.

403. μὴ γὰρ ὅδ' ἔλθοι ἀνὴρ]] Οἱ μὲν λόγοι μέτριοι, τὰ δὲ ἔργα μαχόμενα.

406. ὁππόθεν οὗτος ἀνὴρ] Ἀντὶ τοῦ ἰέναι ὡς Ἡσίοδος, "καὶ "τῷ προσιόντι προσεῖναι" ἐπεί τοι γε δισσολογία εὑρίσκεται.

408. ἐρχομένοιο] Τινὲς εὐχομένοιο· ἄμεινον δὲ εὐφημίζεσθαι τὴν ἄφιξιν τὸν Εὐρύμαχον πρὸς τὸ [c] μαθεῖν περὶ τοῦ ξένου.

409. τόδ' ἱκάνει] Τόδε ἀντὶ τοῦ δὲ, ὅ ἐστιν ἐνταῦθα· τὸ δὲ τόθι ἀντὶ τοῦ αὐτόθι.

411. οὐ μὲν γάρ τι κακῷ] Ὥστε γνωρισθῆναι παρ' ἡμῶν· ἡ μὲν ἐρώτησις ἁπλῆ περὶ τοῦ ξένου, εἴτι ἀγγέλλει. ὁ δὲ ἐν κεφαλαίῳ δηλώσας τὸ κεχαρισμένον Εὐρυμάχῳ πάντα ἐποίει. οὕτω μέν τις ἐλπὶς ἐφ' ἡμᾶς ἀγγέλλουσα μαντείας, αὐτὸς δὲ προσέχειν οὐδενὶ φασί.

Ib. ἐῴκει] Οὐ γὰρ κατὰ τὴν πρόσοψιν ὅμοιος ἦν τῷ κακῷ.

413. ἤτοι νόστος] Ἡ μὲν οἴκαδε ἐπάνοδος καὶ ὑποστροφὴ τοῦ ἐμοῦ πατρός.

c τῷ Cod.

Ib. πατρὸς ἐμοῖο] Ἀγνοοῦντες τινὲς, ἐμεῖο γράφουσιν, ὁμοίως ἐν Ἰλιάδι "μνῆσαι πατρὸς σεῖο," δέον κτητικῶς [c].

415. ἐμπάζομαι] Διὰ φροντίδος ἔχω, ἀντιποιοῦμαι.

Ib. ἥντινα μήτηρ] Τὸ ἥντινα τινὲς ψιλοῦσιν, ἵν' ᾖ, εἴτινα. ἄμεινον δὲ εἰς τήν [d]. ἐξεφαύλισεν ὡς γυναικεῖον ταῖς τοιαύταις μαντείαις πιστεύειν.

416. θεοπρόπου] Τὸ ἐκ Θεοῦ λεγόμενον, ἐξ οὗ καὶ θεοπρόπος ὁ τὰ τοῦ θεοῦ λέγων.

Ib. ἐκ Τάφου] Πόλις μία τῶν Ἐχινάδων.

418. δαΐφρονος] Τοῦ πολεμικὸν φρόνημα ἔχοντος.

422. ἐπὶ ἕσπερον ἐλθεῖν] Οὕτως εἶπε τὴν ἑσπέραν. ἄκρως δὲ κατηγορεῖ τῆς τῶν ἀργῶν ἀπραξίας· ὑπὸ γὰρ ἀργίας προσδέχονται τότε νὺξ ἐπιγενέσθαι· ἕσπερον δὲ εἶπε τὴν ἑσπέραν.

423. τοῖσι δὲ τερπόμενοι] Μετέπλασε τὴν ἑσπέραν εἰς τὸ ἑσπερινὸν δεῖπνον.

425. θάλαμος] Ὁ κοιτὼν, ὁ ἐνδότατος οἶκος, παρὰ τὸ θάλλειν ἅμα.

426. περισκέπτῳ] Ἐν τῷ περισκέπτῳ τῆς αὐλῆς, ὅ ἐστι τῷ πανταχόθεν ἐκ τῆς αὐλῆς σκοπουμένῳ.

427. μερμερίζων] Εἰς πολλὰ μέρη μερίζων τὴν ψυχὴν, καὶ ἐνθυμούμενος περὶ τῆς ἐσομένης ἐκκλησίας.

428. δαΐδας] Δαῒς ὀξυτόνως ἡ λαμπὰς, δάϊς δὲ βαρυτόνως ἡ μάχη.

Ib. κέδν' εἰδυῖα] Προσφιλῆ, συνετὰ φρονοῦσα.

430. κτεάτεσσιν] Ἐκ τῶν ἰδίων κτημάτων.

436. πύκα] Πυκνῶς, καλῶς κατεσκευασμένου.

438. πυκιμήδεος] Τῆς συνετὰ βουλεύματα εἰδυίας.

442. ἱμάντι] Τὸ λεγόμενον ἐφ' ἡμῖν κλεῖθρον. δύο δὲ τόδε ἔχει ἱμάντας ἐξηρτημένους διά τινων τρήσεων, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν εἰς τὸ δύνασθαι ἀνοῖξαι καὶ κλεῖσαι· νῦν οὖν τῷ κλείθρῳ παρέτεινε καὶ παρήγαγε τῷ ἱμάντι. κλεῖθρον δὲ ἐστὶν ἔξωθεν ἐφελκόμενον διὰ τοῦ ἱμάντος, ὃς συνέχει τὴν θύραν. ἀνοίγει δὲ μονοβάλανος κλεὶς καθιεμένη, καὶ εἰς τὸ ἕτερον μέρος ἀποδιωθοῦσα τὸ κλεῖθρον, ὥστε κλεισθὲν μηδένα ἔσωθεν ἀνοίγειν.

[c] Sic conj. Porson. ad Cod. Harl. Codd. ἀτικῶς. [d] Leg. ἐστι δασύνειν cum Buttm. Cod.

ἱμάντες, τοῖς ἱμαντοδέτοις δὲ ὧν ἐκτετρημένων ἢ τῶν ἱμάντων, δηλαδὴ τῶν ἐνηλάτων, ἔκτασις γίνεται τῷ κρικίῳ, ᾧ ἐπισπώμεθα τὴν θύραν, τῷ λεγομένῳ κόρακι, τῷ ἐπισπάστῳ τῆς θύρας.

444. πέφραδ' Ἀθήνη] Ἐβουλεύσατο, εἶπεν, ἐσήμανεν αὐτῷ.

B.

Συναγαγὼν ἐκκλησίαν Τηλέμαχος παραγγέλλει τοῖς μνηστῆρσιν ἀπιέναι τῆς οἰκίας τοῦ Ὀδυσσέως. λαβὼν δὲ παρὰ Εὐρυκλείας τὰ πρὸς τὴν ἀποδημίαν ἐπιτήδεια[e] Ἀθηνᾶς, ἑτέρους[f] τε καὶ ναῦς εἰς πλοῦν ἀνάγεται ἡλίου δύναντος. Ἄλλως. ἅμα ἕω Τηλέμαχος συναγαγὼν ἐκκλησίαν τοὺς Ἰθακησίους, κελεύει τοὺς μνηστῆρας ἀπαλλάττεσθαι τῆς οἰκίας, καὶ ναῦν αἰτήσας παρ' αὐτῶν, ὅπως εἰς Πύλον καὶ εἰς Σπάρτην πορευθῇ, ἀποτυγχάνει· παρὰ δὲ Νοήμονος λαβὼν, καὶ ἐφόδια παρὰ Εὐρυκλείας τῆς τροφοῦ αὐτοῦ, λάθρα τῆς μητρὸς ἀποπλεῖ.

V. 1. ἠριγένεια] Ἐστὶν, ἡ ἦριν γεννῶσα, τουτέστι τὴν πρωΐαν, ἢ τὴν ἐν τῷ ἦρι γεννῶσαν, ἤτοι τῷ ὄρθρῳ.

Ib. ῥοδοδάκτυλος] Ἤτοι ῥοδόχρους. ἀπὸ μέρους καλὴ, ἀπὸ τῆς πρωϊνῆς ἀνατολῆς.

2. ὤρνυτ' ἄρ'] Τὸ διὰ τῆς προτροπῆς τῆς θεοῦ πρόθυμον τοῦ νέου διὰ τοῦ ὤρνυτο ἐσήμανεν. ὤρνυτο ὡς τὸ "ὤχθησαν δ' ἀνὰ "δῶμα." σπανίως γὰρ ὁ ποιητὴς αὔξει τὴν ἄρχουσαν, εἰ μή που διὰ τὸ μέτρον.

4. λιπαροῖσιν] Λιπαροῖς καὶ πλουσίοις, μεταφορικῶς.

6. αἶψα δὲ κηρύκεσσιν] Οὐδὲν μὲν ἀντιπράττουσιν οἱ στίχοι πρὸς τὴν παροῦσαν ὑπόθεσιν, οἰκειότεροι δὲ μᾶλλον εἰσὶ τῇ Ἰλιάδι.

Ib. αἶψα] Ταχέως.

Ib. κηρύκεσσι] Φύσει μακρὸν τὸ ρυ, κῆρυξ δὲ θέσει.

Ib. λιγυφθόγγοις] Ἡδυφώνοις.

Ib. κέλευσε] Παρεκελεύσατο.

7. ἀγορήνδε] Ὁ δε ποτὲ μὲν παραπληρωματικὸς, ἐστὶ δ' ὅτε καὶ ἀντὶ τοῦ γὰρ αἰτιολογικῶς λαμβάνεται.

8. οἱ μὲν ἐκήρυσσον] Οὗτοι μὲν οἱ κήρυκες κηρύσσοντες ἐκάλουν, οἱ Ἀχαιοὶ δὲ συνηθροίζοντο πάντες ταχέως.

[e] Suppl. παρὰ δὲ. [f] Leg. ἑταίρους.

Ib. αὐτὰρ ἐπεὶ ῥ' ἤγερθεν] Μετὰ ταῦτα ἀφ' οὗ δὴ συνήχθησαν, ὁμοῦ δὲ κατὰ ταυτὸν ἐγένοντο.

10. βῆ ῥ' ἴμεν] Τὸ ἑξῆς βῆ ῥ' ἴμεν εἰς ἀγορὴν οὐκ οἶος· τὰ δὲ ἄλλα διὰ μέσου διόρθωσε.

Ib. βῆ ῥ' ἴμεν] Ὁρμήσας ἐπορεύθη εἰς δημηγορίαν αὐτός.

16. ὃς δὲ γήραϊ κυφὸς] Ὃς δὲ γήραϊ, ἐπειδὴ ὑπὸ τοῦ γήρως κυφοὶ γίνονται καὶ οἱ τυχόντες, καὶ οὐ διὰ τὸ γῆρας δεῖ θρασύνεσθαι, πρόκειται καὶ μυρία ᾔδη.

18. εὔπωλον] Τὴν εὖ οἰκουμένην, τὴν καλοὺς ἵππους ἔχουσαν.

21. ἀλλ' οὐδ' ὣς τοῦ ἐλήθετο] Τὸ συμβαῖνον εἰς τοὺς γονεῖς παρεφύλαξεν, οὐ γὰρ οὕτως ἡ τῶν ζώντων παρουσία εὐφραίνει, ὡς ἡ τοῦ ἑνὸς ἀπώλεια λυπεῖ. οὕτω γοῦν ἔχων οὐ παύεται τὸν ἀπολωλότα ὀδυρόμενος.

26. οὐδέ ποθ' ἡμετέρη ἀγορὴ] Ἀρίσταρχος· τοῦτο δ' εἰς τὴν ἀναρχίαν, ὅθεν καὶ ἐθρασύνθη τὰ μειράκια, μηδενὸς ἐπιπλήσσοντος ἐκείνοις.

28. νῦν δὲ τίς ὧδ'] Τὸ τίς πυσματικὸν ἐνθάδε τυγχάνον φυλάσσει τὸν τόνον.

29. ἠὲ νέων ἀνδρῶν ἢ] Οὗτοι ἐγκλίνονται εὐκτικοὶ ὄντες· οἱ δὲ ἑξῆς περισπῶνται, ἐρωτηματικοὶ γὰρ εἰσί.

30. στρατοῦ] Τινὲς πολεμίων στρατοῦ, ἄμεινον δὲ τοῦ ἐπ' Ἴλιον στρατεύσαντος.

31. ἥν χ' ἡμῖν] Ἀπολύτως ἡ ἀντωνυμία, διὸ τὴν προτέραν ὀξυτονητέον, εἰ καὶ ἀντωνυμία ᾖ.

33. ὀνήμενος] Τὸ ὀνήμενος ἠθικῶς ἀναπεφώνηται, ἄξιος ὀνήσεως ἔσται.

37. μέσῃ ἀγορῇ] Μέσον τῶν συνειλεγμένων.

Ib. στῆ δὲ μέσῃ ἀγορῇ] Ὅτι διὸ καὶ τέρας τῆς ποιήσεως Ὁμηρικὸν τὸ ἔθος τετήρηται.

39. ἔπειτα γέροντα καθαπτόμενος προσέειπε] Ἤτοι τὸν λόγον πρὸς αὐτὸν ποιούμενος καὶ καταπραΰνων καὶ προσαγόμενος, τὴν ἀπότασιν τῶν λόγων ποιούμενος.

41. λαὸν ἤγειρα] Ζηνόδοτος γράφει ἤγειρεν.

45. ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ] Μετὰ τοῦτο ὑποστικτέον, ὅμοι κακὸν ἔμπεσεν.

50. ἐπέχραον οὐκ ἐθελούσῃ] Ἐπῆλθον μετὰ βλάβης καὶ ἐπηρείας ἐπηρεάζοντες.

52. οἳ πατρὸς μὲν ἐς οἶκον] Ἐκ τούτου δῆλον ὅτι ὁ Ἰκάριος Ἰθακήσιος ἦν. φασὶ γοῦν εἰς οἶκον, εἰ δὲ ἦν ξένος, ἔφη ἂν ποτὶ ἄστυ.

53. ἐεδνώσαι] Ἔδνα ἐπιδώσει, ἀποπροικίσει, χρήματα δώσει. καὶ κυρίως μὲν ἕδνα ἐστὶ τὰ διδόμενα ἀπὸ τοῦ γαμοῦντος τῇ γαμουμένῃ, νῦν δὲ καταχρηστικῶς κεῖται ἡ λέξις ἀντὶ τοῦ χρήματα ἐπιδώσει.

56. βοῦς ἱερεύοντες καὶ ὄϊς] Πάντα πληθυντικῶς λέγει, αὔξων τὴν κατηγορίαν, καί τοι μίαν βοῦν ἔθυον.

57. εἰλαπινάζουσι] Κατὰ συστροφὰς πίνουσιν, ἐν ἀθροίσματι εὐωχοῦνται, ἑορτάζουσι.

58. τὰ δὲ πολλὰ κατάνεται] Ταῦτα δὲ πολλὰ ὄντα καταναλίσκεται.

59. ἔσκεν] Ὑπῆρχεν.

Ib. ἀρὴν ἀπὸ οἴκου ἀμῦναι] Βλάβην ἀποσοβῆσαι.

60. ἡμεῖς δ᾽ οὔ νύτι] Οὐχ οἷοί τε ἐσμέν.

Ib. ἀμυνέμεν] Ὥστε βοηθεῖν.

Ib. ἢ καὶ ἔπειτα] Ὄντως γὰρ καὶ μετὰ τὸ ἐπιχειρῆσαι.

61. λευγαλέοι] Ἀσθενεῖς, ἀδύνατοι, πικροὶ ἑαυτοῖς ὑπάρξομεν.

Ib. καὶ οὐ δεδαηκότες ἀλκὴν] Καὶ εἰδότες, μεμαθηκότες, ἐπιστάμεθα τὸν τρόπον τῆς βοηθείας, τῆς δυνάμεως.

63. ἀνασχετ᾽ ἔργα] Εὔθετα, καὶ πλεονάζει ἡ ἀνα στέρησις, ἵν᾽ ᾖ σχετά.

64. νεμεσσήθη τὲ] Μεμπτὸν ἡγήσασθε.

67. ἀγασσάμενοι κακὰ ἔργα] Θαυμάσαντες τὰ κακὰ, ὅρα τῶν ἀδικούντων τὴν τόλμαν. ἢ νεμεσήσαντες ἐπὶ τοῖς κακῶς πραττομένοις, μὴ μεταβάλωσι τὰ πράγματα.

68. λίσσομαι ἠμὲν Ζηνὸς] Ἱκετεύω ὑμᾶς καὶ διὰ τοῦ Διὸς οὐρανόν.

Ib. Θέμιστος] Αἰολικῶς τῆς Θέμιδος, καὶ διὰ τοῦ νόμου. τινὲς ᾠήθησαν εἰς τὴν ἐκκλησίαν φέρεσθαι Θέμιδος ἄγαλμα.

69. λύει, ἠδὲ καθίζει] Διαλύει καὶ συνίστασθαι ποιεῖ.

70. σχέσθαι φίλοι] Ἀνάσχετε ἀπὸ τῆς ἀδικίας ταύτης, βοη-

θήσατε. τὸ γὰρ φίλοι ἀνάρμοστον κατὰ τῶν μνηστήρων, ἵν' ᾖ ἀπόσχεσθε.

73. τῶν μ' ἀποτινύμενοι] Ὑπὲρ ὧν καὶ ἕνεκα τούτων με τιμωρούμενοι πράττονται, δυσχεραίνοντες, ἐχθρωδῶς διακείμενοι.

75. πρόβασιν] Περιουσίαν, πρόσοδον, ἀπὸ τοῦ προβαίνειν ἐκ τούτου τὴν οὐσίαν.

79. ἀπρήκτους ὀδύνας] Ἀπράκτους ὀδύνας, ἢ πρὸς οὓς οὐκ ἔστι τί πρᾶξαι.

81. δάκρυ' ἀναπρήσας] Δακρύων πλῆθος προέμενος, ἢ πληρώσας δακρύων τοὺς ὀφθαλμούς.

82. ἀκὴν ἔσαν] Ἥσυχοι ἦσαν σιωπῶντες.

Ib. οὐδέ τις ἔτλη] Οὐδεὶς δὲ ἐτόλμα.

86. μῶμον ἀνάψαι] Περιποιῆσαι, περιθεῖναι ἡμῖν.

90. ἐξ οὗ ἀτέμβει] Ἀφ' οὗ στερίσκει, λυπεῖ, ξηραίνει ἐπιθυμίαν.

91. πάντας μὲν ῥ' ἔλπει] Ὑπὲρ τοῦ διαφυγεῖν τὸν παρόντα ἔλεγχον.

Ib. ἔλπει] Ἐλπίζειν ποιεῖ, ἢ ἀντὶ τοῦ ἐλπίδας ὑπισχνεῖται, ὁμολογεῖ.

92. ἀγγελίας προϊεῖσα] Ἀπαγγελίας προπέμπουσα.

93. ἡδὲ δόλον] Διόλου σχεδὸν ὁμολογεῖ τὴν βίαν.

Ib. ἐνὶ φρεσὶ μερμήριξε] Ὡς καὶ τὰ πρῶτα δολίως ἀπατῶσα αὐτοὺς ἐβουλεύσατο.

94. στησαμένη μέγαν ἱστὸν] Οὐ ποιητικῶς κόσμου χάριν προσέρριπται τὸ μέγαν, ἀλλ' ὡς παρέκτασις μᾶλλον ἀπὸ τῆς πολυχρονίου τοῦ ἔργου κατασκευῆς. καὶ τὸ "ἄφαρ" νῦν ἀντὶ τοῦ ἐξαίφνης.

Ib. λεπτὸν καὶ περίμετρον] Ὁ λεπτοϋφὴς καὶ ὑπέρμετρος, εἰκότως ἵνα δυστήρητον ἔχῃ τὴν τοῦ ἔργου προκοπήν.

Ἄλλως. λεπτὸν καὶ περίμετρον] Πολὺν, μέγαν, περισσὸν μέτρον ἔχοντα.

96. κοῦροι ἐμοὶ] Διὰ τὸ κοῦροι ὀνειδίζει αὐτοὺς, ὡς οὐ δέον ταύτην τὴν ἡλικίαν τὴν μὴ προσήκουσαν μνᾶσθαι.

97. φάρος] Ἱμάτιον.

98. μή μοι μεταμώνια] Μήπως μοι ἠμελημένα.

99. Λαέρτῃ ἥρωϊ] Ἔμφυτόν πως ἐστι ταῖς γυναιξὶ πρὸς τοὺς γονεῖς τῶν ἀνδρῶν ἀπεχθῶς ἔχειν. δείκνυσιν οὖν λεληθότως τὴν πρὸς Ὀδυσσέα φιλοστοργίαν, ὃς ταυτὸ παρήνει μεμνῆσθαι πατρὸς καὶ μητρός.

100. μοῖρ' ὀλοὴ καθέλῃσι] Μερὶς ὀλεθρία καταλάβῃ.

Ib. τανηλεγέος] Μακροχρονίου, ἐκ τοῦ λέγω τὸ κοιμῶμαι.

101. κτεατίσσας] Προικοδοτήσας.

103. ἀγήνωρ] Ὁ ἄγαν ἀνδρεῖος.

104. ἠματίη] Δι' ὅλης τῆς ἡμέρας.

105. ἀλλύεσκεν] Ἀνάλυεν.

Ib. δαΐδας παραθεῖτο] Δᾴδας, φῶτα παρατιθέμενος.

111. σοὶ δ' ὧδε μνηστῆρες] Προοικονομία εἰς τὰ ἑξῆς, ἵνα καὶ τὴν τῶν θεραπαίνων ἀναίρεσιν συντόμως προδηλώσῃ.

114. καὶ ἀνδάνει] Καὶ ἀρέσκει.

116. τὰ φρονέουσ' ἀνὰ θυμὸν] Ταῦτα λογιζομένη κατὰ τὴν ψυχήν.

118. κέρδεα] Τὰ πανουργεύματα, οὐχ ὡς ἡμεῖς τὴν φιλοχρηματίαν, ἀπὸ κοινοῦ δὲ τὸ ἐπίσταται.

119. τάων, αἳ πάρος ἦσαν] Ἐπανέλαβε τὸν λόγον ἐπεὶ μεταξυλογίᾳ ἐχρήσατο. "τάων," ἐκείνων τῶν γυναικῶν.

Ib. αἳ πάρος ἦσαν] Πρὸ ἡμῶν ὑπῆρχον.

Ib. εὐπλοκάμιδες Ἀχαιαὶ] Εὔκομοι θυγατέρες τῶν Ἑλλήνων.

122. τοῦτο γ' ἐναίσιμον οὐκ ἐνόησε] Τοῦτο δὲ οὐ πρεπόντως οὐδὲ προσηκόντως ἐβουλεύσατο.

123. τόφρα] Ἐπὶ τοσοῦτον.

124. ὅν τινα οἱ νῦν] Κατ' εἰρωνείαν τοῦτο λέγει.

125. ποιεῖ] Περιποιεῖται.

Ib. ποθὴν] Ἐπιθυμίαν.

135. ἀρύσεται] Ἐπικαλέσεται.

137. ἐγώ ποτε μῦθον ἐνίψω] Μετὰ ἀπειλῆς ἐπιπλήξω, λοιδορήσω. εἴπω μετὰ ἐπιπλήξεως, ἐνιπὴ ἡ ἐπίπληξις.

139. ἔξιτε] Ἐξέλθετε, ἐξέρχεσθε.

Ib. δαῖτας] Ἀπὸ τοῦ δαῖς δαιτὸς προπερισπωμένως, εἴτε ἀπὸ τοῦ δαίτη δαίτης παροξυτόνως.

140. ὑμὰ κτήματα] Τὴν ὑμετέραν κτῆσιν.

Ib. ἀμειβόμενοι] Ἐναλλάσσονται κατὰ διαδοχήν.

142. νήποινον] Ἀνεκδίκητον.

143. κείρετ' ἐγὼ] Φθείρει.

Ib. ἐπιβώσομαι] Ἐπιβοήσομαι, ἐπικαλέσομαι. ὡς τὸ ὀγδώκοντα τὰ ὀγδοήκοντα.

144. παλίντιτα] Παλιντιμώρητα.

145. νήποινοί κεν ἔπειτα] Ἀνεκδίκητοι τὸ μετέπειτα.

147. ὑψόθεν ἐκ κορυφῆς] Ἐξ ὕψους, ἐκ τοῦ ἀνωτέρου μέρους.

Ib. προέηκε] Ἔπεμψε.

148. τώ δ' εἴως] Καὶ οὕτω οἱ δύο ἀετοί. τὸ εἴως ἀντὶ τοῦ τέως, διὸ οὐδὲ στιγμὴν ἀποτελεῖ, ἀλλὰ στιγμὴ ἐν τῷ "πτερύ-"γεσσιν."

τὼ δ' εἴως] Τῶ δ' αἰετὼ, τινὲς τὸ "τω" περισπῶσιν, ἐπὶ γὰρ τοῦ Τηλεμάχου ἀκούονται.

149. τιταινομένω] Ἐξέτεινον.

Ib. πτερύγεσσιν] Ἀττικὸν ἰδίωμα.

150. ἀλλ' ὅτε δὴ μέσην ἀγορὴν] Ἀλλ' ὁπόταν μέσον τοῦ ἀθροίσματος, ἐν ᾧ πολλαὶ φῆμαι εἰσὶν, παρεγένοντο.

Ib. πολύφημον] Ἐν ᾗ πολλαὶ φῆμαι εἰσὶν, ἐν ᾗ πολλαὶ κληδόνες εἰσὶν, ἥτις πολλὰς φήμας περὶ τοῦ Ὀδυσσέως ἔχει. ἢ τὴν πολλὴν εὐφημίαν ἐν τοῖς λόγοις ἔχουσαν.

151. ἔνθ' ἐπιδινηθέντες] Ἐκεῖσε δὲ ἐνταῦθα συστραφέντες ἐν τῷ καταράσσειν τὰ συνεχῆ αὐτῶν πτερά.

152. ἐς δ' ἱκέτην] Ἀφίκοντο.

Ib. ὄσσοντο δ' ὄλεθρον] Προεμαντεύοντο, προεδήλουν αὐτοῖς ἀπώλειαν.

153. δρυψαμένω δ' ὀνύχεσσι] Κατασπαράξαντες, ἀποξύσαντες δὲ τοῖς ὄνυξιν καὶ τοὺς αὐχένας.

154. δεξιὼ δ' ἤϊξαν] Δεξιοὶ καὶ ἀνατολικοὶ, δεξιὰ γὰρ τὰ ἀνατολικὰ καλεῖ ὁ Ὅμηρος· (Il. M. 239.)

εἴτ' ἐπιδέξι' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε.
εἴτ' ἐπ' ἀριστερὰ ποτὶ ζόφον ἠερόεντα.

Ἀριστοφάνης.

156. ὥρμηναν] Διενοήθησαν, ἐδιελογίζοντο.

Ib. ἔμελλον] Ἔμελλον διὰ τοῦ ε, τοῦτο γὰρ Ὁμήρῳ σύνηθες.

Ἀλλως. Οἱ κακοὶ τὰς πράξεις κακὰς καὶ τὰς ἐλπίδας. τὰ δὲ τοιαῦτα τῶν σημείων τοῖς μὲν ἀγαθοῖς τὸ θαρρεῖν, τοῖς δὲ πονηροῖς ἀποτροπὴν ποιεῖ τῶν τολμωμένων.

158. Μαστορίδης] Ὁ τοῦ Μάστορος υἱός.

Ib. ὁμηλικίην ἐκέκαστο] Ἐκ τῶν ὁμηλίκων ἐκεκόσμητο.

159. ὄρνιθας γνῶναι] Διὰ τῶν ὀρνίθων ἐπιγνῶναι.

Ib. ἐναίσιμα] Μαντευτικὰ, τὰ ὑπὸ τῆς αἴσης πεπρωμένα, τὰ καθήκοντα μαντεύσασθαι.

160. ὅς σφιν εὐφρονέων] Τὸ ο προκαταρκτικόν ἐστιν ἀντὶ τοῦ ὑποτακτικοῦ, ὅστις ἐν αὐτοῖς καλῶς ἐδημηγόρησε καὶ τὸ μετὰ ταῦτα εἶπε.

161. ὅττικεν εἴπω] Ὅπερ ἂν εἴπω καὶ λέξω.

162. πιφαυσκόμενος] Προμηνύων, προλέγων, διαβεβαιούμενος.

163. τοῖσι γὰρ μέγα πῆμα κυλίνδεται] Τούτοις μεγίστη βλάβη ἐπέρχεται.

164. δὴν ἀπάνευθε φίλων] Ἐπὶ πολὺν χρόνον χωρὶς ἰδίων.

Ib. ἐγγὺς ἐὼν] Τὸ ἐγγὺς οὐ τοπικῶς νῦν, ἀλλὰ χρονικῶς. ἐν Ὠγιγυίᾳ[d] γὰρ ἦν.

165. τοῖσδεσσι φόνον καὶ κῆρα φυτεύει] Τούτοις τὸν διὰ τοῦ φόνου θάνατον κατασκευάζει.

166. πάντεσσι πολέσιδε] Πολλοῖς τοῖς πατράσι τῶν Ἑλλήνων δηλονότι, ἤτοι τῶν μνηστήρων.

167. Ἰθάκην εὐδείελον] Εὐδείελον, ἤτοι εὐδιεινὴν καὶ ἀπεριόριστον. καὶ τὴν εὖ πρὸς δήλην[e] κειμένην, ἢ εὔδηλον καὶ φανερὰν, καθὸ νῆσος ἐστὶ, πᾶσαι δὲ αἱ νῆσαι συγκρινόμεναι ταῖς ἠπείροις εὐδηλότερα ἔχουσι τὰ ὅρια· ἢ τὴν εἰς τὴν δύσιν καὶ δείλην κειμένην, δείλη γὰρ ἡ δύσις, τουτέστιν ἑσπερία.

169. καὶ γάρ σφιν ἄφαρ] Καὶ γὰρ λώϊον αὐτοῖς τὸ ἄφαρ παύσασθαι.

170. οὐ γὰρ ἀπείρητος] Ἄπειρος καὶ ἀμαθής.

172. ὥς οἱ ἐμυθεόμην] Συναπτέον τὸ ἕως τῷ πολύμητι Ὀδυσσεῖ. δύναται δέ τις καὶ ἐπὶ τὸ ἐμυθεόμην στίζειν, τοῖς ἄνω αὐτὰ ἀποδιδοὺς, καὶ ἀφ᾽ ἑτέρας ἀρχῆς ἀναγινώσκειν, " ὅτε Ἴλιον εἰσ-

[d] Leg. Ὠγυγίῃ. [e] Leg. δείλην.

“ἀνέβαινον,” ἵνα ἀποστίξωμεν μετὰ τὸ Ἀργεῖοι, καὶ ὁ Ὀδυσσεὺς, ἡ δὲ ἀπόδοσις φανερά.

182. φοιτῶσ'] Τινὲς ποτῶντο. οὐδὲ ἀκυρότερον γὰρ ἐπὶ ὀρνίθων τὸ, ποτῶντο.

Ib. οὐδέ τι[f] πάντες αἰνέσιμοι] Αἰνέσιμοι, τὸ εἱμαρμένον σημαίνοντες, σημαντικοί. ὁ δὲ τε σύνδεσμος περισσός. ἐν δὲ τοῖς ἀρχαιοτέροις γράφεται οὐδέτι.

184. θεοπροπέων] Ἐκ θεῶν μαντευόμενος. κατ' εἰρωνείαν τοῦτο.

186. ποτιδέγμενος] Προσδεχόμενος.

Ib. πόρῃσιν] Παράσχῃ.

189. παρφάμενος] Παραπείσας, ἀπατῶν.

190. ἀνιηρέστερον] Λυπηρότερον, Ἀττικὸν, ὡς τὸ πτωχέστερον.

192. θωὴν ἐπιθήσομεν] Ζημίαν, ἤγουν θάνατον ἐμβαλοῦμεν.

196. οἱ δὲ γάμον] Οὗτοι οἱ μνηστῆρες, οἱ ἐν τῷ δώματι τοῦ πατρός.

Ib. ἀρτυνέουσιν] Ἑτοιμάσουσιν.

Ib. ἔεδνα] Τὰ παρὰ τοῦ νυμφίου, γαμήλια δὲ τὰ παρὰ τοῦ πατρὸς τῆς νύμφης διδόμενα.

197. πολλὰ μάλ' ὅσσα ἔοικε φίλης] Πλεῖστα πάνυ ὁπόσα καὶ ἅ ἐστι προσφιλεστάτῃ παιδὶ διδόσθαι.

206. εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν] Ἕνεκα τῶν ἀρετῶν αὐτῆς ἐρίζομεν. τὰ κοσμοῦντα αὐτὴν πάντως λέγει.

εἵνεκα τῆς ἀρετῆς] Ὁ Ἀρίσταρχος λείπειν φησὶ τὸ ἄρθρον, ἵνα ᾖ εἵνεκα τῆς ταύτης ἀρετῆς.

207. ἐπιεικὲς ὀπυιέμεν] Πρέπει μνηστεύεσθαι, γαμεῖν.

210. ταῦτα μὲν οὐχ' ὑμέας] Περὶ τούτων οὐκέτι ὑμᾶς λιτανεύσω οὐδὲ δημηγορήσω.

214. εἶμι γὰρ εἰς Σπάρτην] Πορεύσομαι εἰς τὴν Σπάρτην.

215. νόστον πευσόμενος] Τὴν ὑποστροφὴν ἀκουσόμενος τοῦ πατρὸς τοῦ ἐπὶ πολὺν χρόνον.

216. ἤν τίς μοι εἴπῃσι βροτῶν] Λείπει τὸ ἰδών.

Ib. ὅσσαν] Θείαν φήμην, ἣ ἀπὸ μαντείας ἀκούσω.

219. ἦτ' ἂν τρυχόμενός περ] Καταπονούμενος, δαμαζόμενος καρτερήσω, ὑπομείνω.

[f] Sic.

236. κακορραφίῃσι] Κακοβουλίαις, κακομηχανίαις. τινὲς κακοφραδίῃσι γράφουσι.

237. σφὰς γὰρ παρθέμενοι] Τῶν οἰκείων καταφρονήσαντες, εἰς ἐχυρὸν θέμενοι, ἀντὶ τοῦ ὡς μὴ ἐπικείμενοι τὰς ἑαυτῶν κεφαλὰς, ἀλλὰ παραβαλόντες καὶ παρατιθέμενοι αὐτάς.

Ἄλλως. Τὰς ἰδίας κεφαλὰς εἰς τιμωρίαν ὑποθέμενοι. ὀξυτονητέον δὲ τὴν σφὰς, κλητικὴ γὰρ ἀντὶ τοῦ σφετέρας.

238. οἶκον Ὀδυσσῆος] Οἶκον Ὀδυσσῆος, παρωνυμικῶς τὰ ἐν τῷ οἴκῳ. τὸ δὲ ἐναντίον "μετὰ δαίμονας ἄλλους" τὸν τόπον τῶν θεῶν. ὁμοίως καὶ τὸ "σύεσσι παρήμενον."

243. ἠλεὲ] Ἠλίθιε καὶ ἀνόητε τὰς φρένας, μάταιε.

244. Ῥι[g] βιὸς γὰρ "παύεται" καὶ λόγον ἔχει, διὰ τὸ καὶ τὸν μάντιν εἰπεῖν

φραζόμεθ' ὥς κεν καταπαύσωμεν, οἱ δὲ καὶ αὐτοὶ
παυέσθων.

καὶ τὸ "ἡμέας καταπαυέμεν."

247. κατὰ δῶμα ἔω] Ἀντὶ τοῦ αὐτοῦ. τινὲς τὸ ἔω (sic) λέγουσι κακῶς. τὰ τῆς δευτέρας συζυγίας, εἰ μὲν καθαριεύει ἢ καὶ τὸ ῥῶ ἐπάγοιτο ἐκτείνεται. εἰ δὲ τὸ λ ἐστὶ, ἕτερον τῶν συμφώνων συστέλλεται.

251. πλειόνεσσιν ἕποιτο] Οἱ πολλοὶ αὐτῷ ἕποιντο. ἢ εἰ πολλοὺς ὀπαδοὺς ἔχοι. τινὲς δὲ γελοίως γράφουσι[h] δύναται καὶ οὕτω νοεῖσθαι.

252. ἀλλ' ἄγε λαοὶ] Καὶ τοῦτο τῆς προπετείας αὐτῶν, ἀλλ' οὐ συναγαγόντως λύειν.

253. τούτω δ' ὀτρυνέει] Διασυρτικῶς, ἐπειδὴ οὗτοι ἦσαν οἱ ὑπὲρ Ὀδυσσέως εἰπόντες.

254. πατρώϊοι] Πάτριον τὸ τῆς πατρίδος, πατρῷοι ἐπὶ φίλων ἐμψύχων, πατρικοὶ δὲ οἶκοι, κτήματα.

255. δηθὰ] Ἐπίρρημα. τὰ δὲ ἐπιρρήματα ἀπὸ πασῶν τῶν πτώσεων γίνονται.

257. αἰψηρὴν] Ἀντὶ τοῦ ταχέως, ὡς τὸ "τότε με χάνοι "εὐρεῖα χθὼν," ἀντὶ τοῦ εὐρέως.

260. ἐπὶ θινὶ θαλάσσης] Εἰ κατὰ δοτικὴν γράφεται, τὸ θινὶ

[g] Leg. Ῥιανὸς. [h] Suppl. μάχοιτο.

δὲ βραχὺ διαστελοῦμεν ἐπὶ τὸ ἰὼν, καὶ τὰ ἑξῆς συνάπτομεν. εἰ δὲ διὰ τοῦ α, ὡς Δίδυμος φησὶ, γράφει Ἀρίσταρχος, μετὰ τὸ θαλάσσης διαστελοῦμεν, βραχὺ δὲ διασταλτέον καὶ μετὰ τὸ ἁλός.

261. εὔχετ' Ἀθήνῃ] Ὁ μὲν Τηλέμαχος θεὸν ἁπλῶς ἐπικαλεῖται· ἀγνοεῖ γὰρ τίς ἦν θεῶν ὁ φανεὶς αὐτῷ, ὁ δὲ ποιητὴς εὔχετ' Ἀθηναίῃ φησιν.

Ib. ἠεροειδέα πόντον] Ἡ θάλασσα γὰρ ἀέρι παρεικάζεται, ὅθεν καὶ διὰ λογίζεται, ἤγουν ἀεροειδής· ἐπεὶ μόνον ἀέρα ὁρῶσιν οἱ πλέοντες. Ἄλλως· τὸν μέλανα ἢ βαθύν· ἢ διὰ τὸ μόνον ἀέρα ὁρᾶσθαι τοῖς πλέουσιν. ἢ ὅτι ἀέρι ὁμοία ἡ θάλασσα τὴν χροιάν.

265. διατρίβουσιν Ἀχαιοὶ] Ἐκλύωσιν, ἀναβάλλονται, δαπανίζουσι· εἰκότως ἄρα ἧκεν ἐπὶ τὴν εὐχὴν, τὰ πρὸς τὴν ἔξοδον ἕτοιμα ἔχων ὁ νέος.

270. οὐδ' ὄπιθε κακὸς ἔσεαι] Οὐδὲ ὕστερον κακὸς ἔσῃ· οὐδὲ ὅμοιος τῷ πατρὶ παῖς τυγχάνων καὶ τῆς πατρῴας σπορᾶς ἔχεις τί σύμβολον· τὸ οὐδὲ ὄπιθεν προτρεπτικῶς, ὡς περὶ τὴν ἐκκλησίαν ἐμφρόνως διατιθεμένου.

271. εἰ δή τοι σου πατρος ἐνέστακται] Ὁ στίχος καὶ τοῖς ἐπομένοις καὶ τοῖς ἡγουμένοις δύναται συνάπτεσθαι.

273. ἀλίῃ] Ἐκ μεταφορᾶς τῶν ἀχρήστων καὶ ῥιπτομένων εἰς τὴν θάλασσαν.

280. τελέσαι] Τὰ μὲν περὶ τοὺς λόγους εὐδοκίμως πέπρακται τῷ Τηλεμάχῳ ἐπαινοῦσα ἐν ᾧ ἀμφοτέροις τὸν Ὀδυσσέα, λεληθότως τὸν νεανίαν ἐπὶ τὰ ἔργα προτρέπεται.

Ib. ἤϊα] Νῦν τὰ ἐφόδια, παρὰ τὸ ἰέναι, σημαίνει ἡ λέξις καὶ τὰ ἄχ[i] ἠΐων θημῶνα νάξῃ[k]· καὶ τὸ ἐπορευόμην,

ἤϊα πολλὰ θεοὺς γουνούμενος,

καὶ τὰ ἄλευρα,

ἐν δὲ καὶ ἤϊα κωρύκῳ.

στικτέον δὲ μετὰ τὸ "ἤϊα," μετὰ δὲ τὸ "πάντα" βραχὺ διασταλτέον, καὶ μετὰ τὸ "ἀμφιφορεῦσιν."

Ib. ἤϊα] Ἀπὸ τοῦ ἀΐσσειν δύναμαι. οἱ γὰρ ἐσθίοντες καὶ πορεύεσθαι δύνανται.

[i] Leg. ἄχυρα. [k] Leg. τινάξῃ.

290. [1] πανδίωτον τὸ ἀπὸ δύο μερῶν βασταζόμενον εἶδος κεράμου.

Ib. ἄλφιτα] Τὰ ἐκ κριθῶν ἄλευρα καὶ τὰ ἐκ σίτων.

291. πυκινῇσι] (sic) Τοῖς μὴ ἀπ' ἀλλήλων ἀραιουμένοις.

297. παρέμιμνεν] Ἐχρόνισε, παρέμεινε.

299. εὗρε δ' ἄρα μνηστῆρας] Ἀλλὰ καὶ φροντίζων ὡς ἐνδημεῖν μέλλων.

302. ἔν τ' ἄρα] Μεγάλην ὕβριν ἐμφαίνει τὸ δεξιοῦσθαι ἐπὶ καταγέλωτι.

304. ἐν στήθεσσι] Τὸ ἀπενεγκεῖν αὐτὸν αὐτοὺς εἰς δημηγορίαν αἰνίττεται.

305. ἐσθιέμεν] Ἀπαρέμφατον ἀντὶ προστακτικοῦ.

310. ὑπερφιάλοισι] Ἔθος ἦν τοῖς παλαιοῖς ἀπὸ τοῦ αὐτοῦ μὲν φιάλου ἢ ποτηρίου πίνειν ἐν συμποσίῳ τοὺς πάντας. τοὺς δὲ ἀναισχύντως καὶ ἀπαιδεύτως ἐν τῇ φιάλῃ προσκαθημένους, ὑπερφιάλους ὠνόμαζον.

311. δαίνυσθαι] Ἔθος ἦν τοῖς παλαιοῖς, ἐπὰν μετὰ τῶν φίλων ἔφαγον, μὴ ἀδικεῖν αὐτοὺς, οἱ δὲ τοὐναντίον εἰργάσαντο.

313. μνηστῆρ' ἐγὼ δ' ἔτι νήπιος ἦα] Τοῦτο σημειοῦται Ἀριστοφάνης, ὅτι ἱκανὰ ἔτη ἐγεγόνει ἀφ' οὗ οἱ μνηστῆρες συνήχθησαν· τοῦτο δὲ καὶ ἐν τῇ νεκυίᾳ· ὅτι δεῖ εἰδέναι, ἤτοι βίοτον κατέδοιεν, οὐ κατέδουσιν.

314. νῦν δ' ὅτε] Τὸ ἑξῆς, νῦν δ' ὅτε δὴ μέγας εἰμὶ, πειρήσω ὥς χ' ὔμμι.

316. Οὐκ ἀνέχεται τωθαζόμενος, ἀλλ' εἰς ἄπειρον ὀργῆς τοσοῦτον ἦλθεν, ὥστε καὶ γυμνοῦναι (sic) τὴν ἐπιβουλήν.

318. εἶμι μὲν] Τὸ ἑξῆς εἰμὶ μὲν ἔμπορος, ὅ ἐστιν ἐπιβάτης ἐπὶ νεὼς ἀλλοτρίας, μὴ ἔχων ἐμὴν ναῦν. ἔμπορος ἤγουν ἐπιβάτης ἐπὶ νηὸς ἀλλοτρίας· μετὰ ναυκλήρου φησὶ καὶ ὑμᾶς ἐπιβάτης ἐσόμενος τοὺς καταναλωκότας μου τὸν πλοῦτον, διὰ τὰ ἄνω

οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλά·

ἔμπορον δὲ τὸν ἐπ' ἀλλοτρίας νηὸς πλέοντα ἐπιβάτην, ὡς καὶ ἀλλαχοῦ, "ἔμπορος εἰλήλουθας νηὸς ἐπ' ἀλλοτρίας." Ἄλλως· ὡς τὸ μὴ ἐν ἰδίῳ οἴκῳ γαμεῖν ἀλλ' ἐν ἀλλοτρίῳ ἐγγαμεῖν ἐστιν,

[1] Hoc Sch. spectat ad ἀμφιφορεῦσι.

οὕτως καὶ τὸ ἐπ' ἀλλοτρίας νηὸς τὸν πλοῦν ποιεῖσθαι καὶ ἐμπορεύεσθαι, τοιοῦτος ἔμπορος· "ἐπήβολος" δὲ ἐπιτυγχάνων τοῦ σκοποῦ.

359. εἶμι γὰρ ἐς Σπάρτην] Ὅτι οὐδὲ ἐνταῦθα μνήμη τις ἐπὶ τῆς Κρήτης.

360. νόστον πευσόμενος] Περὶ τῆς ὑποστροφῆς ἐρωτήσων.

361. κώκυσεν] Ὠλόλυξε, θρηνητικῶς ἐβόησε.

362. καί ῥ' ὀλοφυρομένη] Καὶ πρὸς αὐτὸν ἀποκλαιομένη, ὀδυρομένη.

363. τίπτε δέ σοι] Τίνος ἕνεκεν ἔπλετο, παρεγένετο.

365. μοῦνος ἐὼν ἀγαπητὸς] Μονογενὴς ὢν καὶ ἀγαπώμενος.

366. ἀλλογνώστῳ ἐνὶ δήμῳ] Ἐν τῷ ὑπὸ ἄλλων καὶ οὐχ ὑφ' ἡμῶν γινωσκομένῳ πλήθει.

367. οἱ δέ τοι αὐτίκ' ἰόντι] Οὗτοί σοι εὐθέως πορευθέντι.

Ib. κακὰ φράσσονται ὀπίσσω] Χαλεπὰ βουλεύσονται ἐν ὑστέρῳ.

368. ὥς κε δόλῳ] Ὅπως δολίως διαφθαρείης.

370. πόντον ἐπ' ἀτρύγετον] Ἐπὶ τὴν θάλασσαν τὴν ἄκαρπον, ἀκαταπόνητον ὑπομένειν πλανᾶσθαι.

366. ἀλλογνώστῳ] Ἀλλοδαπῶν, ἢ πολεμίων καὶ ἐχθρῶν, ἢ τῶν ἄλλοις καὶ οὐχ ἡμῖν γινωσκομένων.

370. οὐδ' ἀλάλησθαι] Προπαροξυτόνως, δηλοῖ γὰρ τὸ πλανᾶσθαι.

373. ἀλλ' ὄμοσον] Ἀλλ' ὄμοσόν μοι μὴ πρότερον τῇ προσφιλῇ μου μητρὶ ἐξείπῃς.

375. ἀφορμηθέντος] Ἐξελθόντος, ἐκπορευθέντος.

376. ἰάπτῃ] Διαφθείρει, καταδαπανᾷ· παρὰ τὸν ἰὸν, ὅθεν καὶ τὸ "ἄϊδι προΐαψεν."

378. ἐπεί ῥ' ὄμοσεν] Ὀμόσαι μὲν τὸ ὀνομάσαι θεὸν, τελευτῆσαι δὲ τὸν ὅρκον, τὸ ἐπάγειν τὸ πρᾶγμα περὶ οὗ ὁ ὅρκος γίνεται.

379. αὐτίκ' ἔπειτα] Εὐθέως μετὰ ταῦτα.

Ib. ἀμφιφορεῦσι] Ἐν τοῖς κεραμίοις.

Ib. ἄφυσσεν] Ἐπήντλισεν.

380. ἐν δέ οἱ ἄλφιτ'] Ἐπέλαβε δὲ καὶ τὰ ἄλευρα τοῖς καλῶς ἐρραμμένοις θυλάκοις.

381. ἐς δώματ' ἰὼν] Ἰστέον ὅτι δῶμα Ὅμηρος οὐ πάντοτε τὴν ὅλην οἰκίαν λέγει, ἀλλ' ἔστιν ὅτε καὶ τὸ ἐνδότερον αὐτῆς μέρος.

382. ἔνθ' αὖτ' ἄλλ' ἐνόησε] Τότε δὴ ἕτερα ἐβουλεύσατο.

383. κατὰ πτόλιν ᾤχετο πάντῃ] Ἐπορεύθη πανταχοῦ ὅσα ἂν εἶπεν ἐκεῖνος.

385. ἀγέρεσθαι ἀνώγει] Συναθροίζεσθαι παρακελεύει.

386. Φρονίειον Νοήμονα] Ὀνόματα πεποίηκεν πλαστὰ ὀνόματα.

387. ὑπέδεκτο] Ὑπέσχετο.

388. δύσσετο τ' ἠέλιος] Εἴωθεν ὁ ποιητὴς τοὺς μέλλοντας πολλάκις εἰς ἐνεστῶτας μετάγειν. ἔστιν οὖν τὸ ἐδύσετο παρατατικοῦ, ἀπὸ ἐνεστῶτος τοῦ δύσω.

Ib. σκιόωντο] Ἐσκιάζοντο, σκιὰν ἐποιοῦντο, ὑπεσκιάζοντο, ἢ αἱ ὁδοὶ ἐσκοτίζοντο.

389. πάντα δ' ἐν αὐτῇ] Πάντα ἀσφαλῶς· τὸ μὲν γὰρ λαθεῖν δυνάμενον καὶ μεθ' ἡμέραν πέπρακται· ἦτε ἔντευξις, ἢ πρὸς τοὺς πλευσομένους, ἢ πρὸς τὸν τὴν ναῦν παράξοντα, τὰ δὲ τῆς καθολικῆς τοῦ σκότους ἐπεληλυθότος.

390. ἐΰσελμοι] Εὐσανίδωτοι, λέγει δὲ ἐπιθετικῶς τὰς ναῦς· σέλματα τὰ τῶν νηῶν σανιδώματα.

Ib. εἴρυσε] Καθείλκυσε.

Ib. ὅπλ' ἐτίθει] Τὰ χρειώδη σχοινία ἀπετίθει.

391. στῆσε δ' ἐπ' ἐσχατιῇ] Ἔστησε δὲ αὐτὴν τῷ τελευταίῳ μέρει· περὶ δὲ αὐτὴν οἱ συμπλέοντες ἢ καὶ οἱ συνναῦται.

392. ἀθρόοι ἠγερέθοντο] Ὁμοῦ ἐν τῷ αὐτῷ συνηθροίζοντο· ἡ θεὸς γὰρ παρώρμα τούτων ἕκαστον.

412. οὐδ' ἄλλαι δμωαὶ] Λεληθότως ἀπόρρητον αὐτοῖς ὑποτίθησι τὴν πρᾶξιν ἔσεσθαι. ἵνα μηδὲ αὐτοὶ ἐξείπωσι τισί.

423. ὅπλων ἅπτεσθαι] Τῶν σχοινίων κωπίων ἐπιλαμβάνεσθαι, παρορμήσαντος ὑπήκουσαν.

Γ.

Τηλέμαχος εἰς Πύλον καταχθεὶς ἅμα τῇ Ἀθηνᾷ ἐν Μέντορος μορφῇ, καταλαμβάνει τοὺς Πυλίους θυσίαν ταύρων ἐπιτελοῦντας

τῷ Ποσειδῶνι· καί τι περὶ τοῦ πατρὸς αὐτῷ πυθομένῳ ἐκτίθεται τινὰ τῶν Ἰλιακῶν διηγημάτων· μετὰ τοῦτο ἡ μὲν Ἀθηνᾶ ἐν ὀρνέου μορφῇ μεταπλάττεται· ὁ δὲ Νέστωρ θυσίας αὐτῇ συντελέσας, τὸν Τηλέμαχον ἅμα τῷ υἱῷ Πεισιστράτῳ εἰς Λακεδαίμονα ἀποπέμπει.

Τηλέμαχον ἐλθόντα σὺν Ἀθηνᾷ ξενίζει Νέστωρ, καὶ διηγεῖται αὐτῷ τὰ συμβεβηκότα τοῖς Ἕλλησι καὶ τὸν ἐκ Τροίας ἀπόπλουν. πυθόμενος δὲ περὶ τοὺς μνηστῆρας καὶ γνωρίσας Ἀθηνᾶν ἀπιοῦσαν, θυσίαν αὐτῇ ἐπιτελεῖ. λαβὼν δὲ Τηλέμαχος ἅρμα σὺν Πεισιστράτῳ Νέστορος υἱεῖ, εἰς Σπάρτην ἀπαίρει. ἐκτὸς δὲ ἐπιγενομένοις ξενίζονται παρὰ Δι λείῳ [m] ἐν Φηραῖς [n].

V. 1. Ἅμα ἡμέρᾳ καὶ κατα όμενον [o] εἰς τὴν Πύλον ποιεῖ τὸν νεανίαν, ὡς μηδὲ αὐτὸν ἀργὸν [p] τὸ τῆς ἡμέρας μέρος καταλείπεσθαι.

Ib. λίμνην] Ὁ ποιητὴς τὸ πᾶν ὕδωρ καλεῖ, νῦν δὲ φησὶ τὸν ὠκεανόν.

2. ἀθανάτοισι] Τὸν ἀέρα καὶ γῆν καὶ θάλασσαν καὶ ἁπλῶς τὰ στοιχεῖα ἅπαντα.

Ib. ταύρους παμμέλανας] Ταύρους μὲν διὰ τὸ βίαιον τῆς θαλάσσης, μέλανας δὲ διὰ τὴν χροιὰν τοῦ ὕδατος τὴν ἐκ τοῦ βάθους. ταύρῳ ἀπεικάζουσι τὸν Ποσειδῶνα διὰ τὸ δίκην ταύρου ὑπὸ τῶν κυμάτων ὠρύεσθαι· τῷ Ποσειδῶνι δὲ θύουσιν, ἢ ὡς ἀπόγονοι αὐτοῦ διὰ Νηλέως, ἢ εὐχαριστοῦντες τοῦτον διὰ τὸν νόστον.

7. Ἐννέα συνέδρια ἦν τῶν πόλεων, διὰ τὸ ἐννεάπολιν εἶναι τὴν Πύλον. ἢ ἀπὸ τοῦ ἐννέα ἔτη ταλαιπωρεῖσθαι εἰς τὴν Τροίαν. οὕτως διὰ τὸ πεντακόσιοι Ἀρίσταρχος καὶ Ἡρωδιανός. ἑκάστοθι ἐν ἑκάστῳ τόπῳ. τινὲς δὲ ἑκάστοθεν, ὅ ἐστιν ἐξ ἑκάστης πεντηκοντύος.

8. προείχοντο] Ὁ μὲν Ἀρίσταρχος προείχοντο τῷ θεῷ, οἷον παρεῖχον. οἱ δὲ πρὸ αὐτῶν κατείχοντο ἐπὶ τὸ σφάξαι. τινὲς δὲ προεβάλλοντο.

[m] Leg. Διοκλεῖ. [n] φυραῖς Cod. [o] Leg. καταγόμενον. [p] ἐργὸν Edd.

CODEX REGIUS 2403.

Hic Codex qui est Bomb. Sæc. XIII. inter alia quædam præbet Scholia in duos primos Odysseæ libros, sed hæc neque integra neque continua; quod dolendum esse mecum sentiet lector, quum resciverit ea plerumque consentire cum Scholiis Codicis Harleiani in Museo Britannico adservati. Qui autem Codex, Porsoni laboribus clarus, quum a nobis diligenter excussus fuerit, et Parisiensium Scholiorum desiderium levare poterit, et nonnihil decoris atque præstantiæ his nostris Homericis curis adjicere.

CODEX HARLEIANUS 5674.

Scholia Harleiana obiter tantum et breviter, prout ei ad textum poetæ stabiliendum inservire visa sunt, attigit Porsonus. Quæ quidem, ut par erat, in ejus Editione Scholiorum in Odyss. non neglexit Buttmannus, qui dolebat tamen illa non potuisse integra inserere collectioni a se factæ. Id autem nunc præstabitur, collatione a nobis instituta Harleiani Codicis cum Buttmanni Scholiis Oxonii denuo vulgatis 1827. Non pauca autem invenientur quæ præstantissimo Codici sunt propria, et bonæ notæ, ut quæ ex optimis Antiquorum Grammaticorum fontibus profecta sint. In bene multis etiam Harleianus liber, ad corrigendos aliorum Codicum errores utilissimus est. Correctioris enim librarii manum raro unquam vidi.

Me autem potuisse aliquoties augere variarum lectionum segetem a Porsono notatarum, post tantum virum et tam diligentem, magnum esse duxi. Res autem minutas omittere cuique evenire potest, præsertim in ejus generis Codicibus, qui vel oculatissimorum aciem fallere possunt.

Duas autem Scripturas præcipuas esse hujus Codicis liquido affirmare possum. Prima est quæ textum exaravit, deinde brevia quædam Scholia margini adscripsit. Secunda recentior aliquanto et minutior, quæ longiora et uberiora Scholia addidit; erasis etiam nonnullis in locis prioris librarii Scholiis, ut amplius sibi pateret spatium.

SCHOLIA IN ODYSS. A. COD. HARL. 5674.

V. 1. Ἀντιτιθέμενον. ἀνὴρ ἠὲ γυνή· ἥτ᾿ ἐπὶ τύμβῳ—καὶ ἄνερ᾿ ἀπ᾿ αἰῶνος νέος ὤχετο—καὶ ὅς γε νῦν μετ᾿ ἀνδρῶν ἵζει ἀριθμῷ (Cod. αριθμ" ev. quæ supersc. deb. litera.)—φύλακας ἄνδρας—ἀπογυμνωθέντα κακὸν καὶ ἀγήνορα.

Ib. πολύτροπον] Ἠδὲ Νέστορα—οὐκ ἀποκρυπτόμενον· καὶ τοσοῦτον ἀπεῖχε τοῦτον τοιοῦτον τρόπον—ἄλλο δὲ βάζει. Λύσις. Λύων οὖν ὁ Ἀντισθένης. πολύτροπος ἐρρέθη· καὶ μὴν διότι οὕτως πρὸς αὐτὸν εἴρηκε—τὴν τοῦ λόγου χρῆσιν; εὔτροπος γὰρ ἀνὴρ—τρόποι δὲ λόγων αἴτιοι—καὶ χρῆται τῷ τρόπῳ—κατὰ πολλοὺς τρόπους λέγειν—λόγων περὶ τοῦ αὐτοῦ—εἰ δὲ οἱ σοφοὶ—ὅτι διὰ τοῖς ἀνθρώποις. καὶ διαθεῖναι—τὸν γὰρ ἑκάστοις—τῆς σοφίας ἐξευρίσκειν, ἀμαθίας δὲ τὸ πρὸς τοὺς ἀνομοίως ἔχοντας τῷ τοῦ λόγου χρῆσθαι μονοτρόπῳ—ποικίλην σύστασιν—χρῆσις ποικίλη.

Γ. Ἀπορία. Διατί μιᾶς ὑφ᾿ ἡλίου νεὼς ἀπολωλυίας ἕνδεκα δὲ παρὰ Λαιστρυγόσιν ὁ ποιητὴς ἔφη,

οἱ κατὰ βοῦς ὑπερίονος Ἠελίοιο
ἤσθιον, αὐτὰρ ὁ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.

ὡς διὰ πάντων ὑφ᾿ ἡλίου ἀπολώλοιεν. ...... ὅτι ἑταῖροι ἦσαν μὲν πάντες οἱ ἐπανιόντες ἐξ Ἰλίου μετὰ Ὀδυσσέως· ἰδίως δὲ οἱ συμπλέοντες αὐτῷ ἐν τῇ αὐτῇ νηΐ· καὶ ἡ μὲν σπουδὴ ὑπὲρ τῆς πάντων σωτηρίας· δυνατὴ δὲ μᾶλλον ἡ τῶν ἐν τῇ αὐτῇ νηῒ συμπλεόντων. καὶ γὰρ κατὰ τὴν παροιμίαν, "κοινὴ ναῦς, κοινὴ σωτηρία." ἀλλ᾿ οὐκέτι κοιναὶ νῆες καὶ κοιναὶ σωτηριαί· τὸ γοῦν,

πολλὰ δ᾿ ὅγ᾿ ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θύμον,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον [a] ἑταίρων.

ἰδίως τῶν ἐν τῇ Ὀδυσσέως νηῒ δηλοῖ· ὧν καὶ μάλιστα ὡς ἂν σὺν αὐτῷ ὄντων τῆς σωτηρίας φροντίζειν ἐδύνατο· ἐπεὶ τοῦτο μόνον εἶπε, οἴκον ἀνακομισθῆναι τὸν Ὀδυσσέα, αἴτιος γέγονεν ὁ Ἥλιος, τοὺς περιλειπομένους ἀποκτείνας· ὥσπερ οὖν εἴ τις λέγει, τοῦ τοὺς Τρῶας ἀπολέσθαι αἴτιον Ὀδυσσέα γενέσθαι τὰ περὶ τὸν

[a] νόστων Cod.

ἵππον μηχανησάμενον, καίτοι τῶν πλείστων προαπολωλότων ὑπὸ Ἀχιλλέως, Νεοπτολέμου, Αἴαντος καὶ τῶν λοιπῶν ἀριστέων· ὁ γὰρ τὴν πρᾶξιν τελειώσας ἐπώνυμος τοῦ παντὸς ἔργου γίνεται· οὕτως κἀνταῦθα αἰτίου τοῦ μόνον ὑποστρέψαι τὸν Ὀδυσσέα γεγονότος Ἡλίου, δικαιῶς εἶπεν αὐτοῖς,

ὃ τοῖσιν ἀφείλετο νόστιμον ἦμαρ.

seq. parv. lacuna in Cod.

Ἔπειτα οὐ πάντων δι' ἀβουλίας ἀπολωλότων, ἀλλὰ τῶν μὲν διὰ δυστυχίας, ὥσπερ οἱ εἰς τοὺς Κίκονας ἐμπεσόντες, ἢ εἰς τὸν Κύκλωπα, ἢ εἰς τοὺς Λαιστρυγόνας, ἢ εἰς τὴν Σκύλλαν· τῶν δὲ δι' ἀβουλίαν, ὥσπερ μόνοι εὑρίσκονται οἱ εἰς τὸν Ἥλιον ἀκουσίως ἀσεβεῖν ἑλόμενοι, τὸν Ὀδυσσέα σαφῶς φᾶναι ὅτι ὑπὲρ τούτων μάλιστα ἐσπούδασεν ὑπὲρ τῶν μὴ ἔξωθεν αἰτίας ἀπολεσθέντων, ἀλλὰ τῶν σωθέντων ἂν, εἰ μὴ ἄφρονες ἦσαν καὶ παραίτιοι αὐτοῖς τοῦ θανάτου· ὡς γὰρ ἑαυτὸν σώζει ἐκ παντὸς τοῦ παρ' ἑαυτῷ ῥυόμενος θανάτου, οὕτως καὶ τοὺς ἑταίρους ἐκ τοῦ παρ' ἑαυτὸν ...... δύναται μόνος σοφὸς ῥύεσθαι, εἰ τὸ παρ' ἑαυτοῖς αἴτιον μὴ πρόφασιν ἐνδοῦναι πείσειεν· ἀθανάτους δὲ οὔτε σοφία ποιῆσαι ἐπάγγελλ. ...... ὁ σοφὸς ...... σώσειεν ἂν θανάτου, ἀλλ' ἐκ μόνου ἄρα τοῦ παρὰ τὴν ἡμέραν αἰτίας ὑφισταμένου, εἰ πεισθεῖεν αὐτῷ οἱ συνόντες· οὐ δὲ γὰρ τοῦ πεῖσαι ἐκ παντὸς κύριος ὁ σοφὸς, πολλὰ ὁ μὲν ἔπαθεν,

ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.

ἐν τοῖς παρ' ἑαυτῷ σωστικοῖς ἔργοις τῶν κινδύνων, ἀλλ' οὐκ ἐν τοῖς μὴ παρ' ἡμᾶς ἀποβαινόντων, καὶ ὁμοίως ἐν τοῖς παρ' ἡμᾶς· αὐτὸς μὲν ἔσωσα ἀρετῇ πειθήμενος (pot. quam *πειθόμενος*) *τοὺς δυνηθέντας ἂν μὴ διὰ τύχην ἔξωθεν τινὰ καθ' εἱμαρμένην ἀποθανεῖν· ἐκ δὲ τῆς παρ' ἑαυτῶν αἰτίας, καίπερ πολλὰ προθυμηθεὶς οὐκ ἔσωσεν· αὐτοὶ γὰρ σφετέρῃσιν .... ἦσαν εἰς τὸν Ἥλιον μόνοι ἀσεβήσαντες· ἔδεισεν οὖν ὅτι τῶν συμβαινόντων, τὰ μὲν παρὰ τύχην καὶ τὴν ἔξωθεν αἰτίαν, ὧν ὁ σοφὸς οὐ κύριος, τὰ δὲ παρ' ἡμᾶς καὶ τὴν ἡμετέρην ὁρμὴν, ὧν ...... οἷός τε ὁ σπουδαῖος· καὶ θανάτου οὖν τοῦ μὲν ἔξωθεν καὶ παρὰ τὴν τύχην, οὔτ' ἐφ' ἑαυτοῦ, οὔτ' ἐπὶ καλοῦ, σπουδαῖος κύριος· τοῦ δὲ παρὰ τὴν ἡμετέραν ...... ἂν ἐκ παντὸς προνοήσεται ὁ σπουδαῖος, καὶ ἐφ'*

ἑαυτοῦ καὶ ἐπὶ τῶν αὐτῷ διαφερόντων· καὶ περιγενόμενος ἀφ' ἑαυτοῦ ἀποτακτήσει τὰ πολλὰ ἐπὶ ἄλλων, ὅταν (inc. est scr.) μὴ τὴν αὐτὴν αὐτῷ τῆς φρονήσεως ἔχωσιν ἕξιν. ἀκουστέον οὖν τὸ

πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θύμον,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.

ἐν δυνατοῖς καὶ παρὰ ἡμᾶς τοῦ θανάτου αἰτίοις, ἀλλ' οὐ μέντοι τοῖς μὴ παρ' ἡμᾶς αἰτίοις· τῶν γὰρ ἐφ' ἡμῖν ὀρεκτικὸς μόνον ὁ σπουδαῖος, καὶ διὰ τοῦτο τῶν ἐξ ἡμῶν αἰτίων θανάτου φυλακτικὸς, ἀλλ' οὐ τῶν ἔξωθεν κατὰ τὴν εἱμαρμένην αἰτίαν ἀποβαινόντων· οὔτε γὰρ πάντων ἀπαξαπλῶς ἔξωθεν αἴτια, οὔτε πάλιν τὸ ἐφ' ἡμῶν· ὧν δὲ κρατεῖ, τὰ ἔξωθεν· καὶ τῶν μὲν θανάτων, οἱ μὲν δι' αἰτίας ἔξωθεν γίνονται, οἱ δὲ δι' ἡμετέρας ἁμαρτίας· καὶ ἐκ τῆς ἀνοίας τῆς ἡμετέρας, ἄρτηνται· ὡς οἵγε πλεῖστοι τῶν διὰ κακίας εἰς κόλασιν ὑπὸ τοῦ νόμου ἐπαγομένων, ἠρτήμενοι ἀπ' αἰτίας τῆς ἐκ τῶν ἑκουσίων ἁμαρτημάτων.

30. Τηλεκλυτὸς] Βαρύνεται ὡς τοξόκλυτος. Omnia hæc in fol. 1. vers. ante textum ullum scripta sunt.

15. Πρὸς τὴν Καλυψὼ Ζεὺς Ὀδυσσέως χάριν πέμπει τὸν Ἑρμῆν Ἀθηνᾶς πεισθεὶς λόγῳ· αὐτὴ δὲ θᾶττον εἰς Ἰθάκην εὐθέως ἥκει, ὡς πρὸς πατρὸς ζήτησιν ἐλθεῖν σπουδάσοι, ἀρχῷ παρεικασθεῖσα Ταφίων Μέντῃ. ἐπιξενωθεῖσα δὲ τῷ Τηλεμάχῳ, Σπάρτην διελθεῖν καὶ Πύλον τούτῳ λέγει, ὡς πατρικὴν ἄφιξιν ἐκ τούτου μάθοι· αὐτῆς δ' ἐκεῖθεν ἐκδραμούσης αὐτίκα Τηλέμαχον πρόσεισι μνηστήρων ὄχλον καὶ πάντας ἄρδην θρασικωτέροις λόγοις εἰς ἀγόρας αὔριον ἡκέναι λέγει.

35. Σημειοῦται Ἀρίσταρχος λέγων τὸν καὶ περιττεύειν, τὸν δὲ ὑπέρμορον οὐ σύνθετον.

38. Ἑρμείαν πέμψαντες. ἐκπέμψαντε, δυϊκῶς γάρ.

40. Sch. ant. man. Ἐντεῦθεν ἐκ τοῦ διηγηματικοῦ μετῆλθεν ἐπὶ τὸ μιμητικὸν, διὸ καὶ ἐπιφέρει, " ὣς ἔφαθ' Ἑρμείας" τὸ δὲ Ἀτρείδαο, οὐ κατὰ τοῦ Ὀρέστου ἀλλὰ κατὰ τοῦ Ἀγαμέμνονος τέτακται.

44. γλαυκῶπις Ἀθήνη] [b] Δέδορκε (inc. scr. v.) τὸ ἄγαν στίλ-

[b] Totum fere hoc Schol. e Porphyr. Quæst. Homer. 9. desumptum est.

βον τῶν ὀφθαλμῶν ἀκουσόμεθα. καὶ γὰρ δράκων παρὰ τὸ δράκειν εἴρηται. "σμερδαλέω δὲ λέοντε" ἐπὶ τῆς ἐκφοβούσης αὖ τῆς ὁράσεως ἐκδεξόμεθα· καὶ γὰρ ὁ λέων παρὰ τὸ λεύσσειν ὠνόμασται. αὐτὸς γὰρ ἡρμήνευσε τί τὸ σμερδάλεον, ἐπ' αὐτῶν εἰπὼν "γλαυ-"κίων" καὶ ἡ ἀσπὶς δὲ τῆς Ἀθηνᾶς διὰ τὴν μαρμαρυγὴν, "δεινή "τε σμερδνή τε·" δεινὸν γὰρ καὶ φοβερὸν τὸ ἄγαν λαμπρὸν καὶ στίλβον. γλαυκιόωντες δὲ οἱ λέοντες καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις ἀπὸ τοῦ γάλακτος, ὅ ἐστι ἄσκιον· καὶ διὰ τοῦτο τὸ λευκὸν ὑπ' αὐτοῦ εἴρηται· μέλαινα γὰρ ἡ σκιὰ, "σκιόωνταί δὲ πᾶσαι αἱ "ἀγυιαί·" ὀξὺ δὲ τὸ λευκὸν, καὶ τὸ μέλαν ἀμβλύ. ἡ οὖν ὀξὺ ὁρῶσα φρόνησις γλαυκῶπις. ἀπὸ δὲ τοῦ γάλακτος καὶ τῆς στιλβηδόνος, γλαυκὴ δὲ καὶ ἡ θάλασσα εἴρηται· καὶ ἡ τοῦ ὀφθαλμοῦ κόρη, γλήνη· ὡς τὸ "ἔρρε κακὴ γλήνη." καὶ τρήγληνα τὰ ἐλλόβια, ἀπὸ τοῦ ἐν λευκότητι ἀποστίλβειν. καὶ ὃς τὰ "γλήνεα "πολλὰ κεχάνδει," τὰ μὴ ῥερυπωμένα ἱμάτια, ἀλλὰ στιλπνὰ διὰ καθαρότητος. καὶ ζοφουμένη θάλασσα "μέλανι[c] δέ τε πόντος" λέγεται. ἀτάραχος γὰρ οὖσα καὶ διειδής· "λευκὴ δὲ ἦν ἀμφὶ "γαλήνην." καὶ γὰρ ἡ γαλήνη ἀπὸ τοῦ γάλακτος εἴρηται· καὶ ἐπεὶ τὸ μέλαν σκυθρωπὸν, τὸ δὲ λευκὸν ἀντίκειται τῷ μέλανι, ἱλαρὸν ἂν εἴη, γέλως δὲ ἡ ἱλαρότης· "γέλασσε δὲ πᾶσα περιχθὼν," φησὶ, "χαλκοῦ ὑπὸ στεροπῆς" τουτέστι λαμπρυνθεῖσα φαιδρὰ ἐγένετο. οὕτω δεῖ νοεῖν καὶ τὸ, "κόρυθες καὶ θώρακες λαμπρὸν "γανόωντες" ἀπὸ τῆς γῆς[d] τῆς λαμπούσης καὶ διὰ τῆς στιλβηδόνος φαιδρυνομένης. καὶ γαίων δὲ τῷ κύδεϊ, ὁ διαχεόμενος καὶ λαμπρυνόμενος διὰ τὴν δόξαν. ἐπεὶ δὲ φῶς ἐστιν ἐπὶ τοῖς ὀφθαλμοῖς, ὅταν μὲν ἥμερον λάμπουσι, φάεα αὐτὰ καλεῖ·

κύσσε δέ μιν κεφαλὴν καὶ ἄμφω φάεα καλὰ

καὶ ὃ μέρος (sic) ζῶον ἄνθρωπος φῶς· ζωῆς δὲ ἔτι μετέχων, ἀπὸ τοῦ ἐν τοῖς ὀφθαλμοῖς φωτός. ὅταν γὰρ ἀποθάνῃ

κατὰ δ' ὄσσε ἐρεβεννὴ νὺξ ἐκάλυψε.

ὅταν γὰρ ἐξαγριωθῶσιν ὑπ' ὀργῆς καὶ ἐκκαυθῶσιν, ἐτὶ μὲν ἀρχόμενος τῆς ὀργῆς "πυρὶ λαμπετόωντι ἐΐκτην." κοητησάσης[e] δὲ

"πῦρ ὀφθαλμοῖσι δέδορκε"

[c] Leg. μελάνει. [d] αὐγῆς Porph. [e] De sec. lit. dubito, leg. vid. κοτησάσης. Porph. κρατούσης.

καὶ γὰρ τὸ φῶς ἀπὸ πυρὸς, καὶ τὸ ὕφαιμον δὲ ὁρᾷν διὰ τὸ πυρὶ ἐοικέναι τὸ αἷμα, σμερδαλέον εἴρηται.

σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ

τούτεστι ὕφαιμον βλέπων διὰ τὸ πυρωποὺς ἔχειν (ἔχει Cod.) τοὺς ὀφθαλμοὺς ἐκ τῆς ἁλός· καὶ ἐπὶ τοῦ πυρὸς δίκην βλεπομένου[f] εἰπών·

μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται

ἐπάγει· "τῶ δέ οἱ ὄσσε λαμπέσθην·" λοιπὸν δὲ καὶ κατὰ φορὰν (leg. μεταφορὰν) σμερδαλέα μὲν τὰ οἰκήματα τοῦ Ἅιδου ἔφη, ἀπὸ τοῦ ὕφαιμα εἶναι καὶ φόνων πλήρη, ἐπὶ τὴν ὄψιν ἀναφέρων· ἐπὶ φωνῆς δὲ λαμπρᾶς καὶ διαφανοῦς·

σμερδαλέον κονάβησε ἀϋσάντων ὑπ' Ἀχαιῶν.

καὶ σφερδὸν[g] βοόων." καὶ γὰρ ἐπ' ὀρχήσεως βηταρμὸν[h] (inc. est scr.) μεταφέρων "μαρμαρυγὴν" ἔφη, "θηῆτο ποδῶν." .... κινήσει στιλβηδόνας ἃς ποιεῖ καὶ τὸ πῦρ κινούμενον· καὶ οὐχὶ φιλόσοφοι πρῶτοι τὸ λευκὸν ἠφορίσαντο τὸ διακριτικὸν ὄψεων, ἀλλὰ .... καὶ διαιρεῖν, ἀφ' οὗ τὸ διακρίνειν· ὅθεν τὸ μὴ μερίζον, ἀλλὰ σκοτεινὸν ἀμαυρόν. καὶ ὅτι ἀπὸ τοῦ μερίζειν καὶ διακρίνειν καὶ διαιρεῖν κέκληται τὸ σκοτεινόν· μαρμαίρειν δὲ δηλοῖ τὸ φῶς δάος κάλεσεν[i] "δάος μετὰ χερσὶν ἔχουσα," ἀφ' οὗ αἱ δεκτικαὶ τοῦ φωτὸς δαΐδες. οὕτως ἐβουλόμην τὰς Ὁμηρικὰς λέξεις καὶ τοὺς ἐξηγητὰς σκοπεῖσθαι, καὶ τῶν τοὺς τοῦτον τὸν τρόπον ἐξηγησαμένους ἀποδέχεσθαι.

49. δυσμόρῳ] Δύσμορον φησὶ τὸν Ὀδυσσέα, ὡς μεγάλα κακὰ παθόντα τῇ πλάνῃ.

Ib. φίλων ἄπο] Ἀντὶ τοῦ ἄποθεν. διὸ ἐγκλίνεται· ὡς τὸ "ἄπο "πλυνοί εἰσι πόλιος."

50. ἀμφιρύτῃ] Τῇ ἀμφοτέρωθεν περιρρεομένῃ.

52. ὀλοόφρονος] Κλεάνθης δασύνει· τοῦ περὶ τῶν ὅλων φρονοῦντος· ἴδιον οὕτως ωθῆναι ἄμεινον δὲ ψιλοῦντας ἀκούειν, τοῦ τὰ ὀλέθρια καὶ δεινὰ φρονήσαντος· εἷς γὰρ τῶν Τιτάνων ὁ Ἄτλας ἱστορεῖται.

ἌΛΛΩΣ. Ὀλέθριος ἐπεὶ πολέμιος—παρὰ τὴν ἀρχαίαν γραφὴν, εἶτά τις μὴ νοήσας προσέθηκε τὸ ~:~· 2ª m.

[f] μαινομένου Porph. [g] Leg. σμερδνόν. [h] Leg. βητάρμονος. συντόνου Porph. [i] καλέσας Porph.

62. *τί νυ οἱ*] Μέση ὀρεῦ μόνη. τὸ τίνυοι. τὰ γὰρ παράλληλα ἐγκλητικὰ, καὶ μάλιστα ὅτι εἰς φωνῆεν λήγοντα προφάσει τῶν β′ βραχείων οὐκ ἐγείρει τὸν τόνον. 1ª m.

τινυοί] Τί αὐτῷ τὸ τοσοῦτον ὠργίσθης ὦ Ζεῦ; 2ª m.

69. *ἀλάωσεν*] Τοῦ λάειν, ὅ ἐστι τοῦ βλέπειν, ἐστέρησε· τὸ δὲ ὀφθαλμ.. κλώπων καθ' Ὅμηρον, ὡς καθ' Ἡσίοδον. φησὶ γοῦν,

πάντα δέ οἱ βλέφαρ' ἄμφι καὶ ὀφρύας.

οὐχ ὡς Θεόκριτος·

οὕνεκά μοι πλατεῖα μὲν ὀφρῦς ἐπὶ παντὶ μετώπῳ

.... οὖν ἦν καθ' Ὅμηρον, τοῦ ἑνὸς αὐτοῦ ὀφθαλμοῦ προτυφλωθέντος.

70. *Ἀντίθεον*] Τοῖς θεοῖς ἑαυτὸν ὁμοιοῦντα, ἢ τὸν θεόμαχον.

Ib. *ὅου*] Παροξυνητέον τὸ οὗ. διήρηται ὡς τὸ "ἕης πέρι γ' "ἐραᾶσθαι." καὶ καθόλου· τὰ μὲν ἄρθρα διαιροῦνται, αἱ δὲ ἀντωνύμιαι πλεονάζουσιν. καὶ τὰ μὲν βαρύνονται· αἱ δὲ ἐπὶ τέλους ἔχουσι τὸν τόνον· οἷον ὅου, ἄρθρον· ἑοῦ, ἀντωνύμια· ἕης ἄρθρον, ἑῆς ἀντωνύμια.

85. *Ὠρυγίην*: ἐν τῇ κατὰ Ἀντίμαχον Ὠγυλίην γράφει· διαφέρουσι δὲ οἱ τόποι. τὴν μὲν γὰρ Ὠγυγίην ἐντὸς εἶναι πρὸς ἑσπέραν, τὴν δὲ Ὠγυλίαν κατὰ Κρήτην. huc usque 1ª m. Ἡσίοδος φησὶ κεῖσθαι τὸν δ' Ὠγύλιον ἠδ' Ὠγύλη νῆατην τὴν δὲ οἱ καυλοὺς καλοῦσιν. 2 m.

124. *ὅττεό σε χρὴ*] Περὶ ὅτου σε χρὴ, τοῦτο λέξεις. Καὶ ἄλλως. Ἐν τῇ κατὰ Ἀριανὸν (leg. Ῥιανὸν) ἄμεινον ἐγέγραπτο ὅττευ σε χρήως. ἀλλαχοῦ, ὅττευ σε χρηΐζων. 2ª m.

136. Ἅπαξ τὸ χέρνιβον—

137. *ἐτάνυσσεν*] Ἐπιμήκεις γὰρ αἱ ἀρχαῖαι τράπεζαι· ξέστην τὴν καλῶς ἐξεσμένην, ὅπερ ἐστι κατεσκευασμένην.

138. *καὶ γὰρ οὐδὲ ποικ. ἐχρ. βρ.*

139. —*ἐπὶ δὲ τῶν ἀσελγῶν παρενήνεον.*

141. *πίνακας*] Τὰς σανίδας. "ἀλλάθ' ὁ μὲν πίνακας νέων·" καὶ "γράψας ἐπὶ πίνακι πυκτῷ."

150. *ἐξ ἔρον ἕντο*] Τὸ ἐξ μετὰ τοῦ ἕντο συντακτέον, ὡς οὕτω λέγεσθαι, ἐξέντο καὶ ἐξέβαλλον ἔρον τῶν βρωμάτων.

165. —διασαφητικὸς γάρ ἐστι ἀντὶ τοῦ ἤπερ.

168. Ἐν δὲ τῷ φῆσιν. ἐν παρολκῇ ἐστιν ἧσιν· διὸ καὶ προπερισπαστέον· ὡς τὸ "δώσει πόλιν Τρωΐον."

174. —ἐκ πλήρους ὁ καὶ—1ª m. οὕτως Ἀρίσταρχος om. sed id. Schol. in adv. marg. script. 2ª m. hæc habet verba.

185. —πρὸς τὸ μὴ καὶ τοὺς ἑταίρους. κατ' ἔνια δὲ τῶν ἀντιγράφων.

186. —Νήριτον καὶ Νήϊτον—κατακείμενον ὕλῃ—ὑπὸ Νηΐτου εἰληλούθαμεν. κατ' ἀντικρὺ Ῥείθρῳ καταρρεόμενον ὑπὸ πολλῶν ὑδάτων, παρὰ τὸ πολλοὺς χειμάρρους ῥεῖν εἰς αὐτὸν ὑπὸ τοῦ Νηρίτου. Νήριτον γὰρ τὸ Νήϊτον τινὲς λέγουσιν· οἱ δέ φασιν, ἕτερον εἶναι τὸ Νήϊτον τοῦ Νηρίτου. Ἀρίσταρχος δέ φησιν Νήϊον παρακεῖσθαι τῷ Ῥείθρῳ, ἀφ' οὗ ἐξῆπτον τὰ πρυμνήσια.

204. δέσματα] Ὡς γράμματα ἐκτέταται, ὥστε ὀνείρατα, προσώπατα. Ἀττικὸν δέ ἐστι τὸ τοῖς οὐδετέροις ἀντὶ ἀρσενικῶν κεχρῆσθαι. 1ª m. γίνεται δὲ ἀπὸ τοῦ δέω δέσματα, ὥσπερ ἀπὸ τοῦ ξέω ξέσματα· δέσματα ὡς γράμματα·

ἀλλ' εἴπερ τε σιδήρια δέσματα ἔχῃσι
φράσσεται ὥς κεν νέηται

κ'ἂν ἔχῃ ἔμφασιν ἡ γραφή. 2ª m.

208. —ἔχει τι εἶδος—ἀντὶ τοῦ τοίως, ὡς νῦν καὶ ἡμεῖς, ἐγὼ καὶ σύ.

215. —ἀπεδήμει παῖς ἦν μάζῳ. αὐτὸς ἀνέγνω—καθόλου ποιεῖσθαι. καὶ γὰρ ἀπῇ ἢ ἐτεθνήκει—προσλαβόντες δεῖτο—κατάλεξαι. πάϊς εἷς· ὅτι μὴ περὶ παρόντος—πρὸς δὲ τὸ παρὰ μητρός. ἔσται οὖν—κἂν οὕτω δὲ λαμβ. περὶ τοῦ ἑαυτοῦ πατρὸς—εἰ εἴη ὁ λεγ. διὰ τὸ σέβας.

Ib. μήτηρ μέν τε με] Ἡ μὲν μεν ἀπόλυτος· ἡ δὲ ἐγὼ ἀντιδιαστολὴν ἔχει πρὸς τὴν μητέρα—ποτ' ἐγενετ' ἀλλ' ὑπονοοῦμεν.

226. —ἡ πολλῶν ἀνδρῶν εὐωχία. 1ª m.

234. νῦν δ' ἑτέρως ἐβούλοντο] Ἤγουν ἐβουλεύσαντο. ὡς τὸ "Τρωσὶ δὴ βούληται."

255. Τὰ ἔπη ταῦτα ἅτινα ἔχει λόγον ἐξαιτοῦμεν. ἀγχιάλλου. τὸ μὲν πρῶτον ζήτημα. ὀφθησομένου χρεία, ἐγὼ δὲ οἴκῳ τῷ ἡμετ.

254. —καὶ τὸ πολλὸν συνάπτηται.

259. Ἄλλως. Ἰάσωνα μὲν τῇ Μηδείᾳ ἐν Ἐφύρᾳ τῆς Θεσπρωτίας, ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος, διὰ φαρμάκων ἐστὶν ἐνπείρα.

262. —χριστοῖς χρῆσθαι βέλεσιν—ἐν τῇ Δολονίᾳ—κιχρᾶται τόξον—τῶν χριστῶν ἰῶν.

279. αἴκε πίθηαι] Ἐν τῇ κατὰ Ἀριανὸν (leg. Ῥιανὸν) οὐκ ἦν πειθήσῃ ὁ στίχος. super lin. scr. 2 man.

284. Οὐκ ἀποδέχονται τινὲς τῆς Ἀθηνᾶς τὴν ὑποθήκην ἐκπεμπούσης Τηλέμαχον, ὅτε ἦν ἐν μεγίστοις κινδύνοις ἡ οἰκία, πρὸς τὴν ἄπρακτον ζήτησιν τοῦ πατρὸς, τῶν μνηστήρων ἑτοίμων ὄντων καὶ βίαν προσφέρειν τῇ Πηνελόπῃ διὰ τὴν πολυχρόνιον μνηστείαν, τῆς δὲ οἰκίας οὐκ ἐχούσης τὸν προϊστάμενον ἄνδρα· καὶ ὅμως ὑπ᾽ αἰτίας οὔσης τῆς συμβουλῆς, οὐκ ὀκνεῖ ἡ Ἀθηνᾶ λέγειν·

σοὶ δ᾽ αὐτῷ πυκνῶς ὑποθήσομαι αἴ κε πίθηαι,

ἐπαινοῦσαν ὡς σοφὴν τὴν τοιαύτην παραίνεσιν. ἢ δεικτέον τὸ σοφὸν τῆς εἰς ἀποδημίαν ἀποστολῆς. ἢ ἀλόγου οὔσης ὑποθήκης, ἄτοπος ὁ τοιαῦτα θεοῖς ἀνατεθεὶς νοήματα· φαίνεται τοίνυν Ὅμηρος ἀδύνατον νομίσαι ἄνδρα ὑπὸ γυναικὶ τεθραμμένον, εἰ καὶ σωφρονεστάτη εἴη· καὶ ἐν οἴκῳ κατακεκλιμένον πλήθει ὑβριστῶν ἀνθρώπων, ἐν θεραπαίνισι τὲ ἀσελγέσιν ἐναυξόμενον, καὶ νήσῳ μικροπρεπεῖ καὶ ἀβασιλεύτῳ πολὺν χρόνον, κινδύνων τε ξενικῶν μὴ εἰληφότα πεῖραν· μὴ δὲ μετασχόντα ἀνδρῶν καὶ ἀγωνιάσαντα. ἐν ὅσοις ἀδημονίαις γέγονε Τηλέμαχος προσιέναι μέλλων Νέστορί τε καὶ Μενελάῳ καὶ Ἑλένῃ· φαίνεται οὖν μήτοι ἂν δυνηθῆναι νομίσαι ἀρετῆς ἄλλως τέ πως μετασχεῖν· διὸ πρόφασιν μὲν ἔχει ἡ ἀποδημία περὶ ἐξετάσεως τοῦ πατρός· σκόπος δέ ἐστι τῇ συμβουλεούσῃ Ἀθηνᾷ, παίδευσις ἀφ᾽ ἧς ἤμελλεν ἔσεσθαι ὃ προὔθετο μάλιστα ἡ θεός· καὶ ἐρεῖ

πέμψω δ᾽ ἐς Σπάρτην τὲ παρὰ ξανθὸν Μενέλαον

καὶ ἐς Πύλον ἠμαθόεντα

νόστον πευσόμενον πατρὸς φίλου ἤν που ἀκούσῃ·
ἠδ᾽ ἵνα μιν κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἔχῃσιν.

εἰ μὲν ἡ πρόφασις ἐξέτασιν (ἐξέτου, ii super ου) εἶχε πατρὸς ἐπανόδου, σκόπος δ᾽ ἦν ταύτης παίδευσις, ἀφ᾽ ἧς τὸ κλέος ἐν ἀνθρώποισι γίνετο, εἴη θείη ἡ παραίνεσις καὶ τῇ Ἀθηνᾷ πρέπουσα. μένων δ᾽ ἐν Ἰθάκῃ

ἀπαίδευτος, ἢ τῶν μνηστήρων εἴχετο, καὶ προὔδωκεν ἂν τὸν οἶκον, ἢ ἐπιτιθέμενος αὐτὸς ἀπώλετο ἄν, μόλις τοῦ Ὀδυσσέως δι' ὑπερβολὴν φρονήσεως καὶ ἐμπειρίας δυνηθέντος αὐτοῖς δολιῶς ἐπιθέσθαι· ἄξιός τε οὐκ ἂν τοῦ πατρὸς ἐγένετο· μὴ τοίνυν παρὰ τῶν συστρασευσάντων πυθόμενος περὶ τῶν ἐκείνου πράξεων· διὸ καὶ συνεῖναι αὐτῷ ἐλθόντι κωλυόμενος πεπαίδευται ἤδη, καὶ οἶδε πως προσενεχθῇ τῷ πατρί, ἀφ' ὧν ἀκήκοε περὶ αὐτοῦ διηγημάτων. τόν τε περὶ τῆς μητρὸς φόβον καὶ ὅλως τῶν περὶ τοῦ οἴκου· τὸ μέντοι ἡ Πενελόπη ἐξέλυσεν ἱκανὴ οὖσα περιγένεσθαι τῷ φρονήματι τῆς τῶν μνηστήρων ἀνοίας· τὸ δέ τι καὶ ἡ Ἀθηνᾶ ἠσφάλισται, τὸν δῆμον ἐπαναστῆναι συμβουλεύσασα καὶ τῶν μνηστήρων διὰ τῆς κατὰ τὴν ἐκκλησίαν ὧν δρῶσιν εἰς τὴν οἰκίαν μηνύσεως,

ἐξ οὗ ὁ γὰρ Ὀδυσσεὺς δῖος ἔβη κοιλῆς ἐνὶ νηυσὶν
οὐδέποθ' ἡμετέρη ἀγορὴ γένετο οὐδὲ θόωκος.

ὥστε πῶς ἔλαβε τὸ μέγεθος τῆς τῶν μνηστήρων ἀδικίας, καὶ δημηγορήσαντος Τηλεμάχου, τοσαύτη ἐπιστροφὴ γίνεται, ὥστε ὡς οἶκτος νῦν κληδόνα, τουτέστι κλέος καὶ δόξαν· πρῶτα μὲν ἐς Πύλον πέμπει αὐτὸν παιδευθησόμενον ἐπεὶ διὰ πατέρα ἀπεδήμησεν.

. . . . δ' ἕλε λαὸν ἅπαντα

καὶ φοβηθέντας τοὺς μνηστῆρας λέγειν·

Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπας
ἡμέας αἰσχύνων, ἐθέλεις δὲ καὶ μῶμον ἄναψαι.

καὶ ἄλλους δ' ἐπὶ τῆς ἐκκλησίας φάναι·

πολλοῖσι δὲ καὶ ἄλλοισι κακὸν ἔσται
οἱ νεμόμεσθ' Ἰθάκην εὐδείελον, ἀλλὰ πολὺ πρὶν
φραζόμεθα, ὥς κεν καταπαύσωμεν, ἠδὲ καὶ αὐτοὶ
πανέσθων· καὶ γάρ σφιν ἄφαρ τόδε λώϊόν ἐστι·

ἡ δὲ πρόφασις ἐν τῇ ἐκκλησίᾳ ῥηθεῖσα τῆς ἀποδημίας οὐδὲν καινοτομεῖ· τί γάρ φησιν;

ταῦτα μὲν οὐδ' ὑμέας ἔτι λίσσομαι οὐδ' ἀγορεύω·
ἤδη γὰρ τάγ' ἴσασι θεοὶ καὶ πάντες Ἀχαιοί,
ἀλλ' ἄγε μοι δότε νῆα θοήν.

καὶ εἰπὼν τὴν αἰτίαν δι' ἣν ἀποπλεῖν μέλλει, ἐπάγει·

εἰ μέν κεν πατρὸς βίοτον καὶ νόστον ἀκούσω·
ἦ τ' ἂν τρυχόμενός περ ἔτι τλαίην εἰς ἐνιαυτὸν

καὶ τὰ ἑξῆς. οὕτως τοίνυν ἡ ὑπόθεσις ὡς καὶ αὐτῶν ἐπὶ συμφέροντι γενομένης τῆς ἀποδημίας πεπεῖσθαι δοκούντων, ὅτι τέθνηκε. καὶ πρῶτα μὲν ὅτι οὐκ ἀποδημήσειε ἐλπιζόντων· ἔπειτα δ' εἰ καὶ ἐκτελεύσειε τὴν ὁδὸν, ὅτι πεισθήσεται ὅτι τέθνηκεν αὐτῷ ὁ πατὴρ, πεισθεὶς δὲ τὴν μητέρα ἐκδόσσει (sic) μηδὲν ἐγχειρεῖν ἐποίει τῶν ἀτόπων εἰς τὸν οἶκον· ἔπειτα δ' οὐκ ἦν σκοπὸς βιάσασθαι τὸν γάμον· οἱ γὰρ ἄλλοι ἠμύναντ' ἂν τὸν βεβιασμένον· ἀλλ' ἀποκριθῆναι ὑπὸ τῆς μνηστευμένης τῶν γονέων αὐτὸς ἕκαστος ἠξίου, ἵν' οὕτως οἱ λοιποὶ παύσωνται τῆς μνηστείας. πολὺν δὲ χρόνον ἡ ἀποδημία λανθάνει τοὺς μνηστῆρας· αἰσθάνονται γὰρ ὁπηνίκα Νοήμων ὁ τὴν ναῦν χρήσας Τηλεμάχῳ πάρεστι ἐρωτῶν αὐτοὺς περὶ τῆς ἐκείνου ἀπουσίας, καὶ φοβερὸς αὐτοῖς μᾶλλον ἀποδημήσας γίνεται, ὡς βουλεύσασθαι περὶ τῶν καθ' ἑαυτοὺς, ἢ περὶ τοῦ γάμου. ὥστε καὶ περιέσπασε μᾶλλον ἡ ἀποδημία εἰς ἄλλα ἀπὸ τῆς κατὰ Πηνελόπην βίας, ἐξεῖλε δὲ καὶ αὐτὸν ἀπὸ τῶν κινδύνων, οὓς πολλάκις ἂν ὑπέστη μετ' αὐτῶν πάντα χρόνον διατρίβων. ὡς γὰρ τὰ τελευταῖα, ὅτε ἐπανήγει τε καὶ ἐπανῆλθεν, ἐπιβουλεύοντες διετέλουν· οὕτως ἂν παρόντι καθ' ἡμέραν τὴν πεῖραν προσλαβόντες ἔδρασαν ἄν τι τῶν ἀνηκέστων. διὰ πάντων οὖν φαίνεται ἡ ἀποδημία ἀναγκαῖα, καὶ κρείττων, καὶ πολλῷ ἀσφαλεστέρα τῆς ἐν Ἰθάκῃ ἐκδιηγήτου μετὰ τῶν μνηστηρῶν διατριβῆς· τὸ γὰρ λέγειν ὅτι ἵνα ἐντύχῃ τῷ πατρὶ καὶ τοὺς ἀγροὺς (sic) διὰ τοῦτο αὐτὸν ἡ Ἀθηνᾶ ἀποδημῆσαι πεποίηκε, ψεῦδος· καὶ γὰρ καὶ μὴ ἀποδημήσας, ὑπερόριος· ἐν δὲ τοῖς ἀγροῖς γενόμενος ἐνέτυχεν ἂν τῷ πατρί· καὶ οὐχ ἵνα ἐντύχῃ τῷ Ὀδυσσεῖ ἀποδημῆσαι αὐτὸν πεποίηκεν ἡ Ἀθηνᾶ, ἀλλὰ μᾶλλον ἐκ τῆς ἀποδημίας διὰ τοῦτο θᾶττον εἰς τὴν πατρίδα ἐπανήγαγεν. 2ª man. apparent subter vestigia ant. script.

275. Δεῖ ὑποστίζειν εἰς τὸ μήτηρ[b] δὲ, καὶ μιμεῖσθαι τὸν διασκεπτόμενον.

291. χεῦσαι] In marg. γρ. χεῦσαι. Al. loc. γρ. δὲ οὕτως χεῦσαι καὶ κτερεΐξαι, ἀπαρέμφατα δεχόμενα τὸ προαιρετικὸν ῥῆμα ἀπάξω, θέλησόν τι ποιῆσαι χεῦσαι, καὶ θέλησόν τι ποιῆσαι κτερεΐξαι, καὶ ἄλλως τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ.

[b] Cod. μητέρα potius.

300. ὑπὸ παιδὸς μόρον.

312. Ἀντὶ τοῦ δοθήσεται παρ' ἐμοῦ· καὶ οἱ ξένοι παρεῖχον ὡς Βελλεροφόντης Οἰνεῖ τὸ δέπας.

320. Ad ἀνόπαια post ἐναλίγκιος—ἡ ἅρπη εἰκυῖα, εἶδος ὀρνέου· ἢ διὰ τῆς ὀπῆς· ἢ ἀόρατος διὰ τὸ ὡς ὄρνις ταχέως ὁρμῆσαι· καὶ Ἀρίσταρχός φησιν ὄνομα ὀρνέου· ἢ ἀνόπαια, ὡς φήνη εἰδομένη. ἐνιοὶ δὲ ἀνὰ τοὺς ὦπας, ὅ ἐστι τοὺς ὀφθαλμούς.

325. Οὗτος δὲ Χαριάδου (sic lego, sed valde indistincta est script.) ἀδελφὸς ἦν τῆς Κλυταιμνήστρας ᾠδοῦ συν..πό... (συνεπόμενος) ἀπὸ Λακεδαίμονος Πηνελόπῃ.

327. ἐπετείλατο] Καὶ ἄλλως ἐπετείλατο· ταῦτα δὲ οἶδε νουθετῶν τοὺς μνηστῆρας ἐκ τῶν περὶ Κασάνδρας (κασάδρας) καὶ Αἴαντος μὴ ὀρέγεσθαι ἀσεβῶν γάμων.

329. Μήτηρ Πηνελόπης Ἀστεροδία, ἀδελφοὶ δὲ Πολύμηλος, Ἀμασικλος, καὶ Λαοδίκη ἀδελφὴ αὐτῆς.

330. —πρὸς βεβ. ἐραστὰς—τὸν ᾠδόν.

333. Αἰτιᾶται ἐκ τῶν ἐπῶν τούτων Δικαίαρχος[c] τὴν παρ' Ὁμήρῳ Πηνελόπην

ἡδ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο
ἄντα παρειάων

καὶ τὰ ἑξῆς. οὐδαμῶς γὰρ εὔτακτον εἶναί φησι τὴν Πηνελόπην πρῶτα μὲν ὅτι πρὸς ... θύραν τῆς αὐλῆς παραγίνεται νεανίσκοις, ἔπειτα τῷ κρηδέμνῳ τὰ κάλλιστα μέρη τοῦ προσώπου καλύψασα, τοὺς ὀφθαλμοὺς μόνους ἀπολε[ίπει][d] θεωρεῖσθαι. περίεργος γὰρ ἡ τοιαύτη σχηματοποιΐα, καὶ προσποίητος, ἥτε παράστασις τῶν θεραπαινίδων ἑκάτερθεν εἰς τὸ κατεξοχὴν φαίνεσθαι καλὴν, οὐκ ἀνεπιτήδευτον δείκνυσι. φαμὲν οὖν ὅτι τὸ καθόλου ἔθος ἀγνοεῖν ἔοικεν ὁ Δικαίαρχος. σύνηθες[e] γὰρ παρὰ τοῖς ἀρχαίοις ὥστε τὰς ἐλευθέρας γυναῖκας εἰς τὰ τῶν ἀνδρῶν εἰσιέναι συμπόσια. μαρτυρία τε τούτων, ἥ τε παρὰ τοῖς Φαίαξιν Ἀρήτη συνευωχουμένη τοῖς τοσούτοις κεκλημένοις εἰς τὸν γάμον δαιτυμόσι, καὶ Ἑλένη συν-

[c] Haud dubie ἐν Ἑλλήνων βίῳ. Habet hoc Scholium et Cod. Paris. 2404. [d] ἀπολε... Cod. [e] σύνη Cod.

εσθιομένη νέοις ἐξελθοῦσι ξένοις περὶ τὸν Τηλέμαχον, σαφῶς ἐδήλωσεν ὅτι παρθένοις μόνον ἦν αἶσχρον,

> ἥτε ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
> ἄνδρασι μισγῆται πρίν γ' ἀμφαδὸν γάμον ἐλθεῖν·

ταῖς δὲ γαμηθείσαις μὴ εἶναι αἶσχρον. ἔθους οὖν ὄντος ταῖς γεγαμημέναις ἀναμίγνυσθαι τοῖς ἄνδρασι καὶ φαίνεσθαι ἐν τοῖς ... συμποσίοις ......[f] ἄτοπον ἐλθεῖν τὴν Πηνελόπην, ἵνα παύσῃ τὸν ᾠδὸν, "ὃς Ἀχαιων νόστον ἄειδε λυγρόν." τὸ ταυτουργεῖν ἐλευθερίαν μάλιστα εἶναι ἐδόκει τοῖς παλαιοῖς, ὡς καὶ ἐπὶ πλύνους μὴ ὄνειδος εἶναι τὰς τῶν βασιλέων ἀπιέναι θυγατέρας, καὶ εἰς ὑδροφορίαν καί τινας τοιαύτας ἰσοδουλικὰς τὰς νῦν ἀποβεβλημένας διακονίας τῇδε. καὶ τὸ παῦσαι ἄλλως οὐκ ἐνῆν τὸν ᾠδὸν μὴ αὐτῇ δεηθείσῃ καὶ μετὰ δακρύων ἱκετευούσῃ, οὐ γὰρ ἔπεισεν ἂν, δι' ἀγγέλων τοῦτο κελεύουσα· ὥστε ἡ μὲν παρουσία ἐκ τούτων οὐκ ἄτοπος[g] ἀλλὰ καὶ σωφροσύνην ἐμφαίνουσα· ἀεὶ γὰρ ἐβούλετο ὑπόμνησιν ποιεῖν τοῖς μνηστῆρσιν ὥσπερ[h] γνώμην αὐτῆς ἡ μνηστεία καὶ ὁ γάμος ἀπεχθὴς, ἡ δὲ τοῦ ἀνδρὸς μνήμη ἀνεξάλειπτος· τὰ γὰρ τῆς ἐπιβουλῆς οὐχ ἡ κλίμαξ ἡ ἄχρι τοῦ ὑπερώου διεῖργεν, ἀλλ' ἕκαστος τῶν μνηστήρων αὐτὸς κριθήσεσθαι νυμφίος ὑπολαμβάνων, ἐκώλυε τὸν πέλας βιαιόν τι δρᾶν· ἵνα τῶν προκειμένων μὲν αὐτὸς μὴ σφαλῇ, ἐπιεικῆ δὲ πρὸς ἐκείνην ἐπιδείκνυσιν, ἵνα προκριθῇ· ὁ γὰρ σκοπὸς ἦν, οὐ τὴν Πηνελόπην ὑβρίσαι, ἀλλὰ νόμῳ λαβεῖν γυναῖκα, καὶ κύριον ἁπάντων γενέσθαι τῶν ἐκείνης. πάντες οὖν πάντας διὰ τὴν αἰτίαν φυλάξειν ἔμελλον· τὸ δὲ

> ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα

οὐκ ἔτι τὸ αὐτὸ τῷ,

> αὐτίκα δ' ἀργεννῆσι καλυψαμένη ὀθόνῃσι
> ὡρμᾶτο·

τὸ δὲ κρήδεμνον οὐκ ἦν προσώπου περίβλημα ἀλλὰ κεφαλῆς, ὥς που φησὶ,

> κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων,
> καλῷ, νηγατέῳ. λευκὸν δ' ἦν ἠέλιος ὥς.

ὡς οὖν τὴν ἀπὸ τῆς κεφαλῆς καλύπτραν, ἣν κρήδεμνον ἔφη, ταῖς

[f] Leg. οὐκ ἔστιν. [g] ἀτο. Cod. [h] Leg. ὡς παρὰ.

χερσὶν ἐφελκυσαμένη τὰ δάκρυα ἀποκαλύπτειν ἐβούλετο· καὶ ἀποψᾶν τῷ κρηδέμνῳ τὰ δάκρυα· τὸ οὖν

ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα

οὐ τὴν περιβάλλουσαν δηλοῖ τὴν κεφαλὴν καὶ τὰς παρείας, μόνους τοὺς ὀφθαλμοὺς δεικνῦσαν (sic), ἀλλὰ τὴν ἐφελκύσασαν ἀπὸ τῆς κεφαλῆς τὸ κρήδεμνον, καὶ γυμνώσασαν μὲν τὴν κεφαλὴν, καὶ τὸ πρόσωπον δείξασαν· κρατοῦσαν δὲ ἐν ταῖς χερσὶ πρὸ τῶν παρειῶν τὰ δάκρυα· ὥσπερ ὁ Τηλέμαχος δακρύων τὴν χλαῖναν πρὸ τῶν ὀφθαλμῶν ἀνίσχει· διόπερ ἡ μὲν σχομένη εἴρηται ὅτι ἑλκύσασα πρὸ τῶν ὀφθαλμῶν εἶχεν· ὁ δὲ ἀνασχεῖν, ὅτι κάτωθεν ἐπάρας πρὸ τῶν ὀφθαλμῶν ἐποίησεν. εἰ καὶ καλύπτει τὴν κεφαλὴν καὶ τὸ πρόσωπον αἰδουμένη κλαίειν ἐπὶ τῶν παρόντων, τοῦτο ποιεῖ οὐχ ἑταιριζούσης διὰ τῆς ἐπιτηδευτῆς· καὶ Ὀδυσσεὺς,

πορφύρεον μεγά φάρος ἑλὼν χερσὶ στιβαρῇσι
κακκεφαλῆς εἴρυσε, κάλυψε δὲ καλὰ πρόσωπα·
αἴδετο γὰρ Φαίηκας ὑπ' ὀφρύσι δάκρυα λείβων.

παυσομένου μὲν τοῦ ᾠδοῦ

δάκρυ' ὀμορξάμενος, κεφαλῆς ἀπὸ φάρος ἕλεσκεν·
αὐτὰρ ὅτ' ἂψ ἄρχοιτο καὶ ὀτρύνειαν ἀείδειν
ἂψ Ὀδυσσεὺς καλυψάμενος γοάεσκεν.

εἰ δὴ Ὀδυσσεὺς ἀνὴρ ὢν ᾐδεῖτο κλαίων φαίνεσθαι ἐν συμποσίῳ, καὶ κεφαλὴν ἐκάλυπτε καὶ τὸ πρόσωπον, πῶς οὐκέτι μᾶλλον ἡ παρὰ αὐτῷ παίδευσις[g]

αἰσχύνη ἐπὶ ἀνδρῶν οὐ σφόδρα καθεστηκότων. ἥτε τῶν θεραπαινίδων κατάστασις ἦν μὲν ἐξ ἔθους ταῖς παλαιαῖς. ἐξαίρει δὲ τὴν Πηνελόπην τῆς βλασφημίας ἡ προσθήκη· οὐ γὰρ ἐξ ἐκείνων ἕπονται τῶν μεγίστων αἱ πᾶσαι ἀναιδείης ἐπέβησαν· ἀλλ' ἀμφίπολος αὕτη κεδνὴ ἑκάτερθεν παρέστη, τουτέστι σώφρων· τῇ οὖν περὶ τὰς θεραπαινίδας κοσμιότητι τὸ τῆς Πηνελόπης εἶδος διασαφεῖται.

337. οἶδας] Τὸ οἶδας οὐκ ἐχρήσατο ὁ ποιητὴς, Ζηνόδοτος γράφει εἴδεις, καὶ Ἀρίσταρχος οὐ δυσχεραίνει τῇ γραφῇ. ἐν οὐδενὶ γὰρ τῶν ποιήσεων ἐχρήσατο τῷ οἶδας. διὸ καὶ σημειωτέον[h] τὸν στίχον.

[g] Nullum hic in Cod. finis Schol. indicium, sed vacuum spatium dimid. lin. [h] σημειοτέον Cod.

340. ἀοιδῆς] Τῆς τῶν Ἀχαιῶν ὑποστροφῆς καὶ τῆς τοῦ Ὀδυσσέως πλάνης· Ἀρίσταρχος μέν. 2ª man. sup. lin.

354. ἀτόπως cum omn. Codd.

356. —καὶ πάλιν "ἡ μὲν θαμβήσασα πάλιν"—ἀγνοοῦντες ὡς ληρῶδες—προστάσασθαι—μὲν om. in text. superscr. ἀθετοῦνται ἐνταῦθα· εἰσὶ δὲ τοῦ Ἕκτορος καλῶς ἐν τῇ Ζ τῆς Ἰλιάδος.

357. ἱστόν τε] Ἐπὶ τοῦ Ἕκτορος εὐπρεπῶς εἶχον οἱ στίχοι πρὸς Ἀνδρομάχην καὶ ἐν τῇ τοξείᾳ τῶν μνηστήρων· τινὲς οὖν ἀθετοῦσιν· ἐν δὲ ταῖς χαριεστέραις γραφαῖς οὐκ ἦσαν.

360. —ὅτι οὐ χρὴ εἰς τὴν cum edd.

375. ἀμειβόμενοι] Εὐχόμενοι κατὰ διαδοχὰς ἀλλήλων.

389. —Διός γε διδόντος εὑρέσθαι—εὔχεται ᾧ πέρ τι παραστῆσαι—τὸ τοῦτο δεικτικὸν καὶ ἐπὶ τὸ προειρήμενον ὑπὸ Ἀντινόου ἀναφέρεται, ἀλλ' ὅτι ἡ περίοδος ἀνέστραπται—οὐ μὴν γὰρ—τιμιέστερος—ἦ σύγε τοῦτο νενόμικας ἐν ἀνθρώποισι κάκιστον τετύχθαι, οὐδὲν ἦν ἄτοπον· οὕτω καὶ νῦν τούτων ἐχόντων τὸν τρόπον τῶν ἐπῶν, ἀνεστραμμένης τῆς περιόδου ἀκουστέον·

καί κεν τοῦτο θέλοιμι Διός γε διδόντος ἔσεσθαι·
ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;

ἐπεὶ γὰρ ὡς ἐν εὐχῇ προήγαγεν τὸν λόγον Ἀντίνους (sic)

μὴ σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων
ποιήσειεν

ἀπευχόμενοι διὰ τὸ μίσος τὴν τεύξιν τῆς ἀρχῆς. Τηλέμαχος δὲ οὐχ ὡς ἐχθροῦ προσποιεῖται τὴν ἀπευχὴν τοῦ ἀγαθοῦ, ἀλλ' ὡς φίλου ὄντος ἀπευχὴν τινὸς κακοῦ. οὐκ ἐλέγχων ὅτι ἐξ ἀπεχθείας πεποίηται τὴν τοῦ ἀγαθοῦ ἀπευχὴν ὁ Ἀντίνους, προσποιούμενος δὲ ὡς ἀπὸ φίλου γενέσθαι κακοῦ παραίτησιν, δι' εὐχῆς διορθοῦσθαι προσποιεῖται. ὅτι δὲ μὴν τοῦτο θέλει "Διός γε διδόντος ἀρέσθαι," τὸ βασιλεῦσαι δηλονότι, ὅ σύ μοι ἀπηύξω κηδόμενος ἴσως ἐμοῦ· ἐπερωτᾷ δὲ,

ἦ φῂς τοῦτο κάκιστον ἐν ἀνθρώποισι τετύχθαι;

καὶ ἐπάγει, καὶ μὴν οὐκέτι κακόν·

οὐ μὲν γάρ τι κακὸν βασιλευέμεν.

διατί; αἶψα—

Ἀχαιῶν εἰσὶ καὶ ἄλλοι
πολλοὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέοι ἠδὲ παλαιοί,
τῶν κέν τις τόδ' ἔχῃσιν, ἐπεὶ θάνε δῖος Ὀδυσσεὺς

κτημάτων ἐξ ὧν—ὀφειλόντων κυρίον εἶναι ὧν δέδωκε—ἀνεστραμμένης προσενήνεκται—μὴ κατέχειν αὐτὸν τιμῆς—ὅτι βουλόμενος βασιλεύειν εἰ διδ. οἱ θ. ἐπεὶ εἰσίν.

394. βασιλεύειν ἔχει cum edd.—βοηθήσῃ.

409. τὸ τόδε ἀντὶ τοῦ τῇδε, ὅ ἐστι ἐνταῦθα ἀντὶ τοῦ αὐτόθι.

413. εἴ τι ἀγγείλῃ—ἄν τις.

416. πεποίθεσθαι cum cætt. Codd.

424. ἐν δὲ τῇ ἀργολογικῇ—sic et Cod. Paris. 2404.

442. τὸ λεγ. ὑφ' ἡμῶν—νῦν οὖν—

443. τῷ ἄνθει τῆς οἰὸς, ὅ ἐστι τῇ σισύρᾳ, ἤγουν τῷ ἐξ ἁπαλῶν ἐρίων γεγονότι περιβολαίῳ.

B.

In ὑποθέσει post ἠλ. δύναντος add. περὶ τοῦ μὴ εἶναι εἱμαρμένην καὶ τύχην καὶ γένεσιν κατὰ τοὺς ἄφρενας Ἑλλήνας, καὶ αὐτὸς ὁ μέγιστος ποιητὴς αὐτῶν Ὅμηρος μάρτυς. πεποίηται γὰρ οὕτως ἐν τοῖς ἔπεσιν αὐτοῦ ὁ Ζεὺς διαλεγόμενος πρὸς τοὺς ὁμοίους αὐτῷ δαίμονας περὶ τῆς Αἰγίσθου μοιχείας, καὶ τῆς ἐπὶ τῷδε ποινῆς·

ὢ πόποι οἷον δή νυ θεοὺς αἰτιόωνται,
ἐξ ἡμέων γάρ φασι

καὶ τὰ ἑξῆς. ἕως τοῦ "ἄλγε' ἔχουσιν—quæ ad A. vv. 32–35. spectant. dein, Ἄλλη ὑπόθεσις. ἅμα ἕω Τηλέμαχος.

V. 1. ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο
ὤρνυθ' ἵν' ἀθανάτοισι φόως φέρει ἠδὲ βροτοῖσι—

ἠὼς μὲν κροκόπεπλος ἐσκίδνατο—

ἐριβόλακος ἦλθον ἀμοιβὴ, τότε Ζεὺς ὦρσε μάχεσθαι—καὶ τὸν τρόπον—οὐ γάρ πη ἴδμεν—ἀνεῖται. ὁ σοκράτης.

3. —ὀρφανίᾳ—προϊὼν εἰς ἐκκλησίαν, μαλακὸν γάρ φησιν.

5. βῆ δ' ἴμεν] Διὰ τοῦτο φοβερὸς μέν ἐστι τοῖς ἐχθροῖς, προσφιλὴς δὲ τοῖς πολίταις.

10. ὡς κυναγός. ἔσχε καὶ ἐν τῇ χλ.

14. θώκῳ] Τοῦτον οἱ Ἀττικοὶ θάκον λέγουσιν. 2ª m. super lin.

Ib. γέροντες] Γέροντας νῦν τοὺς πρεσβύτας ἀκουστέον, ὧν ἂν εἴη καὶ ὁ διαλεγόμενος νεός.

15. τόλμης εἰ ποιεῖν—τῇ εὐπουσίᾳ, τοῦ δὲ τῇ ἀταξίᾳ—τῷ δημ. ὁ Τηλέμαχος οὐκ ἐπήρτηται—τὸ ἠθικὸν—

20. ἢ ἐπιφονέων—μάρτυς ἐστι λέγων—hæc in adv. fol. exscr. ubi text. incertus est, sed in alio Schol. scr. ἐπιφανῶς.

22. δύο δ' αἰὲν ἔχον] Διχῶς Ἀρίσταρχος "δύο δ' ἄλλοι ἔχον" καὶ "δύο δ' αἰὲν ἔχον."

25. ἀλλ' οὐδ' ὧς—περισπαστέον τὸ ὧς.

26. οὔτέ ποθ'] Ἀρίσταρχος οὔτε πέπτωκας· τοῦτο δὲ εἰς ἀναρχίαν, ὅθεν καὶ ἐθρασύνθη τὰ μειράκια, μηδενὸς ἐπιπλήσσοντος ἐκείνους.

31. Ἄλλως. τὸ ὅτε ἀντὶ τοῦ ἡνίκα· κρεῖττον τὸ ὅστις. 2ª m. et sup. lin. ὅστις ἐπίρρημα ἀντὶ τοῦ ἡνίκα.

50. ἄνδρες φίλοι υἷες] καὶ μὴν ιβ' μόνοι ἦσαν ἀπὸ τῆς Ἰθάκης—οὓς δεῖ συλλαμβάνεσθαι μᾶλλον τῷ ποιητῇ βιαζομένῳ, ἄλλως τε καὶ τῶν ἄλλων μείζονες ἦσαν, ὡς αὐτὸς φησὶ

ἐκ δ' αὐτοῖς Ἰθάκης δύο καὶ δέκα πάντες ἄριστοι·

ἴδιον οὖν τὸ ἀδίκημα ἐποίησεν, εἰ καὶ τῶν ἄλλων τούτοις ἀκολουθησάντων, ὡς ἂν ἡγεμόσι καὶ ἀριστέων πᾶσιν[i]. ἐν πᾶσι γὰρ τὸ ἡγεμονικὸν ὀλιγώτερον τῶν ἀρχομένων, καὶ τῷ ἡγεμονοῦντι κἂν ὀλιγοστὸν ᾖ, πείθεται τὸ ἡγεμονούμενον πλῆθος. Καὶ ἄλλως—Ἀριστοφάνης προστίθησιν·

ἄλλοι θ' οἳ νήσοισιν ἐπικρατέουσιν ἄριστοι
Δουλιχίῳ τε Σάμῳ τε καὶ ὑλίεντι Ζακύνθῳ,

199. περισχόμεθ'] Περιεσώσαμεν, ἐφυλάξαμεν.

200. ἀζόμενοι] Σεβόμενοι, ἐντρεπόμενοι διὰ τὸ εἶναι ἱερέα Ἀπόλλωνος.

202. ἀκολούθως τῷ οἴνῳ καὶ εἰκότως τὰ ἑπτὰ τάλαντα τοῦ εὐεργέος χρυσοῦ φιάλαι τινὲς ἦσαν καὶ ἱερὰ πώματα.

205. ἀκηράσιον] Ἤτοι καλὸν καὶ ἀδιάφθαρτον, ἢ ἀκέραιον, ἄκρατον, καθαρώτατον.

209. πῶς ὁ τηλικοῦτος.

211. διὸ καίπερ ὕδωρ ἔχων— οὐδὲ σοὶ φησὶ τῷ πάντων ἡδύτατον κεκτημένῳ οἶνον, ὦ Ἀλκίνοε.

219. πλεκτοὶ καλαθίσκοι—ψυγοί—ψύγεται. εἰσὶ δὲ ἀγγεῖα—ξηρᾶναι—ἄνω ἰδίως—προτάξας—ψιλωτέον τὸ ἔρχατο. ἀπὸ γὰρ τοῦ ἐστὶ κατὰ Ἰωνικὸν ὑπερσυντελικὸν παθητικῶς γενόμενον. μέτασσαι gl. superl. μεσήλικες.

228. ἔδει μὲν πεισθέντα τοῖς ἑταίροις εὐθὺς ἀποτρέχειν.

229. ἐν ἀρχῇ τιθείς.

230. ἐρατεινὸς] Ἀγαπητὸς, ἐπέραστος, ἡδὺς, προσηνὴς, ἐπιθυμητός.

231. ἔνθα δὲ πῦρ κήαντες ἐθύσαμεν] Ἐθύσαμεν ἀπὸ τῶν τυρῶν. παλαιὸν γὰρ ἔθος τὸ τῶν ἀπαρχῶν θύειν· "ὁ δ' ἐν πυρὶ "βάλε θυηλάς."

234. ἵνα ἔχῃ πρὸς φῶς δειπνεῖν· ἔνιοι δὲ ἀγνοοῦντες γράφουσιν. Ἄλλως. ἵνα αὐτῷ δειπνοῦντι ἐπιδείπνιον φῶς παρείη.

242. τετράκυκλοι] Superlin. τετράτροχοι.

245. ὁ δὲ ποιητὴς τὸ ἤδη γεγ. ὑπέθηκεν, ἔπεμπεν εἰς τὸν γνωστὸν ἢ εἰς τὸ ἴδιον τέκνον.

247. ἀμησάμενος] Συναγαγὼν, καὶ τῶν ὀσπρίων ὁ ἄμητος οὐδέν ἐστι εἰ μὴ συναγωγή.

248. ἀπὸ τοῦ ὀροῦ.

250. τὰ ἃ ἔργα] Λαμβάνων τὰ ἴδια ἔργα.

255. τοῖς παρ' αὐτῶν φονευμένοις.

267. ὅπως παράσχοις ξεινήϊον, ἤγουν δῶρον τὸ κοινὸν πᾶσιν οἷον τροφήν.

273. βαρυντέον τὸν η̅. διεζευκτικὸς γάρ ἐστι· οὐ γὰρ ἔρρωται, ἀλλ' ἀποφαίνεται ὅτι ἢ δι' ἀπειρίαν ὡς ἂν μακρόθεν ἐληλουθὼς τὰ Κυκλώπων ἀγνοεῖς.

275. Διὸς αἰγιόχου ἀλέγουσιν] Τὸ ἴδιον ἁμάρτημα ἑαυτοῦ ὁ Πολύφημος κοινὸν ποιεῖται· ὅτι γὰρ οἱ ἄλλοι Κύκλωπες οὐκ ἦσαν ἄθεοι, φησὶ,

νοῦσον δ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλεύασθαι.

276. ἵνα μισήσωμεν—ἀντιφέρων τὸ ἶσον.

277. τινὲς ἄχθος φασί. τινὲς ἔχθος ἀντὶ τοῦ ἔχθραν.

278. ἵνα μάθω.

279. εἰπέ που κατέσχες καὶ ἥδρασας τὴν ταχυτάτην νῆα.

280. περισπαστέον τὸν δεύτερον η̅. τινὲς δὲ ὤξυναν.

281. εἰς δὲ τὸ ὣς φάτο στικτέον. ἦθος γὰρ ἐμποιεῖ τὰ ἐπιφερόμενα.

282. πάλιν οὐχ ἁπλῶς ἀλλ' ὀπισθόρμητον τὸ ἀνάπαλιν τῆς ἀληθείας.

292. ἐμφαντικώτατα.

295. οὐκ εἶπε δεδιότες, ἀλλ' ἀμηχανοῦντες ὑπὲρ τῶν ἑταίρων.

297. ἐπ' ἄκρητον γάλα] Ἀπαράμιγες ἔχον καὶ ὀρρῶδες καὶ τὸ πυρῶδες καὶ τὸ ἐλαιῶδες.

302. χεῖρ' ἐπιμασσάμενος] Ἐπισπάσας τὴν χεῖρα. μαιμῶ γὰρ τὸ προθυμῶ superlin. gl. ἐφαψάμενος χειρὶ τὸ πλῆρες.

303. ἀπελάσθημεν ἂν πάντως εἰς τὴν βουλὴν ἣν ἐβουλευσάμην. ἐπλήρωσα δηλαδή.

317. ἀπογινώσκειν θεοῦ βοηθοῦ.

322. ἐεικοσόροιο] Ὑπὸ εἴκοσι κωπῶν ἐρεσσομένης, εἰκοσακώπου ἢ εἴκοσι χιλιαδῶν.

329. ὑπομάλης.

333. ἐδεδίει—πύρωσιν—ᾔδει.

Ib. γλυκὺς ὕπνος ἱκάνει] Καλῶς νυκτὸς ἐπιτίθεται, ἵνα μὴ τύχῃ βοηθείας, φίλυπνοι γὰρ οἱ ἀγροῖκοι διὰ τὸν μεθ' ἡμέραν πόνον.

344. Νῦν ἀνακεφαλαιοῦται πάλιν τὰ πρὸ ὀλίγου πεφασμένα εἰς μνήμην τῶν ἀκροατῶν. διὰ τοῦτο δὶς περὶ τῶν βιωθέντων δύο φίλων τοῦ Ὀδυσσέως φησὶ καὶ πάλιν. In text. scr. δεῖπνον, sed superl. γρ. δόρπον.

345. Διατί Ὀδυσσεὺς πρὸς τοὺς Φαίακας ἔλεγεν ὅτι τὸν Κύκλωπα ἐτύφλωσεν Ποσειδῶνος υἱὸν ὄντα, οὖσιν ἀπογόνοις Ποσειδῶνος; λύων οὖν Ἀριστοτέλης φησὶν, ὅτι ᾔδει ἐχθροὺς αὐτοὺς ὄντας τοῦ Κύκλωπος. ἐκβληθέντας γὰρ φησὶ ὑπὸ τῶν Κυκλώπων ἐλθεῖν ἐπὶ τὴν Σχερίαν·

οἳ πρὶν μέν ποτ' ἔναιον ἐν εὐρυχόρῳ Ὑπερείῃ
ἀγχοῦ Κυκλώπων, ἀνδρῶν ὑπερηνορεόντων,
οἵ σφέας σινέσκοντο· βίηφι δὲ φέρτεροι ἦσαν·
ἔνθεν ἀναστήσας ἄγε Ναυσίθοος θεοειδὴς,
εἷσε δὲ Σχερίῃ. ἑκὰς ἄλλων ἀλφιστάων.

347. τὸ "πίε οἶνον" ὡς πρὸς τὸ "ἐπεὶ φάγες"— ἢ ἔχον κισσὸν ἔξωθεν.

353. δέκτο] Ἐξεδέξατο τὸ ποτήριον ἐξ ἐμοῦ.

Ib. ἥσατο] Εἰς ἡδονὴν αὐτὸ ἔσχεν.

357. αὐξάνει τοῖς Κύκλωψιν.

360. αὐτὰρ οἷ in text. γρ. αὐτάρ οἱ in marg.

373. ἀχανίαν τοῦ στόματος.

383. In text. ἐνείρυσαν. in marg. γρ. ἐνέρεισαν.

Ib. In text. ἐρείσθεις superl. γρ. ἀερθείς.

385. τρυπάνῳ] Τὸ πλῆρες ἐστὶ τρυπάνιον.

387. τὸ δὲ πυριήκεα (sic) ἀντὶ τοῦ ὀξύτητα πυρὸς ἔχοντα.

393. φαρμάσσων] Στομῶν, στεροποιῶν, στερρῶν.

394. ὠνοματοπεποίηται ἀπὸ τοῦ κατὰ τὸ λίπος γενομένου σηλισμοῦ, ὅ ἐστι συνεχείας.

400. οἵτινες περὶ αὐτὸν δὴ τὸν Κύκλωπα κατῴκουν.

403. ὕστερον τοὔνομα λέγει.

407. εἰκότως μέμνηται τοῦ ὀνόματος αὐτοῦ, ὡς ἅτε δὴ δεύτερον αὐτὸ ἀκοῦσαι,

οὖτις ἔμοι γ' ὄνομα, οὖτιν δέ με κικλήσκουσιν.

408. καὶ τοῦτο ὡς ὑπερήφανος, ὑπαλγῶν ὡς βίην τινὸς λειπόμενος.

423. περὶ τῆς ἐμῆς ψυχῆς βουλευόμενος ᵒ.

425. πρὸς τὸ κατακρύπτεσθαι· διὰ τὸ περιττοὺς πόδας· "ἡμί-"ονες ταλαεργοί" ἐπὶ πτηνῶν "αἰετὸς ἀγκυλοχείλης."

429. δυνατὸν καὶ δύο μέρη λόγου λέγειν σὺν καὶ τρὶς, καὶ ἓν μέρος λόγου σὺν τρὶς (sic) ὡς συνοξυνόμενα· τούτοις καὶ μόνοις τοῖς δύο ἀριθμοῖς ὑπῆρξε τὸ συντίθεσθαι μετὰ τῆς σὺν προθέσεως.

440. οὖθαρ δὲ τὸ μάλα.

443. ὑπ' εἰροπόκων λέγει τὰ τῶν προβάτων μαλλία.

456. ὁμοφρονέοις: τὰ αὐτά μοι φρονέοις.

Ib. ποτιφωνήεις: ἀντὶ τοῦ ὁμόφωνος.

464. ἢ τετανύποδα· τανὰ γὰρ τὸ ἐπιμηκές.

475. δοκεῖ μὲν φιλονεικώτερον ποιεῖν καὶ ἐναλλάττεσθαι· ἀλλὰ τοῦτο πρὸς παραμυθίαν τοῖς ἠδικημένοις παρέπεται.

486. ἡ τῆς θαλάσσης ἐπανάστασις ἣ κλύδωνος ἐγγίσαι ἐποίησεν τῇ γῇ· πλημμυρὶς προπαροξύνεται, τινὲς δὲ ὀξυτόνως.

Ib. αἱ 'Αριστάρχου—

491. ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην.

509. Εὐρύμου παῖς ὁ Τήλεμος, ὃς τῇ μαντείᾳ ἐκεκόσμητο.

525. Διατί οὖν ὁ Ποσειδῶν ὠργίσθη, καίτοι μὴ χαλεπαίνων διὰ τὸ ἀπόφθεγμα ἀλλὰ διὰ τὴν τύφλωσιν, Κύκλωπος γὰρ κεχόλωται ὃν ὀφθαλμοῦ ἀλάωσε, καίπερ πονηροῦ ὄντος καὶ τοὺς ἑταίρους κατεσθίοντος; λύων δὲ ὁ 'Αριστοτέλης μὴ ταυτὸν εἶναι ἐλευθέρῳ πρὸς δοῦλον καὶ δούλῳ πρὸς ἐλεύθερον, οὐδὲ τοῖς ἐγγὺς τῶν θεῶν οὖσι πρὸς τοὺς ἄποθεν. ὁ δὲ Κύκλωψ ἦν μὲν ζημίας ἄξιος, ἀλλ' οὐκ 'Οδυσσεῖ κολάσεως, ἀλλὰ τῷ Ποσειδῶνι.

'Αλλῶς· πῶς παρὰ Φαίαξιν ἐχθρὸν ἑαυτὸν Ποσειδῶνος λέγει; φαμὲν ὡς ἀπολαβὼν ἤδη τὰ τῆς εὐχῆς καὶ πεπονθὼς ἐλεεινὰ, ἔτι δὲ καὶ τὸ τελευταῖον ναυάγιον διὰ Ἴλιον γενόμενον καὶ τὰς ἐκείνου βόας ἔπειθεν αὐτὸν ὅτι πέπαυται μὲν Ποσειδῶν εἰς Ἴλιον.

530. ἀντὶ τοῦ μὴ δῷς τὸν 'Οδυσσέα εἰς τὸν ἑαυτοῦ οἶκον ἐλθεῖν.

536. ἐκ τῶν ὕστερον ἀποβεβηκότων, ὕστερόν φησι, ὡς καὶ ἑξῆς, ὁ δὲ οὐκ ἐμπάζετο ἱερῶν.

546. ἐκέλσαμεν: ὡρμίσαμεν, ἐνεολκήσαμεν, προσειλκύσαμεν.

ᵒ Incert. scr. vox.

K.

Argum. 2. ἐπὶ τὴν ζήτησιν—τοῦ φαρμάκου οὗ εἰλήφει· μείνας.

2. ὡς δὲ Ἡσίοδος Πρυνόης—τὴν ἀντὶ πυρός—πατὴρ δὲ Κρηθέως.

3. ἢ ἐπιθετικῶς λέγει τὴν Αἰολίαν· ὁ δὲ Ἀρίσταρχος φορητῇ—ὥς ποτε μέν. In Pind. fr. Δᾶλος—προσπλεομένη—τῶν ἀνθρώπων· ὁ Ὀδ.

6. ταῖς δὲ παρθένοις Ἴφη—Ἀστυκράτεια—Ἡφαιστία—ὁ δὲ Εὐριπίδης ἑτέρους ἱστ.— προστασσόμενοι προστάγ.

7. συνοικίζειν ἀδελφάς—προσυπάρχει τι φυσ.

10. πλῆθος τῶν θυομένων.

12. ῥητορικῶς δευτέρῳ προοιμίῳ ἐχρήσατο· τρητοῖσι δὲ τοῖς καλῶς κατεσκευασμένοις ἢ τετορνευμένοις.

14. Ἴλιον: περὶ τῆς Ἰλίου· περὶ τῶν νεῶν τῶν Ἀργείων, περὶ τοῦ νόστου τῶν Ἀχαιῶν. συντόμως ἑκατέρων.

19. ἐννεώροιο: ἐνναετοῦς.

20. Ἰωνικῶς τὰς κελεύθους κέλευθα εἶπε.

29. οὐ τὴν οἰκείαν πατρίδα φησὶν ἀλλὰ ἁπλῶς τὴν γῆν, ὡς κοινὴν οὖσαν πατρίδα.

32. οὐ δὲ ἄλλῳ τινὶ τῶν ἐμῶν φίλων τὸ πηδάλιον ἐνεχείρισα.

34. ἐβάσκαινον γὰρ τὸ πολυτελὲς τοῦ δεσμοῦ εἰς ὑποψίαν λαμβάνοντες, ἴσως οὖν τὸ πολυτελὲς τοῦ δεσμοῦ ἠπάτησεν αὐτούς.

35. πῶς ἀγόντες αὐτὸν εἰς τὴν ναῦν οὐκ ᾔσθοντο κοῦφον ὄντα; ἀλλ' ἐν νηῒ κατέδει μέρμιθι ἀργυρέῃ.

52. ὁ δεύτερος η περισπασθήσεται.

60. τὸ ο μονόχρονον.

64. ἐβάρησε, μετὰ βλαβῆς ἐπέθετο.

69. ἀλλ' ἀκέσασθε ὦ Αἴολε καὶ οἱ σὺν αὐτῷ παῖδες. ὀρθοτονητέον τὴν ὑμῖν, τὸ δὲ ἐν (sic) οὐ σημαίνει τὸ ἔνεστι.

70. μαλακοῖσιν: Ζηνόδοτος μαλάκοισιν ἀμειβόμενος γράφει, καὶ ἔστι χαριεστάτη ἡ γραφή· οὐ καθάπτεται γὰρ αὐτὸν ἀλλ' ἱκετεύει. καθαπτόμενος gloss. super. καθικνούμενος, ὀνειδίζων, ἐπιπλήττων.

72. Καὶ πῶς ἤμελλεν ἀπὸ Φαιάκων τυχεῖν κομιδῆς, ταῦτα

καθ' ἑαυτοῦ λέγων; ἀλλ' ἐπέδειξε τοὺς ἑταίρους αἰτίους ὄντας· ἐλεεινότερον οὖν ἑαυτὸν ἀποδείκνυσιν.

79. εὐγνωμόνως καὶ ἑαυτὸν, ὅτι ἀφύπνωσεν, ὅτι προσαγαγόντες τὸ μὴ ἀλαζονεύεσθαι, ὅτι αὐτὸς μὲν διεπράξατο τὴν σωτηρίαν παρ' Αἰόλου· ἐκεῖνοι δὲ ἐξήμαρτον λύσαντες τὸν ἀσκόν.

82. τὴν Λαιστρυγονίην οἱ νεώτεροι Σικελίαν φασί.

86. τοῦτο λέγει ὅτι νυκτὸς μὲν βουκολοῦσι διὰ τοὺς μύωπας, οἵτινες ἐν ἡμέρᾳ τοὺς ταύρους ἐνοχλοῦσιν.

Ib. τῇ παρελεύσει αὐτῆς—πλησιάζειν τὰς τῆς νυκτὸς κελεύθους ταῖς τοῦ ἤματος κελεύθοις—χωρ. ἐν ᾗ γενν. om.

90. ἐν τῇ εἰσβολῇ τοῦ λιμένος. δασυντέον τὸ ἁραιή. et sic corr. in text.

91. ἀντὶ τοῦ εἰσεῖχον, ὡς μὴ συγχεῖσθαι τὸ ἔνδον· τὸ δὲ ἔχον ἀντὶ τοῦ ἤλαυνον· τὸ δὲ ἑξῆς, τότε ἐπειδὴ εἰς τὸν ἄξιον λιμένα θαύματος ἤλθομεν ἐκεῖ ἔσω τὰς νῆας ὡρμήσαμεν.

102. ἵνα μὴ εὐεπιχείρητοι ὦσι διὰ τὸν κήρυκα.

103. ἧπερ ἅμαξαι: τινὲς πιθανῶς γρ. ᾗ κεν ἅμαξαι. πῶς γὰρ ἄγριοι ὄντες ἐχρῶντο τῇ διαίτῃ;

108. ἠδ' ὅσοι ἀνάρσιοι—τῶν δ' εἴη βασιλεύς: τῶν ἐν τῇ πόλει κατοικούντων.

110. τὸ δὲ οἷσιν Ἀρίσταρχος διὰ τοῦ τ, καὶ τοῖσιν ἀνάσσει ἀντὶ τοῦ τίνων.

112. τὸ τὴν δὲ περισσὸν, σημαίνει δὲ καὶ τὸ ἄρθρον τὸ τήν.

114. Ἀντιφατῆα: ἀπὸ τῆς Ἀντιφάτους γενικῆς· τὸ δὲ Ἀντιφάταο ἀπὸ τῆς Ἀντιφάτης[o] εὐθείας.

124. ἀτερπέα δαῖτα φέροντο: in text. In schol. πένοντο: Ἀρίσταρχος φέροντο. ἄλλοι δὲ δαῖτα πένοντο. Ἀριστοφάνης ἰχθῦς δὲ ὣς εἴροντες. κατέστη ἴδιον τὸ ἰχθῦς καὶ τὸ φέροντο Ζηνοδώρῳ, οὐ[p] δὲ ἄλλοις πείροντες.

131. καὶ βαλλομ. κατὰ τ. νηὸς om.

141. παρὰ τὸ λέξασθαι—κρυπτ. ἐν αὐτῷ τὴν νῆα.

143. εἰς τὸ κείμεθα στικτέον.

144. ἀλλ' ὅτε ἡ ἡμέρα ἐποίησεν ἑαυτῆς τέλος.

152. αἴθεσθαι, ὅ ἐστι καίεσθαι.

[o] Ἀντιφάτους Cod. [p] Scr. ἐν,

157. διὰ τὴν σπάνιν τῶν ἐπιτηδείων καὶ παρακινδυνεύειν ἀναγκάζονται.

161. κνήσασθαι· ἐπεξηγεῖται τί ἐστι ἀκν.

169. καταλοφαδείως—σκριπτομέναις.

174. ὁ ἀλλὰ ἀντὶ τοῦ δή.

178. ὦκα: δοκεῖ ἐναντίον εἶναι τοῖς ἠθυμηκόσι τὸ ὦκα· διὸ ἔν τισι τὸ οὕτως φέρεται.

182. ἐρικυδέα: τιμίαν· πᾶσα γὰρ δαὶς τιμία, ἢ ὅτι ἀναγκαία ἐστί.

185. περὶ τῆς κατασκοπῆς, ἀλλ' ἐᾷ τὴν πρώτην.

186. τὸ ῥηγμῖνι διὰ τοῦ ι. ὡς Σαλαμὶν Σαλαμῖνος.

190. τοῖς παροῦσιν· οὐ γὰρ ἴσμεν ὅπου ἡ δύσις ἢ ὅπου ἡ ἀνατολή.

192. ἀννεῖται: ἀνατέλλει, ἀνέρχεται, ἀναφέρεται.

193. φησὶν ἀρχίλογος.

195. οἷον δοκεῖ—ἡ νῆσος.

208. ἓξ γὰρ ἀφ' ἑκάστης νεὼς ἀπολλομένων περιελείποντο μὲν δωνοὶ (sic) ἡμεῖς εἰς κβ. ἄλλως τε καὶ συγκέχρηται τῷδε τῷ ἀριθμῷ.

213. οὐκ ἐξ ἀγρίων τιθάσσουσα ἀλλ' ἐξ ἀνθρώπων θῆρας ποιοῦσα· λέγει οὖν ὁ Εὐρύλοχος ἑξῆς

ἢ σῦς ἠὲ λύκους ποιήσεται ἠὲ λέοντας.

ἔθελξεν οὐ τὸ μεταμ.

225. συγγενικώτατος· σοφώτατος χωρὶς τοῦ τε. τιμιώτατος, κηδεμονικώτατος.

232. ὑπέλαβε δόλον εἶναι ἀπὸ τοῦ φιλοφρ.

235. ὡς καὶ θασεία καὶ μελίκηρις· ἔνι (sic) δὲ παραμόνιμον εἰς παλ. καὶ μὴ μεταβαλλόμενον.

Ib. In marg. πραπνείῳ τῷ ἀπὸ τῆς Πράμνου νήσου.

237. κατὰ συφεοῖσιν: ταῖς τῶν χοίρων μάνδραις συνέκλειεν.

238. ἐναργοῖ παρ' Ὁμ.

240. ὡς καὶ τοῦ νοῦ ἠλλοιωμ. ἀλλὰ κατὰ τὸ φιλ.

242. πίταξυς.

257. οἴεται τοὺς ἑταίρους δι' ἡδυπαθείας μένειν ἐκπληττομένους κάλει γυναικός.

245. ἐρέων: λέξων, οὐ γὰρ δὴ λέγων.

269. ἀλύξαιμεν: ἐκφύγοιμεν· ἔτι γὰρ καιρός ἐστι τοῦ ἐκφυγεῖν ἡμᾶς.

275. τὰς ἀστιβητοὺς, τοὺς συνδένδρους τόπους.

276. Ἀστυλόχου πατήρ. τῷδε καὶ οὐ δύναμαι.

279. ἀρτιγενείῳ.

282. τὸ οἶδε ἀναφορικόν.

283. κευθμῶνας νῦν φησὶ τοὺς τόπους καὶ τὰς καταδύσεις, ὅπου κεύθοντες καὶ συγκεκλεισμένοι εἰσίν.

286. ἀλλὰ φέρε δή σε τῶν κακῶν ἀπολυτρώσομαι.

305. τῷ τέλει θαν. ἐπιφ.

318. ἔπιον, ἵνα μᾶλλον ὑπὸ τῆς Κίρκης θαυμασθῇ.

320. εἰς τὸν συφεῶνα, εἰς τὰ τῶν χοιρῶν (Cod. χειρῶν) μάνδρα.

323. Post ὀνομάζεσθαι ὁ ποιητής add. ἢ φυσικῶς φοβεῖται τὸ ξίφος ἡ Κίρκη, ὡς καὶ ἄλλας τινὰς ὕλας τῶν δαιμόνων· ὡς καὶ Διονύσιος ἐν λιθιμοῖς (leg. λιθιακοῖς)

φύσει δὲ κρύσταλλον ἴδ' ἱερὴν ἴασπιν·
[ἵν'] ἐχθρὴν ἐν πάσῃσι[q] καὶ ἄλλοις εἰδώλοισιν.

324. οὐδὲν γὰρ ὀλοφύρτικὸν λέγει καὶ ἐπάγει.

329. ἢ τὸ "ἀτὰρ νοῦς ἔμπεδος ὡς τὸ πάρος περ," οὐκ ἐπὶ παντὸς λέγεται τοῦ νοῦ ἀλλὰ τῆς ἡμερότητος.

Ib. ὁ Σιδώνιος φησὶ ἀθετεῖσθαι τὸν στίχον, ὁπότε ἐπέστησε τὸ ἔγνω· τοιοῦτοι γὰρ παρ' Ὁμήρῳ οἱ θεοί.

350. αἱ νεάνιδες νύμφαι.

351. δεύτερον δέ ἐστιν ἡ εἰς καὶ γὰρ, καὶ γὰρ ὧδε νῦν τ' εἰς δὴ· ὡς τὸν αὐτόν μιν, καὶ ἀμφὶ περὶ κρήνην.

353. καὶ πορφύρεα κέκληκε.

354. ὅτι τὸ ἑτέρη ὑγείως ἐπὶ τῆς δευτέρας.

361. ἀσάμινθον: πύελον· κιβωτὸν, καὶ ἡ κοιλὴ δὲ καὶ ἡ μεγάλη κύλιξ καὶ ἡ λάρναξ οὕτω καλεῖται· οἱ δὲ πύελον λουτῆρα, ὅπου ἡ ἄσα μινύθει.

Ib. λοε τὸ τέλειον ἀπὸ τοῦ λόω. λόε: λουτρὰ ἐπέχεεν, ἀντὶ

[q] Leg. Ἐμπούσῃσι.

τοῦ κατὰ κρατός τε καὶ ὤμων· ἡδὺ (sic) κεράσασα ἐκ τοῦ τρίποδος εἰς ἄλλο ἄγγος δηλονότι.

379. βρώμης ὡς ῥώμης· ὅμοιον δὲ αὐτῷ ἐστὶ καὶ τὸ τρώμη· καὶ Ἀρίσταρχος ὀξύνει.

380. περισπαστέον τὸ η, διαπορητικὸν γάρ ἐστι.

385. In textu πρὶν λύσασθαι ἑτάρους.

394. πότνια Κίρκη: γρ. δῖα θεάων.

397. ἔφυντ': sic in text. ἔφυν: προσφυῶς ἐπελαμβάνοντο in marg.

409. οἴκτρ' ὀλοφυρομένους: οἰκτρῶς καὶ ἐλεεινῶς ὀδυρομένους.

410. ἄγραυλοι: οἱ ἐν τοῖς ἄγροις αὐλιζόμενοι.

413. μυκώμεναι: βοῶσαι· μυκηθμὸς γὰρ ἡ τῶν βοῶν φωνή.

431. ἆ δειλοί: τὸ ἆ θαυμαστικὸν, ἀντὶ τοῦ ὦ δειλὲ καὶ ἄθλιε.

433. προσαινόντων.

448. ἔκπαγλον ἐνιπήν: ἔξοχον, μεγάλην ἐπίπληξιν.

453. φράσσαντό τε πάντα: ἐπέγνωσαν τὰ κατ' αὐτοὺς γεγονότα. ἐν ἄλλῳ δὲ γρ. φράσαντό τ' ἐσάντα.

461. θυμὸς ἐνταῦθα ἡ δύναμις καὶ ἡ προθυμία.

465. γένος ἀντὶ γενικῆς, τουτέστι εὐφρόσυνος.

483. ὦ Κίρκη: δῆλον ὅτι Ὀδυσσεὺς πολλάκις τοῦτο ἱκέτευσεν.

492. μαντευσομένους ἐν τῇ ψυχῇ τοῦ Τειρεσίου.

494. μεταβέβληται· τῶν δέκα μοιρῶν· τὰς δέκα μὲν δ' ἐμπίμπλησι.

501. ἀπὸ τοῦ γὰρ ἤρξατο.

508. ἐνθ' ἀκτή τε λάχεια, βαθεῖα.

509. βαθεῖα ὡς ὑπόσκαφος. ἐκ τοῦ λαχαίνω τὸ σκάπτω.

510. Θεόφραστος ἐν φυσικοῖς.

513. τότε σχῆμα καλ. ἧδε ἄρης ἄρχουσι—ἰδὲ Σκαμ.

Ib. ἔνθα μὲν εἰς Ἀχέροντα: τοῦτο τὸ σχῆμα καλεῖται προδιεζευγμένον καὶ καθ' ὑπέρβατον. Ὑπερίων [q] δὲ Ἀλκμανικὸν φησί. τὸ δὲ ἑξῆς, ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε καὶ Κωκυτὸς

[q] In Vulg. Sch. Cod. Bodl. Auct. V. 1. 51 leg. ὑπ' ἐνίων δὲ Ἀλκμ. om. φησὶ quod verius esse credo. Ex hoc autem Cod. qui duodecimi est sæc. ineuntis, refutatur ut videtur Buttmanni sententia opinantis Vulgata Scholia maximam partem ex Eustathio compilata esse. ad B. 98.

ῥέουσιν. τὸ σχῆμα Ἀλκμανικὸν, τὸ τιθέναι ῥῆμα μέσον ὀνομάτων δύο.

514. τὸ ἀφανίζον τὸ σαρκίον—καὶ τὸ ἠρίον.

516. χριμφθείς: προσπελασθεὶς, ἐκ τοῦ χρίμπτω τὸ προσπελάζω.

517. πυγονιαῖον—κεκαμμένον.

560. ἀστραγάλων: ἀστράγαλον τοῦ αὐχένος λέγει.

Λ.

V. 7. ψιλωτέον τὸ ἴγμενον, ἤτοι ὑγρόν.

14. ἐκ τοῦ δυτικοῦ ὠκεανοῦ—ἐν Δελφοῖς· διὸ δυσφημεῖ αὐτοὺς ὁ ποιητὴς ὡς ἐν σκότῳ οἰκοῦντες.

Ib. Κιμμερίων: τινὲς τῶν νεκρῶν παρὰ τὸ ἐν ἔρᾳ κεῖσθαι· Ἀρίσταρχος, κερβερέων.

23. ἔδει ἐπὶ νεκρῶν ἐντόμια εἰπεῖν, ἢ ἐπεὶ ἁπλῶς τὰ θρέμματα ἱερεῖα ὠνόμαζον.

26. τὸ χοὴν ἐχεόμην ἀπὸ κοινοῦ κατὰ τὸ τρίτον.

29. εἰς τιμὴν οὖν τῶν δεσποτῶν ἡ δέησις.

46. χάριν δι' εὐχῶν ὁμολογῆσαι, ὡς δὴ ἀντομένου τοῦ σπουδαζομένου.

51. ἐπεὶ εἰ καὶ ἀθέμως ἐτάφ.

52. εἰ ἀποφαίνεται νῦν· τίς ἡ τῶν σωμ. μετὰ θαν. πορ. ἤγε καὶ ναῦς· προλαμβ. ἐπίστανται.

58. ἔφθης πεζὸς ἰὼν in text. πᾶσα ἰὼν γρ. in marg.

66. λείπει πρὸς τῶν οὐ παρεόντων, νῦν πρὸς τῶν ἀπολελειμένων. περὶ τῶν οὐ παρόντων νῦν ἀλλὰ καταλειφθέντων εἰς τὴν ἡμῶν οἰκίαν, ζώντων δὲ ἔτι. ὑπὲρ τούτων οὓς ὄπισθεν ἑαυτοῦ κατέλιπες οἴκοι.

74. ἡ κοινὴ κακῆαι· Ἀρίσταρχος κακκῆαι.

75. χῶσον, ὑποτίθεται δὲ ὁ ποιητὴς μὴ ἀμελεῖν ταφῆς.

85. Αὐτόλυκος Ἑρμοῦ καὶ Φιλωνίδος τῆς Δαιδαλίωνος τοῦ Ἑωσφόρου. οἱ δὲ Στίλβης.

88. καρτερικὸς ὁ ἥρως.

90. ὅτι πάλαι. Τειρεσίαο ἐστὶν ὁ Τ.

100. οὐκ οἴω τὸν νόστον σου λήσειν Ποσειδῶνα· τινὲς δὲ λήσειεν.

101. διὰ τὴν τοῦ Κύκλωπος τύφλωσιν.

106. Θρινακίη erat scr. in text. Sed corr. al. Θρηνακίη. In marg. Τρινακίη λέγεται ἡ Σικελία ἀπὸ τοῦ ἔχειν ἀκρωτήρια τρία.

111. προσαγορεύσω· σημεῖον τέκμωρ, "οὐ γὰρ ἐμὸν παλινά-" "γρετον."

115. ὅτι οὐκ ἐνήλλακται ὁ χρόνος ὡς τὸ "σύν τε μεγάλῳ" "ἀπέτισαν·" οὐ γὰρ ἦσαν οἱ μνηστῆρες συνηγμένοι εἰς τὸν οἶκον Ὀδυσσέως.

117. ἀποδώσει τιμωρίαν τῶν ὧν ἔπραξαν.

119. οὐ διστάζει ἄλλο ἢ ἀντὶ τοῦ καὶ φαίνεται γὰρ τὰ μὲν πρῶτον δόλῳ, ἑξῆς δὲ φανερῶς ἐπὶ θέμενος.

122. εἰς βουνιμὸν ἢ εἰς κελκαίαν (sic).

123. τὰς ἐν τῷ ἐρυθρῷ βάμματι κεχρωσμένας.

127. πτυόφιν.

133. ἐν τῇ Φορκίδι λίμνῃ· ἐν παραθέσει ιη ἢ ἐξ—ἀνδροκτασίας. βαθείης.

136. μηδαμοῦ λιμοῦ ἐπισκήπτοντος αὐτοῖς μηδ' ἑτέρου δεινοῦ.

139. ταῦτα λέγει τῷ Τειρεσίᾳ περὶ τῆς ἰδίας μητρὸς, τὸ ταύτης ἐν τῷ ᾅδῃ θεασάμενος ἴνδαλμα φαντασιωδῶς.

148. οὕτως δὲ ἐπεὶ πρόκειται ὅτι θέλει σοι φθονῆσαι, ὑποστρέψει πάλιν ὄπισθεν.

157. πῶς οὐκ εἰσήγαγε δεύτερα καὶ τρίτα.

159. τί ὡς ἓν μέρος leg. τινές.

172. ἀνωδύνως.

185. δικασπόλον, αὐτὸν δηλονότι ἀντὶ τοῦ εὐωχεῖ.

187. πῶς οὖν οἶδεν τί εἰ ἐκ πόλιος κατέβαν τάχα δ' ἀγρὸν ἵκοντο; νῦν οὖν ἡ κατὰ ἀντὶ τῆς ἀπό.

189. λείπει ἡ κατὰ κατὰ τὸ σχῆμα.

190. ὅτι τὴν ἀπὸ τῆς ἐσχάρας σποδὸν κόνιν εἴρηκεν.

201. τοῦ συβώτου. μὴ θάνοι.

212. παρ' ἐμοί.

217. ἀλλ' αὐτὴ δίκη: δίκην βρότων λέγει αὐτὴν τὴν αὐτῶν ἀποβίωσιν, εἶτα τὴν ἐκφαινομένην τῶν ψυχῶν φαντασίαν τοῖς

ζῶσιν. αὔτην τοίνυν ἡ δίκη πάντων βροτῶν κατεκράτησεν ἐξ αὐτῆς ταύτης γενήσεως.

220. δαμνᾷ ἐπείκεν: ὡς κιρνᾷ.

234. λέγεσθαι δὲ οἱ μὲν Ὄσσαν, οἱ δὲ Συλῶ, οἱ δὲ Ῥαάνην.

Ib. εὐπατέρειαν: ὅτι ἐν εἰρωνείᾳ, δυσσεβὴς γὰρ λίαν ὁ Σ.

238. ὥστε τὸ κάλλιστον.

239. ἡ τοῦ Κρηθῆος γυνὴ περιεπόλει εἰς τὰ καλὰ ῥεῖθρα τοῦ Ἐνιπῆος ποταμοῦ ἔρωτι τούτου· ἀπεικάσθη οὖν αὐτῷ καὶ ὡμοιώθη ὁ Ἐνοσίγαιος, καὶ ἐκοιμήθη εἰς τὰς αὐτοῦ προχόας μετὰ τῆς γυναικὸς Κρηθῆος.

244. τὴν φύσιν λέγει ἀπὸ τοῦ εἴδους τοῦ κατὰ τὸν τρόπον· καὶ ἄλλως ἀθετεῖται· πρὸς τί γὰρ τῇ ἐρώσῃ καὶ ἑκουσίως βουλομένῃ μιγῆναι κατέχευεν ὕπνον; Ζηνόδοτος δὲ ἀγνοεῖ τὸν στίχον.

250. ἐξονομήνῃς: ἐξ ὀνόματος εἴπῃς· ἡ ἀπάντησις πρὸς τοὺς παῖδας.

259. Ἀντιόπην: Νυκτέως αὐτὴν οἱ νεώτεροι ἱστοροῦσιν.

Ib. Θηβῶν ὁ Ἀσωπός. οὐκ ἀναστρεπτέον τὴν μετὰ πρόθεσιν.

262. πρὸ τῆς Κάδμου ἐπιδημίας.

263. πληθυντικὸν τὸ πύργωσαν· Ἀριστοφάνης non Aristarchus ἐπεὶ οὔ μιν.

270. Οἰδιπόδαο: ἀπὸ τῆς Οἰδιπόδης εὐθείας.

274. Θήβας ἦλθε δεδ. Οἰδιπόδος.

275. ὀλοὰς διαβουλάς.

277. ἁψαμένη: ἀναρτήσασα, ἐκδήσασα, ἀναψομένη βρόχον ὑψηλὸν καὶ τῆς γῆς ἀφεστηκότα.

284. τὸ "ἡ δὲ Πύλου σύνδεσμος," ἐπὶ Νηλέως ἀκουστέον, ὡς Ὀρχομένου καὶ Πύλου ἐβασίλευσεν. οὕτως Ἀρίσταρχος· ὁ δὲ Ἡρωδιανὸς ἐπὶ Χλωρίδος φησὶ, ἀντιδιαστέλλων τῷ πατρὶ, καὶ ἐν θηλειῶν δὲ τάσσει τὸ βασίλευε, "μητέρα δ' ἡ βασίλευεν." (Il. Z. 425.)

285. ἐναντίον φαίνεται ταῦτα τῷ "ιβʹ γὰρ υἷες ἦσμεν." τρεῖς γὰρ εἴρηνται νῦν. λύοιτο δ' ἂν ἐκ τῆς λέξεως· ἐνταῦθα γὰρ ἐκ τῆς Χλωρίδος τρεῖς γενέσθαι τῷ Νηλεῖ φησὶ, τί οὖν ἐκώλυε καὶ ἐξ ἑτέρων ἔχειν τοὺς λοιπούς; ἀγέρωχον οὖν ἀκουστέον.

Ib. Χρόμιοντε. Superlin. Ἀρίσταρχος Χροάσιον ἡ συνήθεια.

289. ἐκ Φυλάκης: τῆς ἐν Θεσσαλίᾳ πόλεως—ὁ Ἰφικλῆς.

Ib. ἤθελε γὰρ αὐτὴν γαμηθῆναι Βίαντι—ἀπῄτει Ἰφ. τὸν Δηϊόνεως.

Ib. ἀπαιτῆσαι μετὰ λάμπους δέ.

296. ὁ γὰρ Ζεὺς εἶπε τῷ μάντει ὅτι κρατηθῆναι μέλλεις ὑπὸ τοῦ Ἰφίκλου.

297. Πλευρώνια μὲν ἡ Λήδα ἡ Θεστίου, ἐν Λακεδαίμονι δὲ ἐγαμήθη.

298. ἀκολούθως τῷ—ὅτι οὐ παραδίδωσιν ἐκ Διὸς Κάστορα καὶ Πολυδεύκην, ἀλλ' ἐστὶ νεωτερικὰ ταῦτα.

301. ὑπὸ Μελεάτρου.

307. τηλεκλειτόν: περιβόητον ἐπ' ἀνδρείᾳ ἢ ἐπὶ βλασφημίᾳ, διὰ δὲ τοῦ π τὸ ὄνομα.

308. καὶ πῶς ὁ Τιτυὸς ἐπὶ ἐννέα κεῖται πέλεθρα ἐν Ἅδου, ἤτοι ἡ σύγκρισις πρὸς ὁμογενεῖς καὶ ἐκ γυναικῶν, ὁ δὲ Τιτυὸς γῆς· ἢ ὅτι ἐννέα ἦσαν μόνον ἐνιαύτων· αὐξηθέντες οὖν ὑπερέβαλλον ἂν καὶ Τιτυόν· "καὶ γὰρ ἐν ἀθανάτοισιν ἀπειλήτην ἐν "Ὀλύμπῳ φυλοπίδα στήσειν, καὶ Ὄσσαν ἐπ' Ὀλύμπῳ μέμα-"σαν θεμέναι," καὶ τὰ ἑξῆς. Πίνδαρος δὲ ἐν Νάξῳ τὰ κατ' αὐτοὺς ἱστορεῖ γεγονέναι· ἐν Νάξῳ μὲν φαντὶ θανεῖν Ἰφιμεδείας παῖδας, ὥστε[r] καὶ σὲ τολμήσεις[s] Ἐπιάλτα. (Pyth. IV. 156.)

310. ἐννέωροι: ἐννέα ὡρῶν ἤτοι χρόνων.

312. ἐν μὲν Ὀλύμπῳ ἠπείλουν τὴν μάχην ποιεῖν, μετὰ δὲ ταύτην ὄρος ὄρει περιβαλεῖν καὶ κρατεῖν τοῦ Ὀλύμπου. ἀντὶ τοῦ παρὰ Ὀλύμπῳ, ἵνα ἐξίσου πολεμῶσιν, οἱ μὲν ἐξ Ὀλύμπου, οἱ δὲ ἐξ Ὄσσης· μετὰ δὲ ταύτην ὄρος ὄρει περιβαλεῖν καὶ κρατεῖν τοῦ οὐρανοῦ.

Ib. ἀπειλήτην, μετάθεσις τοῦ ε εἰς τὸ η, ἀπειλήτην ὡς δορπήτην.

316. ὥσπερ εἰ λέγοις· οὕτω καὶ τὸ τελέσαι τὸν τοιοῦτον πολ.

318. Ἰουλοὶ παρ' ὅσον οἱ φύοντες αὐτοὺς ἄρχονται ἐπὶ τὸ ὅλον ἰέναι, ὅ ἐστι τὸ τέλειον.

320. Πρόκριν Ἐρεχθέως ὁ Κεφάλου[t] ἀνὴρ ἀνεῖλε ὡς ἐπὶ θηρὸς (Cod. θηρὺς) τὸ δόρυ καθείς.

[r] Leg. Ὦτε. [s] Leg. τολμάεις. [t] Leg. Κέφαλος.

Ib. Μαῖραν. Φερεκύδης ἐκ Μαίρας καὶ Διὸς τὸν Λοκρὸν εἶναι φησί. super lin. gl.

Ib. Πάρθενος ἀπέθανεν ἡ Μαῖρα· ἔστι δὲ Προίτου καὶ Ἀντείας θυγάτηρ· ἡ δὲ Κλυμένη Μυνίου θυγ. καὶ Εὐρυάλης. In al. Schol. Εὐρυανάσσης τῆς Ὑπερφ. Ἐριφύλην τὴν Ἀμφιαράου γυναῖκα, θυγατέρα δὲ Ταλάου, καὶ Ἀδράστου ἀδελφήν.

332. ἡσυχῶς ἐγένοντο ἐν σιωπῇ· τὴν παντελῆ δείκνυσι σιωπὴν ἐκ τοῦ ἀναδιπλασιασμοῦ τοῦ λόγου.

336. ἀντὶ τοῦ ὁμοία τοῖς σωματικοῖς πλεονεκτήμασι καὶ ἰσότιμος.

337. ἕκαστος τῶν ἐνθάδε ἀφικνουμένων ξένων. Ἄλλως. ἕκαστος ἡμῶν τίμιός ἐστι· τιμήσατε αὐτόν· ἕκαστος δὲ ἡμῶν εὐμοιρῶν τιμῆς καὶ ἰσχύων τοὺς ξένους τιμᾷν τιμησάτω αὐτὸν τὸν Ὀδυσσέα.

350. ὁ δὲ οὖν παραπλ. κεῖται οὐδὲν σημαίνων.

354. In fr. Hesiod. πλ. καὶ κῆδος ὀπηδεῖ.

355. εἰ βουλ. μένειν ὑπισχνούμενοι τὴν γοῦν ὅτί ποτε δύναιτο φυλάττειν.

358. Ἀριστοφ. πλειοτέρησι χερσὶν, ὁ μετὰ πλειόνων ἀπελθὼν τοῦ ποτε.

362. οἷά τε πολλοὺς. Sic in text. in marg. εἰκάζομεν οὕτως (sic) Ζηνόδοτος· ὁ δὲ Ἀρίσταρχος πολλούς.

363. τὸ ἑξῆς τὸ μὲν ἠπεροπῆα τ' ἔμεν, οὔτι σ' ἐίσκομεν καὶ ἐπίκλοπον παραλογ. ἀναστρ. τὴν ἐπὶ καὶ τὴν ἔνι.

367. μῦθον δ' ὡς ὅτ' ἀοιδὸς ἐπισταμένως· ὁ νοῦς· ἐπιστημένως κατελέξας πάντων Ἀργείων σέο τ' αὐτοῦ κήδεα λυγρὰ, ὡς μῦθος ἀοιδός. καὶ ἄλλως· οὐ γὰρ ἄνευ μύθων οἴονται εἶναι ποιητικὴν, διὸ ὁ Πύθιος οὐκ ἂν λεχθείη ποιητής.

372. καὶ ἔνθεν ἡ ὥρα φαίνεται φθινοπωρινὴ οὖσα.

378. ὁ νοῦς, ὥρα μὲν καὶ λόγων· ὥρα δὲ καὶ ὕπνου· εἰ δὲ ἀκοῦσαι θέλεις, οὐκ ἂν φθονήσαιμι.

Ib. ὁ μὲν Ἀρίσταρχος ἐν τῷ καθόλου, ὁ δὲ Σιδώνιος ἐλλειπτικῶς· ὥρη μὲν πολλεων (sic) μύθων παύσασθαι· ὥρη δὲ καὶ ὕπνου μνήσασθαι.

383. ἐν βουλῇ τῆς Ἑλένης.

385. ὡς ἐναργῶς ἐπιστατούσης τῆς θεοῦ.

391. ὀξυτόνως τὸ πιτνάς.

390. πῶς μὴ πιὼν τὸ αἷμα γινώσκει; πάντως οὗτοι ἐν τῷ τῶν ἀτάφων εἰσὶ τόπῳ· οἱ μὲν δικάζοντες, οἱ δὲ δικαζόμενοι μὴ πεπωκότες τῆς Λήθης ὕδατος φθέγγονται καὶ πρὸ τοῦ πιεῖν.

402. ἐνταῦθα διαζευκτικῶς νοεῖται· παράλογος ἡ διαίρεσις. θέλει γὰρ εἰπεῖν μαχόμενον, ἐπέκτασις οὖν γέγονε διὰ τὸ μέτρον.

409. συνέγνω.

415. ἀντεβόλησας, ἐνέτυχες ὦ Ὀδυσσεῦ. super lin. in marg. ἀντεβόλησας οὕτως Ἀρίσταρχος· πρὸς γὰρ τὸν Ὀδυσσέα, ὡς καὶ τὸ ἑξῆς ὀλοφύραο θυμῷ.

419. ἀπέστραπται, ἀντὶ τοῦ τὸ αἷμα ἐν τῷ δαπέδῳ θῦεν καὶ μεθ' ὁρμῆς ἔρρει.

Ib. Ἀγαμέμνονος καὶ Κασάνδρας υἱὸς Τελέδημος.

427. ἥτις δὴ τοιαῦτ': ἐν πολλοῖς οὐ φέρεται, ὡς ἐκλύων τὸν θυμὸν, οὐ γὰρ ὅτι πρὸς θεραπείαν Ἀρήτης ὁ Ὀδυσσεύς· οὐ γὰρ ἀναγκαῖον τῷ ὑποκρινομένῳ τὸ πρόσωπον Ἀγαμέμνονος περιίστασθαί τι εἰπεῖν.

Ib. ἔργα βάληται: ποῖα ἔργα; οἷα κἀκείνη ἐμήσατο. ἀπὸ δὲ τοῦ πληθυντικοῦ εἰς ἑνικὸν μετέβαλεν.

437. εἰπὼν ὅτι ἕνεκεν Ἑλένης πολλοὶ ἀπολώμεθα, ἐδήλωσεν κατὰ τοῦτο τὴν δυστυχίαν Μενελάου· δυστυχεῖ γὰρ βασιλεὺς, ὅταν οἱ ἀρχόμενοι κακῶς πάσχωσιν.

442. ἀλλὰ τὸ μὲν λέγε τῇ σῇ γυναικί, τὸ δὲ κρύπτε.

451. οὐ δὲ οὗτοι ἐφέροντο (Cod. ἔφερον τὸ) ἐν τοῖς πλείστοις, ὡς μαχόμενοι τοῖς προκειμένοις.

Ib. υἷος: τοῦ υἱοῦ τοῦ Ὀρέστου.

452. περιττὸς ὁ καί.

455. νῆα κατισχεμέναι: ἐλλιμενίσαι.

458. Ὀρχομένῳ· ἱερῷ τόπῳ Βοιωτίᾳ—διὰ τὴν πολλὴν φιλίαν καὶ δύναμιν τοῦ Νέστορος—ἐς Ὀρχόμενον προτινείσεται.

Ib. Ὀξυτονητέον τοὺς συνδεσμοὺς, διστακτικοὶ γάρ εἰσιν.

462. ἀπὸ κοινοῦ τὸ ἤ· ἢ ζώει ἢ τέθνηκεν.

470. κατὰ τὸ σιωπ. διὰ τοῦ αἵματος.

475. ἀφραδέες ναίουσι βροτῶν εἴδωλα καμόντων] Εἰς τὸ βροτῶν ἡ στιγμή. ἵν' ᾖ οὕτως ὁ νοῦς. ὅπου ἐν τῷ Ἅιδῃ οἰκοῦσιν οἱ τεθνεῶτες ἐπιλελησμένοι τῶν ἀνθρωπίνων πραγμάτων. ἀμέλει γοῦν διὰ τῆς τοῦ αἵματος πόσεως εἰς μνήμην τῶν ἀνθρωπίνων αὐτοὺς ἄγει. ἐὰν δὲ μὴ εἰς τὸ βροτῶν στίξωμεν, ὁ νοῦς οὕτως. ὅπου αἱ ψυχαὶ τὰ εἴδωλα τῶν ἀποθανόντων ἀνδρῶν ἀφρόντιστοι ζῶσι, τὰ κατὰ ἀνθρώπους μὴ λογιζόμενοι.

ἀφραδέες, οἱ ἀσώματοι. φρένες γὰρ οἱ κρεμαστῆρες τοῦ ἥπατος "ὅθι τε φρένες ἧπαρ ἔχουσι."

τινὲς οὐ νοούμενοι, ἄφραστοι, ἀθεώρητοι.

488. ἐπάρουρος] Ὡς ἐπίγειος ὢν τῷ πόνῳ καὶ τῷ σημαίνω (sic). τινὲς δ' ἐπάρουρος ὁ ἀκόλουθος, οὐκ εὖ. οὐχ ὡς βασιλεύειν τοῦτό φασι.

495. ὄνομα τόπου αὕτη, ἐν ᾗ ὁ Ἀχιλλεὺς ἐβασίλευεν.

499. Ἀρίσταρχος σὺν τῷ Μέμνονι ἀκούει.

500. τὸ δὲ ἀντὶ τοῦ γὰρ, εἰ τοῖος γὰρ.

511. διχῶς, νικάσκομεν ἀπὸ τοῦ νικᾶς· νικέσκομεν ἀπὸ τοῦ νεικεῖς ῥήματος.

516. πρὸς τὸ σημαινόμενον ἀπέδωκε πάντας ὅσσον.

521. πῶς οὖν μέλας ὁ Μέμνων εἴη.

525. ἔνι δὲ τῶν ὑπομνημάτων

ἔνθ' ἄλλοι πάντες κατὰ δούριον ἵππον Ἀχαιοί.

538. σπονδὴν τῶν κ. νεκρ.

Ib. ἀσφοδελὸν] Ἀφοδελώδη, ἀσφοδελοὺς ἔχοντα.

541. εἵροντο] Ἀντὶ τοῦ ἔλεγον·

ὡς ἔχετ' ἐμπεφυῖα καὶ εἴρετο δεύτερον αὖτις.

543. νόσφιν ἀφειστήκει] Ἀρίσταρχος ἀφεστήκει.

545. Διὰ τὸ ἐμὲ τοῦ Ἀχιλλέως ἐπαρεῖν τὰ ὅπλα.

546. ἀντὶ τοῦ Τρῶες ὡς "υἷες Ἀχαιῶν" καὶ "δυστήνων δέ τε "παῖδες." οἱ φονευθέντες ὑπὸ Ὀδυσσέως ὅτε Αἴας τὸ πτῶμα Ἀχιλλέως ἐβάσταζεν. ἀθετεῖ Ἀρίσταρχος. ἡ δὲ ἱστορία ἐκ τῶν κυκλικῶν.

561. τοῦ θυμοῦ καὶ τῆς ὀργῆς κράτησον.

562. δῆλον οὖν ὅτι καὶ τῶν παρὰ τραγῳδοῖς λόγων βέλτιον αὐτοῦ ἡ σιωπή.

563. πόθεν τοῦτο οἶδεν; καὶ γὰρ ὁ Αἴας ἀπιὼν ᾤχετο.

564. τὸ τέλειον δὲ ἔστι, ὁ δὲ ἦ ἀντὶ τοῦ ὡς.

567. ὑπὲρ δὲ τῆς ἀθετήσεως αὐτῶν λέγεται τοιάδε. πῶς οἶδε τούτους ἢ τοὺς λοιποὺς ἔσω τῶν Ἅιδου πυλῶν ὄντας καὶ τῶν ποταμῶν;

569. —λόγον γὰρ—καὶ αὐτῷ δίφρῳ.

Ib. εἴροντο] Ἀντὶ τοῦ ἔλεγον· ὅθεν καὶ ἱρὰ ἡ ἐκκλησία. ἄλογα· καθήμενος γὰρ οὐδεὶς δικάζεται.

571. τὰ κατὰ Ὠρίωνα ἐν Συρίᾳ[q] (sic) πόλει τῆς Βοιωτίας.

572. οὐ δὲ ἐπὶ τούτου τετήρηται τὸ σύμφωνον· ἄλογον γὰρ τὸ ἐν ᾅδου κυνηγετεῖν· πῶς τε ἅμα τῇ τῶν θηρῶν ἀγέλῃ προῆλθε, καὶ διατί; πῶς οὖν μήκιστοι οἱ προειρημένοι παῖδες Ἀλωῆος; ἢ πῶς ὁ κείμενος ἐξῆλθεν; εἰ δὲ μὴ ἐξῆλθε, πῶς ἑωρᾶτο;

576. ὑπερμεγέθης δὲ ὢν τῷ σώματι, ἔκειτο ἐπὶ ἐννέα πέλεθρα.

578. λέγει γὰρ "οὐδέ τι θερμὸν ἀναπνείων χολάδας δέντροισι "καλύψεις"—ἀργέτα δῆμον—δέντρον καλοῦσιν. τὸ περιανειληφὸς—τὰ ἐντὸς—ἀποδεντροῦν καλ. δέντρον ἔσω—

579. πόθεν ᾔδει τῶν κολάσεων τὰς αἰτίας; οὐ γὰρ ἤκουσεν εἰ μὴ φησὶ τίς εἶναι τοῦτο κατὰ τὴν Ἑλλάδα φήμην.

Ib. διὰ τοῦτο ὑπ' αὐτῆς ὠργίσθη καὶ τοῖς ὀρνέοις ἐκδέδοτο.

580. ὅτι κατὰ τὸ ἀρσενικὸν ἐσχημάτισται ὁ Πανοπεὺς, ὡς βασιλεὺς καὶ βασιλῆος.

582. ἐν ὕδατι ὑπονοητέον αὐτὸν ἑστάναι μέχρι τοῦ γενείου κρυπτόμενον, ὡς δὲ ὑπέκυπτεν δένδρεα θ' ὑψιπέτηλα κατακρῆθεν. δεῖ νοεῖν τὸν κορμὸν τῶν δένδρων ὑπὲρ τὴν ἡλικίαν εἶναι τοῦ Ταντάλου, τοὺς δὲ κλάδους ἐπικλᾶσθαι ὑπὲρ τὴν κεφαλὴν αὐτοῦ βρίθοντας τῷ καρπῷ.

καὶ πῶς ἵστατο ἐν ὕδατι τὰ δένδρα; φαμὲν ὅτι κατὰ φαντασίαν, πρὸς τιμωρίαν Ταντάλου.

583. τὸ ἑξῆς στεῦτο διψάων πίειν, οὐκ εἶχε δὲ ἑλέσθαι.

587. δισυλλάβως καὶ προπερισπωμένως τὸ κατὰ κρῆθεν· οὐ δὲ οὗτος δύναται σὺν λίμνῃ καὶ δένδροις ἐξεληλυθέναι ἐπὶ τὸ σφαγίον, ἢ πῶς ἔξωθεν τὰ ἔσω ἐθεώρει;

[q] Leg. Ὑρίᾳ.

596. οἷον ἰσχυρὰ δύναμις—ἡ κρατερὰ δυν.

600. ἀπηθανατισμένον.

601. ὅτι αὐτοὺς τὰ σώματα αὐτῶν φησὶν Ὅμηρος, οὐκ ἂν δέοι σώματος ἐν θεοῖς.

604. ἀπὸ κοινοῦ τὸ ἦν.

615. ὡς ἐν δεινοῖς ὤν.

622. κύνα λέγει τὸν Κέρβερον ἐκσπάσαι με τοῦ ᾅδου εἰς φῶς.

629. τὸ ἑξῆς, καὶ δὴ νὺ (Cod. νὰ) εἶδον τοὺς ἀρχαιοὺς ἄνδρας.

631. μῆκος ἀναλόγων. φιλήκοον—θεαμάτων.

633. ἐγγεγραμμένην—Ἡσιόδου. αὐτὴν τὴν Γοργὼ.

M.

V. 3. κολλῶντες—καὶ εἰς ἐνιαυτὸν δύνει.

10. Ἐλπήνορα] Οὗτος ἦν ὁ τοῦ Ὀδυσσέως φίλος, ὃς πρὸ τοῦ ἐξελθεῖν τῆς νήσου ταύτης, ἤγουν τῆς Αἰαίας, τὸ πρὶν κατεκρημνίσθη τοῦ στέγους, καὶ ἐθλάσθη τοὺς ἀστραγάλους τοῦ αὐχένος αὐτοῦ.

15. ἵνα στήλης σημεῖον ᾖ ἔσται δὲ παρακούω τοῦ Ἐλπήνορος εἰπόντος "πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμόν."

18. εὐτρεπίσασα τὰ πρὸς τροφήν.

22. οὔτι τίσουσιν.

26. ἀλλ' ἵνα μὴ.

Ib. [illegible][r] Διατί ἡ Κίρκη;

27. ὅτι συνέσταλκεν ἐπὶ τοῦ ἀλγήσητε—

38. ἔνιοι τὸν Ποσειδῶνα, ὃς διὰ τῶν ἔργων ὑπομνήσει αὐτόν.

39. Στερόπης τῆς Πορθάονος (Cod. πορθάονας.) ἀγαπησάσης.

40. ὅτι σφέας] Ὅτε ἡ διὰ τῆς σφῶ ἀντωνυμίας ἐπιφέρεται, ἐγείρει τὴν πρὸς αὐτῆς ὀξεῖαν, καὶ ἐπὶ σπονδείου καὶ ἐπὶ πυρριχίου καὶ ἐπὶ ἰάμβου. διὸ ἐπιστατέον τῷ,

οὐ γάρ τι οἶδ' εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις.

47. ἀλεῖψαι] περισπωμένως· ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ τοῦ ἄλειψον.

Ib. οὐκ ἄρα ἐπτέρηνται, ἐπεὶ καὶ προσεπέτοντο τοῖς παραπλέουσιν.

[r] Fors. Ἀπορία.

53, 54. ἀθετεῖ Ἀριστοφάνης. πρός τι γὰρ ἅπαξ δεδεμένον πάλιν δῆσαι κελεύει;

56. διαρρήδην, ἔνι δὲ ῥαδίως.

58. ἀμφοτέρωθεν] Ἐκ θατέρου μέρους, ἀμφοτέρας τὰς ὁδούς.

59. προτὶ δ' αὐτὰς] Οὕτως Ἀρίσταρχος πρὸ τί (sic).

61. πλακτὰς, διὰ τὸ προσπλήσσεσθαι αὐταῖς τὰ κύματα· οἱ δὲ νεώτεροι πλανηθέντες, πλαγκτὰς ἤκουσαν παρὰ τὸ πλάζεσθαι εἰς ὕψος καὶ βάθος.

62. τινὲς φυσικῶς κ. τ. λ. τῷ ἡλ. καὶ Πλάτων ἐν Φ. Δία φησιν. Ἄλλως ἔδει τ. περιστ.

Ib. Ἤτοι μυθικῶς—διὰ τῶν πλακτῶν ut et p. infr.

65. ταῖς πλακταῖς.

73. ἐν θατέρῳ πλευρῷ τῶν πλαγκτῶν (sic), οὐ γὰρ δύο πορθμούς φησι.

75. Ἀριστ. οὐ φησὶ—ἀλλὰ φησὶ ὅτι τοῦτο οὐδέποτε.

Ib. ἐρωεῖ] Λήγει· ὑποχωρεῖ, ὡς τὸ ὑπερώη. περισπαστέον τὸ ἐρῶ καὶ κολῶ.

77. ἤγουν ὅλως ἀνέλθοι. Ἀριστ. γρ. οὐκ ἐπιβαίη, τὸ ἄβατον αὐτῆς ὅλως παριστῶν.

81. πρὸς ζόφον εἰς ἔρεβος] Ἴσως πρὸς ἔρεβος ἦν ἀπ.

84. σχεδὸν ἔδειξε τὸ μῆκος τῶν δειρῶν πετρῶν πηλικὸν ἦν· ἡ δὲ μέση δεδυκυῖα τοῦ λαίου ἐφικνεῖται τῶν παραπλεόντων τοσούτων ἀπεχόντων, ὡς μὴ δὲ τόξευμα ἀφικνεῖσθαι ἀπὸ τῆς νεὼς εἰς αὐτάς.

85. λελακυῖα] Ὑλακτοῦσα Ἰακῶς συνεστάλη. ἡ δὲ Σκύλλα Φόρκυνος καὶ Ἑκάτης θυγάτηρ.

86. σκυλάκου φωνὴν ἐχ.

88. εἰς ὅρον ὑπ. ἐναντία ἐπέλθοι.

89. ἔστι γὰρ οὓς οὐκ—οἱ δὲ ἄνισοι κ. μεγ. οἱ δὲ ἄωροι ἤτοι ὠμοὶ (sic) φησὶ τὴν Σκύλλαν—πόδας τε ἔχειν—κρατὶ ἑκάστη. ὡς ἂν οὖν ἐχόντας ἀντι. καὶ δειρὰς οὐκ ἐλαττόνας, πρὸς δὲ τὴν θάλατταν ἀπὸ τοῦ κατὰ τὸ σπήλαιον ὕψους καθειμέναι δώδεκα πόδας, οἵους ἂν θαλάττιον ζῶον ἔχῃ, πλεκτάναις ὁμοίους τῷ ὄγκῳ καὶ τῷ μήκει, μείζονας τῶν αὐχένων καὶ τῷ ἀριθμῷ διπλασίους.

94. ἐξίσχει κεφαλὰς] Τινὲς ἐξίσχει κακῶς στίζουσιν.

97. ὡς καὶ τῶν δελφίνων καὶ τῶν κυνῶν κητῶν ὄντων.

98. ἀκήριοι] Ἀβλαβεῖς, ἀνεὺ κηρὸς ὅ ἐστι θανάτου.

102. Ἀριστοφάνης πλησίον γρ.

104. περισπωμένως· τινὲς δὲ τὴν λέξιν περὶ τοῦ ἀναρριπτεῖ ἔταξαν. οὐκ ἀναστρεπτέον δὲ τὴν ὑπὸ πρόθεσιν.

105. ὃ τὸ ὕδωρ καλεῖται ῥαχ. προσπεφύκεσαν αὐτῇ—συστρεφομένου βιαίως τ. ὑδ.

107. ὑποβολὴ εἰκότως ἐπιταράττει αὐτὸν ἐπὶ τούτῳ, ἵνα θάτερον ὑποστῇ.

117. Διαφέρει παρ' Ὁμήρῳ ἀθάνατος καὶ θεὸς, καὶ γὰρ οἱ Ἀχιλλέως ἵπποι ἀθάνατοι, οὐ μέντοι θεοί.

120. εἰς τὸ ἀλκὴ ἀνάπαυσις· εἶτα γνωμικώτερον τὸ ἑξῆς.

124. Κράταιΐν Σχῆμος[s] φησὶν Ἑκάτης καὶ Τρίτωνος Κραταιΐ ἤ τας δε καὶ Δείμου Σκύλλαν. Στησίχορος Λάμιαν φησὶ τῆς Σκύλλης μητέρα[t].

129. τοσαύτας νύκτας. καὶ αὗται γὰρ τοῦ ν̄ μετὰ πλασιαζομένου τοῦ μ̄.

133. ὑπερίονι] Τῷ ὑπεράνωθεν ἡμῶν ἰόντι.

149. ἴκμενον οὖρον ἵει] Διατί ἐν μὲν τοῖς ἀκινδύνοις μέρεσι τοῦ πλοίου[v] παρέχει αὐτῷ πνοὴν οὔριον παραπλέοντι Σειρῆνας, καὶ Σκύλλην οὐκέτι; τάχα οὖν καὶ τοὺς ἀνέμους ἔθελγεν.

157. ἐν ἀμφοτέροις πλεονάζει ὁ κεν. ἢ ἑλώμεθα τὸν θάνατον, ἢ τὰ πρὸς σωτηρίαν παρασκευασώμεθα.

160. Ἡ μὲν Κίρκη εἶπεν

αὐτὰρ αὐτὸς ἀκούεμεν αἴκε θέλησθα.

ὁ δὲ τὸ ἂν θέλω οὐ προσέθηκεν, ἵνα μὴ δοκῇ πλεονεκτεῖν μετὰ ἀσφαλείας τὸ ἡδὺ θηρώμενος.

175. ἁπαλὸς ἐγένετο, διεχέετο. μεγάλη ἡ ἶς, ἡ θερμὴ δύναμις τοῦ πυρός.

179. τὰ πείρατα τοῦ δεσμοῦ, τὰ σχοινία ἐδέσμουν.

181. οὐ γὰρ εἴρηκεν ἀπῆμεν—προσεπάγει—κλεινὸς γόνος—πάνυ ἐδίωκον.

185. δύο φαίνονται καὶ ἐντεῦθεν.

193. Μαρτυρία τῆς φωνῆς ὁ ποιητὴς ὅτι καὶ ὁ ἐγκρ.

[s] Leg. Σῆμος. [t] Cf. Eustath. Odyss. [v] Leg. πλόου.

197. Καὶ μὲν οἴεται, οὐ δὲ πρότερον ἤκουον· σημαίνει δὲ οὖν ἔξω τοῦ δύνασθαι ἀκούειν ἐγενόμεθα.

205. προήκεα] Ὡς ταναήκεα.

217. τοῦτον Μανδρῶνά τινες λέγουσιν.

223. καταλείπωσιν.

225. συγκλείεσθαι αὐτοὺς ἐκέλευον.

229. ἴκρια] Τὰ καταστρώματα τῆς νηός.

237. Ὥσπερ δὲ ὅτε πλημμύραν ποιήσει ὁ ὑπὸ πυρὸς ζέων λέβης, οὕτως πᾶσα ἀνεκινήθη ἡ Χάρυβδις.

243. χλωρὸν δέος φησὶ, τὸ νέον ἐκ μεταφορᾶς νεωστὶ χλοαζούσης πόας.

246. τὸ ἓξ δασυντέον, ἀριθμητικὸν γάρ ἐστι.

253. οἷον βοείας τρίχας αἳ ἐκκρέμωντο τοῦ δόνακος.

257. Οἱ ἀπολόμενοι ὑπὸ τῆς Σκύλλης, Στίσιος, Ὀρμένιος, Ἄγχιμος, Ὄρνυτος, Οἴνωπος, Ἀμφίομος. οὕτως Φερεκράτης[u].

268. Αἰαίης] Τῆς ἀπὸ τῆς Αἰαίης οὔσης νήσου.

276. τὴν ἐξ πρόθεσιν—ἀντὶ γενικῆς.

284. —ἀλάλησθαι ἐνεστῶτος χρόνου.

286. εἰς τὸ χαλεποὶ ἐστὶν ἡ στιγμή.

289. Ζεφύροιο δυσάεος] Ἤγουν Λίβα δυσπνόου super lin. τινὲς Ζέφυρον δυσάεα τὸν Λίβα. in marg.

290. θέλουσι γὰρ ἡμᾶς οἱ θεοὶ ὁρμισθέντας—θεοὶ δωτῆρες ἑάων.

294. ἐπῄνουν οἱ ἄλλοι Ἀχαιοὶ τὸν Εὐρύλοχον ὑπὲρ ὧν εἶπεν.

301. Μεμψόδωρος—Φυλάϊκον. Αἰολιδοῦς—

308. ἕντο, τὸ θέμα ἵημι, ἵεμαι, ἱέμην, ἱέμεθα, ἵεσθε, ἵεντο, καὶ ἀφαιρέσει τοῦ ι ἕντο.

313. οὗτος μὲν κατὰ κοινὴν ἔννοιαν τὸν Δία· ἴσως δὲ μᾶλλον ὁ Ποσειδῶν.

Ib. ἐπιζαὴν] Οὕτως χωρὶς τοῦ δε Ἀρίσταρχος[x] γράφει· καὶ ἀναστρεπτέον τὴν πρόθεσιν. ἐὰν δὲ μετὰ τοῦ δε οὐκ ἀναστρέφεται.

ἐπιζαὴν ἄνεμον] Ἔδει χωρὶς τοῦ ν ζαῆ· ὡς ἀκραῆ Ζέφυρον. ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν, καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι, ὡς τὸ

αἰνοπαθῆ πατρίδ' ἐπόψομαι

[u] An leg. Φερεκύδης?

[x] Alii ergo legebant ὦρσε δ' ἐπὶ ζαήν.

παρὰ Ἀνακρέοντι. ὁ δὲ Ἀρίσταρχος φησὶ περισπᾶσθαι, καὶ οὕτως ἔχει ἡ παράδοσις.

318. Νυμφάων (ε superscr.) in text.

320. τὸ γὰρ ἀντὶ τοῦ ἐπειδή.

323. λάθοιεν.

351. στρεύγεσθαι· κατὰ στράγγα φθείρασθαι, ἤγουν κατ᾽ ὀλίγον.

364. κυρίως σπλάγχνον ὁ σπλὴν.

372. ἐποιήσατέ με κοιμηθῆναι ἐς βλάβην.

374. καὶ πῶς πάντα ἐφορᾷ ὁ ἥλιος; πάντα δὲ, οὐχ ἅμα δέ.

383. τὸ φαείνω ἐνεστῶτος ἐστὶ, ἀντὶ τοῦ μέλλοντος.

403. πλὴν τῆς νήσου ἐκείνης ὅθεν ἐξωρμήσαμεν.

406. ἀχλύος ἐπλήσθη καὶ σκότους.

411. εἰς τόπον τῆς ἀντλίας ὡς εἰς τὸ μῦρον.

417. ἐνεπλήσθη ἡ ναῦς θείου κεραύνου.

Ib. θεείου] θεαφίου superlin.

418. κορωνὴ λέγεται εἶδος ὀρνέου θαλασσίου.

423. ὁ συν. τὸ κερ. κάλως.

425. δύναται καὶ ἀντὶ τοῦ ἑνικοῦ τοῦ ὀλοῷ, ὁμοίως τῷ

στήθεά τ᾽ ἠδ᾽ ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.

427. ἢ κατὰ βούλησιν Ποσειδῶνος τοῦτο συνέβη, ἢ συνήθως ὁ ποιητὴς τὸ κατὰ τύχην συμβὰν ὡς ἐκ προνοίας φησί.

431. ἐν ὅσῳ ἀνερρόφει, ἐγὼ εἰς τὸν ἐρινεὸν ἐπήδησα.

438. ἐελδομένῳ] Ἐπιθυμοῦντι σωτηρίας, ἦλθεν ἀνὴρ (ἀνὴν Cod.) βραδέως εἰς δεῖπνα ἤτοι τὸ δειλινὸν, καὶ ἀνέστη ἀπὸ τῆς ἀγορᾶς.

439. διὰ τὸ τρεῖς μὲν—ἦμαρ λέγει τὸ νυχθ.

441. τῆμος δὴ τάδε δοῦρα Χαρύβδιος ἐξεφαάνθη

οὕτως Ἀρίσταρχος.

444. τὰ ὁρμισθέντα τῆς νηὸς ξύλα, ἤγουν ἡ τρόπις καὶ ὁ ἱστός.

447. οὐδὲν θαυμαστὸν Ἀθηνᾶς λεγούσης, "διαμπερὲς ἥ σε "φυλάσσω" ἐν π. πον.

N.

Ὀδυσσέως ἀπόπλους παρὰ Φαιάκων καὶ ἄφιξις εἰς Ἰθάκην.

V. 2. κηληθμῷ] Κηλήσει ἐν τῇ τῆς ἀκοῆς ἡδονῇ· τρισυλλάβως δὲ τὸ ἔσχοντο.

5. τῷ σ'] Ἀντὶ τοῦ διὰ τό σε· ὅ ἐστι διὰ τοῦτό σε.

7. ἀνδρὶ ἑκάστῳ εἴρω ὅσοι πίνετε οἶνον ἐν τοῖς ἐμοῖς οἴκοις.

8. γερούσιον] Τὸν ἐντίμοις ἀνδράσι διδόμενον· γέρας γὰρ ἡ τιμή. ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν εἴληφεν.

14. ἀνδρακὰς, ὡς ἑκὰς καὶ ἐντυπάς.

Ib. ἀγειρόμενοι] Ἀγείραντες κατὰ μέρος παρ' ἑκάστου λαμβάνοντες.

15. τὸ μέρος τοῖς νῦν δοῦσιν.

19. ἐπὶ τὴν ναῦν ἐπεσσεύοντο.

25. Κρονίδῃ] Ὅτι ἐπόπτης τῶν ξένων. ὅτι οἱ ἑστιώμενοι τοῖς ἑστιῶσι προπίνουσι παρὰ τῷ ποιητῇ.

31. ὡς δ' ὅτ' ἀνὴρ] Ἤγουν γεωργός.

34. βλάπτεται δὲ γούνατα· ἤγουν κωλύεται τὴν βάδισιν διὰ τὸν πολὺν κόπον.

42. ἄμεινον τὸ συναμφότερον ἀκούειν, καὶ τὴν ἄκοιτιν εὕροιμι ἀμύμονα καὶ ἀνεπιμώμητον (Cod. ἀνεπιμέμητον).

59. ὅτι οἱ ἑστιώμενοι παρ' Ὁμήρῳ τοῖς ἑστιῶσι προπίνουσιν, ὡς Ὀδυσσεὺς Ἀχιλλεῖ, καὶ Εὐμαίῳ ὁ αὐτός.

Ib. διαμπερὲς] Διόλου, ἕως οὗ τὸ γῆρας ἵκοιτο.

65. δῆλον οὖν ὅτι φθάνουσιν οἱ ἐρέται παρὰ τῇ νηῒ ὑπάρχοντες.
ἤγουν τὰς γυναῖκας

66. ἔπεμπε νέεσθαι in text. ἡ ἑτέρα τῶν Ἀριστάρχου νέεσθαι εἶχε· καὶ ἄμεινον τὸν μὲν κήρυκα διηγεῖσθαι, τὰς δὲ δουλίδας νέεσθαι.

67. φᾶρος τὸ ἄνωθεν τῶν ἄλλων ἱματίων φορούμενον. χιτῶνα δὲ τὸ ὑποκάτω.

68. χηλὸν] Τὴν ἔχουσαν τὴν ἐσθῆτα κιβωτόν.

69. ἡ δὲ ἄλλη σῖτον ἔφερε καὶ οἶνον ἐρυθρὸν, οὐ τῷ (Cod. οὕτω) Ὀδυσσεῖ, προῄδεσαν γὰρ ὅτι μέχρι τῆς Ἰθάκης κοιμηθήσεται· ἴσως οὖν ἵνα οἱ παραπέμποντες αὐτὸν Φαίακες ἔχωσιν ὑποστρέφοντες· ἀμελεὶ οἱ δὲ συνεκτιθέασιν αὐτῷ ἐν τῇ Ἰθάκῃ τὰ ἐδώδιμα.

72. λείπει ὁ καὶ, σὺν γὰρ τοῖς ἄλλοις καὶ τὴν πόσιν καὶ τὴν βρῶσιν ἐδέξατο.

73. βαπτὸν περιβόλαιον καὶ σίνδονα ἵνα κοιμῷτο.

74. ἐπὶ τὰ σανιδώματα τῆς πρύμνης.

79. γλυκὺν ὕπνον ἐών.

87. οἶμαι ὃν λέγουσιν ἐνεξίπτερον θείῃ τῇ νηΐ.

96. συνάπτηται— ὁ λιμὴν οὗτος ἐκ. τ. Φορκ. θ. ποτὲ γέγονεν, κἀκ τούτου τὴν κλῆσιν.

97. προβλῆτες, ἔξω τοῦ λιμένος προβεβλημέναι.

104. αἱ τῶν ναμάτων σύντροφοι· οὐ γὰρ ἀπὸ Νηΐου ὄρους.

105. καὶ τὰ αὐτὰ ἀναθήματα ὡς οἱ κρατῆρες καὶ ἀμφιφορεῖς.

109. λῦσις ἐπὶ τῶν δύο θυρῶν ἐν τῷ διαιρεῖν φ.

110. ὀξυτόνως ἐπὶ τῷ καταβαταὶ, θειότεραι καὶ ἄβατοι ἀνθρώποισιν.

113. ἀντὶ τοῦ πρὶν εἰδῆσαι, ὡς τὸ "κάρπῳ βριθομένη." λείπει τὸ ὡς. οὐ γὰρ οἱ Φαίακες ἀλλ' αἱ νῆες αὐτῶν μόναι τοὺς τόπους ἐπίστανται.

119. συνειδότες γάρ. κ. δεδιότες—διαστ. ὅσον ἐστι—αἰεὶ δαῖτα μέλλειν κίθαρίν τε καὶ ᾠδάς. τοιούτους οὖν ὄντας. συμβεβήκει. γυμνασίαν πατρὶ δὲ τραχεῖ καὶ μικροῖς—πρὸ τ' οὖν γνῶναι. ἀλλά τι καὶ παρεδ.—πρόθωνται—συνελογίζοντο. ἥμαρτο—θεωρεῖν παρὰ τί ποτε—φασί τι πρᾶξαι. οὐ προσαποδεικνύουσι δὲ—τρίτης ἀδοξίας.

128. ὅτι Ποσειδῶνος ἦν ἀδελφὸς, ὃν πατέρα προσαγορεύει τὸν Δία πρὸς τιμήν.

130. ἐξ ἐμῆς ὑπάρχουσι "ἐξ ἐμῆς" ὡς τὸ "Μυρμιδόνων δ' "ἔξειμι."

132. τοῦτο μάλιστα Ποσειδῶν αἰτιᾶται, τάχα δὲ ὅτι καὶ περιπεμφθῆναι αὐτὸν ὑπὸ ἄλλων οὐκ ὑπ' ἐκείνων ἔδει.

138. οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, πρὸς γὰρ τὸ ἑξῆς ἐστιν, ἢ παρέλκει.

144. τὸ ἑξῆς, οὔτι εἴ βίῃ τῇ σῇ καὶ κάρτεϊ εἴκων—ἐν σοὶ ζῇ τιμωρία τοῦ ἀτιμάζοντός σε.

152. οὕτως ἀμφικαλύψαι· καὶ ἀπὸ κοινοῦ τὸ ἐθέλω.

156. ποιῆσαι τὴν νῆα λίθον.

163. ὃς τὴν ναῦν ἀπελίθωσεν.

173. ὅτι ἐκ τοῦ τόπου τούτου μετάκεινται εἰς τὰ κατ' ἀρχὴν

πρὸς Ὀδυσσέα ὑπὸ Ἀλκινόου λεγόμενα, οὐκ ὀρθῶς· εἰ γὰρ ἐμέμνητο τοῦ χρ. οὐκ ἂν ἀπεκ. ὁ Ὀδ.

177. βαρυντέον τὴν ἡμῖν.

183. ἐκ τ. πρ. καὶ τὸ δεύτερον—ἀπόλυτος ἡ ἡμῖν.

195. τραχεῖαν ἄτραπον.

199. τοὺς δύο μηροὺς ἔπληξε ταῖς δύο χερσίν.

211. ὑποπτεύει κατὰ τῶν ἐκείνων κέλευσιν ἐκτεθεῖσθαί που.

213. ἀπόλυτος ἡ σφέας.

214. οὕτως τίνυται, τιμωρεῖ, κολάζει.

215. περι   ἀγωγὴν— ἢ ὡς μέλλων ὡς ἀναλωθέν.

Ib. ἐκ γὰρ τῆς ἐκπλήξεως οὐ προσέσχε τῷ δεσμῷ τῆς Κίρκης·

τόν ποτέ μιν δέδαεν φρεσὶ πότνια Κίρκη.

222. εἰκάζει. θηλείας δὲ ἄρρεσιν.

223. —εἰλιπόδεσσιν· καὶ Αἰνείας παρ' Ἀχιλλεὺς, (sic) ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσιν.

226. διὰ τ. ηλ. εἰκότως.

234. ἔνθα δὲ ὁ η̄ ἐρωτηματικὸς, διὸ περισπασθήσεται· ἐπὶ δὲ τοῦ Κύκλωπος ἀποφατικὸς, διὸ ὀξύνεται.

235. λείπει ἡ ἐξ ἔγκειται. οἷον Χερσόνησος περιοριζομένη θαλάσσῃ.

242. ὁ ἤτοι πλεονάζει.

244. περὶ γὰρ τὸ γεῶδες τῆς Ἰθάκης εὔφορον.

Ib. ψεύδεται ἐγκωμιάζων τὴν νῆσον. τὰ γὰρ βουστάσια Ὀδυσσέως ἠπείρῳ ἦν.

247. ἀρδμοὶ, ποτιμοὶ, ἔνθα ποτίζουσι τὰ ζῶα. ἀρδμὸς, ἐκτατέον τὸ α ὁμοίως τὸ ἄρδω ὁ Ἀριστοφάνης.

254. εἰς τὸ ἐναντίον ἔστρεφεν.

266. ἀντὶ τοῦ βασιλεύων τῷ Ἰδομενεῖ.

270. λάθον δὲ ἑ θυμὸν ἀπηῦρα] Ἔλαθον πάντας ἐκεῖνον φονεύσας. οὐκ εἶπε δέ σφεας. μᾶλλον οὖν εἷς ἐστιν ὁ ἀνῃρημένος ὑπὸ δυοῖν ἐνεδρευόντων.

273. ἀπὸ τῶν ἐξ Ἰλίου λαφύρων. Ἀριστοφάνης ἤϊα τὰ βρώματα.

276. ἐγκλιτέον ἡ σφέας, διὸ τὴν τοι συλλαβὴν ἐγερτέον.

277. ἐπαινεῖ τ. Φοιν. ἵνα μὴ καὶ ὁ ἀκούων πονηρεύσηται.

279. οὕτως αἱ πᾶσαι. ἀπόλυτος δὲ ἡ ἡμῖν.

285. ἢ γὰρ ἂν ἔβαλον.

291. —ἐπεὶ οὐ παρελεύσεαι.

293. τινὲς δόλων ἄτερ, τοῖς ἑξῆς συνάπτοντες κακῶς αὐτό.

294. ὁ γὰρ ξένος διὰ τὸ εὐεπήραστον ἀναγκάζεται καὶ παραλογίζεσθαι ὡς ἐν ἀλλοτρίοις ὤν.

295. μύθων τε κλοπίων] Ἤτοι παιδόθεν φίλοι εἰσί.

296. ἄμφω] Ἐγώ τε καὶ συ. ἀμφότεροι ἀμφοτέρους ἰδόντες.

302. παρεσκεύασα εἶναί σε φίλον πάντων Φαιήκων.

320. Νοθεύονται—ἔχει τὸ τισὶν—ξείνοις—ἀνθρώποις.

322. ὡς ὅτε· ἢ ἀντὶ τοῦ πλὴν, δίχα.

330. οὐκ εὐεξαπάτητον, ἀλλὰ συνετόν.

332. οὔνεκ' ἐπήτης[υς] ἐσσὶ, χωρὶς τοῦ τε: τῇ δὲ προσῳδίᾳ ἀεικὴς φησὶν Ἀρίσταρχος, οὕτω δὲ καὶ Ἡρωδιανός· ἐπήτης ἤγουν λόγιος. καὶ ὡς ὁ λόγιος παρὰ τὸν λόγον, οὕτω καὶ ἐπήτης παρὰ τὸ ἔπος.

335. σοί δ' οὔπω φίλον] Οὐκ ἔστι σοι φίλον μαθεῖν τὴν σὴν ἄλοχον, ἐπιδημίαν τὴν σὴν. εἰ μήπω πρῶτον ταύτην πειράσεις, εἰ παρ' αὐτῆς ἧς γνώριμος.

351. καταειμένον] Κεκαλυμμένον, μεταφορικῶς ἀπὸ τῶν ἐσθητῶν.

357. ὔμμ'] Ὑμᾶς Αἰολικῶς.

359. ἀγελείη] Ἡ ἄγουσα τὰ λαφυραγώγια.

Ib. συγχωρήσῃ. τουτέστι ἐὰν ἐπιτρέψῃ μοι τὸ ζῆν ἡ Ἀθηνᾶ.

366. τὸ καθαρὸν ἀέρα ἔχον. ὁμοίως τῷ "ὅσον δ' ἠεροειδὲς "ἀνὴρ εἶδεν." ἄτοπον γὰρ θεοῖς σκότος ἀνακεῖσθαι κ. τ. λ.

368. ὁ χρυσὸς καὶ τὰ ἱμάτια ὅλων ἦν ἐν τῇ χηλῷ. τάχα οὖν διὰ τὸ βάρος σεσιωπημένως λέλυκε καὶ ἐχώρησεν αὐτὰ, ἵνα βαστάσῃ κατὰ μέρος.

380. —μένειν ἕως ἂν σὺ καταλάβῃς ἐν τῷ οἴκῳ σου.

388. ἔκδηλα, λαμπρά. μεταφορικῶς τὸ τεῖχος.

390. ὑπονόοιτο ὁ στίχος, διὰ τὸ μὴ ἔχειν ὑπερβολήν. ἐν τῇ λ γοῦν τῆς Ἰλιάδος πλείοσι τριακοσίων ἀνέστη καὶ παρούσης Ἀθηνᾶς.

399. ξανθὰς δ' ἐκ κεφαλῆς] Ἀθετοῦνται διὰ τὸ ἦθος ὡς ἕκα-

στον ἐπεξιέναι· ἀθετοῦνται μετὰ ἀστερίσκων ὡς τῶν ἑξῆς μετενηνεγμένων.

404. αὐτὸς δὲ πρώτιστα συβώτην] Ὁμοίως τῷ πρώην χρόνῳ ὡς ἀπ' ἀρχῆς καὶ νῦν. ἢ ὡς ὗς αὐτῷ συνήθης.

ἐπὶ
408. πεσὼν ἀπὸ τ. πετρ. ὡς οἱ Ἀττικοί. λέγει δ' οὖν τ. σ.

430. ὅτι ἐντεῦθεν οἱ ἄνω κατηνεγμένοι εἰσίν.

435. οἷον πεπορημένα καὶ ἠφανισμένα παρὰ τὸν μηρόν.

438. ἢ ἐκ σχοινίου. σχοίνιον ὁ ἀναφορεύς. παρεκρέμαστο (το).

Ξ.

Ὑπόθεσις. καὶ ποικίλη τις αὐτῶν—

V. 12. τὸ ἐγκάρδιον τῆς ἀντὶ περιφράγματος δρυός. τὸ μέλαν δρυὸς—ἤτοι τὸ δάσος al. marg. et mox τὸ μέλαν δρυὸς τὴν ἐντερ. φασὶν οὕτω καλουμένην. ὁ δὲ Ἀρίσταρχος τὸν φλοῦν—νοῆσαι.

21. θῆρας τοὺς λέοντας κατ' ἐξοχήν.

30. —εἰ μὲν διὰ τοῦ ω—διὰ τοῦ ντ προπαροξύνεται.

34. —σκυλεῦσαι.

41. ἧμαι· διατρίβω· ὡς τὸ "οἶμαι (sic) ἐνὶ Τροίῃ σέ τε "κήδων."

51. αὐτοῦ τοῦ συβώτου. ἐνεύναιον δὲ ἐφ' οὗ ηὐνάζετο. τὴν αὐτοῦ οὐκ οἶδεν πότε σύνθετον Ὅμηρος· τὸ δὲ ἐνεύναιον προπαροξυτόνως.

Ib. μέγα καὶ δασὺ] Οὐκ ἂν νῦν ἔφη δασὺ, εἴγε τὸ οἰονθάδος (sic) ἐδήλου δασέος.

56. —κεκαυμένος τὴν ψ.

61. τὸ ἑαυτοῦ συμβεβηκὸς κοινὸν πρὸς ἄλλους ποιεῖ.

65. ἀναστρεπτέον τὴν ἐπί.

66. οὐ παρὰ ποιητικῶς (sic) ἀλλὰ ἀορίστως. τὸ πεπιστευμένον αὐτῷ οἰκέτῃ εἰς πλεονασμὸν καὶ ἐπίδοσιν ἄγει.

68. τὸ ἑξῆς ἀπολέσθαι.—ὑπάρχοι ἀνεψιά—κατηρῶτο.

73. ψιλωτέον τὸ ἔθνεα καὶ τὸ ἔρχατο.

77. ὡς περὶ ἑτέρου. ἔστι δὲ ἐπὶ τοῦ Εὐμαίου. Ὁμηρικὴ δὲ ἡ φράσις.

81. σιτευτὸν γ. φοβ. θῦσαι· τοῦ σιτευτοῦ τροφιμώτερα.

87. ὁ δὲ πλεονάζει, ὁ δὲ τε ἀντὶ τοῦ καί.

89. τὸ οἶδε (sic ut in text. ex corr.): προπερισπαστέον. ἔστι γὰρ κατ' ἐπέκτασιν εἰρημένον καὶ ἀναφορικῶς κείμενον.

95. ὑπέρβιον] Πάνυ βιαίως ἡ πρὸς τὸ ζῆν οὐσία. γρ. ἀκήριον ἀντὶ τοῦ ἄθικτον ὡς αὐτῶν μὲν γὰρ κτήματ' ἀκήριον, ἢ ἀντὶ τοῦ ἀκέραιον.

96. οὐδενὶ τῶν ἡρώων τῆς ἠπείρου, οὐδενὶ τῶν ἡρώων τῆς Ἰθάκης ἐστὶν οὐσία τοσαύτη.

97. ἤπειρον νῦν τὴν ἀντιπέραιαν φησί.

98. ὁμουσικὸς ἀνδρῶν in marg. sup. lin. ὁμοῦ εἴκοσι.

99. ἔστ' ἄφενος] Ὅτε ἐστὶν ἐν ἀρχῇ στίχου παροξύνεται.

101. αἰπόλος ὁ τῶν αἰγῶν βοσκός· αἰπόλιον ἡ τῶν αἰγῶν ἀγελή. ἀγελὴ φησὶν ἓν σύστημα ὑπὸ ἑνὸς ἀνδρὸς ἀρχόμενον· ἄδηλον δὲ πόσων ζώων τὸ σύστημα.

102. ξεῖνοί τε καὶ αὐτοῦ βώτορες ἄνδρες] Ὁμοίως τὸ θῆτές τε δμῶές τε.

103. ἐνθάδετ'] Διχῶς ἐνθάδε καὶ ἐνθάδε sup. lin.

104. ἐσχατιῇ βόσκοντ'] Ἐσχάτην, οὕτως αἱ Ἀριστάρχου sup. lin.

112. δίχα τὸν σκύφον καὶ τὸ ξίφος.

113. ἐνίπλεον· προπαροξυτόνως.

115. τὸ ὄνομα ἐπιζητεῖ.

116. καρτερός· εἶπε γὰρ ὅτι ᾤχετο εἰς τὴν Ἴλιον.

118. εἴ πως αὐτὸν γνωρίσω τοιοῦτον ὄντα οἷον καὶ λέγεις.

120. εἰ ἰδὼν αὐτὸν ἀγγείλαιμι ἀμισθὶ, ἀψευδῶς.

123. πείσειε, τὸ εὐκτικὸν ἀντὶ ὁριστικοῦ, πείσειε, πείσει.

Ib. διὰ τούτου οὐδ' ἂν σὺ πιστευθείης.

132. —οὔθ' οὕτως πάντως.

133. ἀπὸ στεόφιν (sic in text.) in marg. οὕτως αἱ πᾶσαι σχεδόν.

138. τὸ ἑξῆς κήδεα τετεύχαται.

147. ἠθεῖον] Ἓν μέρος λόγου ἐστί· δηλοῖ δὲ τὸν πρεσβύτερον ἀδελφόν.

161. ἢ τοῦ δ' αὐτοῦ λυκάβαντος. οὐ δύναται γὰρ εἶναι ἡ αὐτοῦ ἀντωνυμία.—λυγέως βαίνειν.

166. τὴν αὐτὴν διάνοιαν καὶ Πηνελόπη φησὶ, δυσέλπις γεγονυῖα ὑπὸ τοῦ χρόνου.

168. ἀντὶ τοῦ καὶ ἄλλων παρεκτὸς μνημονεύσωμεν.

174. λείπει ἡ περὶ, περὶ παιδός.

γρ. χερείων

176. χερείω in text.

179. ἐν σχήματι, ὡς τὸ "γυναῖκά τε θήσατο μαζὸν. καὶ "οἷς "ὠτειλῆς αἷμ' ἀπολιχμήσονται."

195. ἐπὶ τὸ ἐργάζεσθαι πορεύοιντο.

199. ὁ Καλλίμαχος τὸν Κολ. θηλυκῶς καὶ πληθ.

202. ἐξ ἀλόχου] Γρ. ἐξ ἀλόχοιο.

203. πιθανῶς τοῦτο, ἵνα δόξῃ ὅμοιος εἶναι τῷ ξενοδόχῳ συβώτῃ· ἄλλως πιστεύεσθαι βουλ.

214. κατανοῆσθαι.

223. αἶψα δέ οἱ οἶκος.

226. λυγρὰ] Κατὰ πάντων τὸ λυγρά. πόλεμοι καὶ ἄκοντες καὶ ὀϊστοὶ, ἅπερ εἰσὶ λυγρά.

228. ἄλλος γάρ τ' ἄλλοισιν] Τοῦτο Ἀρχίλοχος μετὰ φράσεως (sic) "ἄλλος ἄλλῳ κραδίην γένηται."

232. μενοεικέα· τὰ τῷ μένει μου ἐοικότα.

246. ὅτι ὁμωνύμως τὸν ποταμὸν καὶ τὴν χῶραν. νῦν δὲ τὴν χῶραν.

248. διὰ τοῦ ε ὁ ναυτικὸς λαός.

249. ἑξῆμαρ πρὸ τοῦ πλοῦ.

253. ἐπιτηδείως καὶ καθαρῶς.

278. Σέθως τότε ἐβασ.

300. τὸ μέσον πέλαγος ὑπερβᾶσα τὴν Κρήτην.

307. θεαφείου (sic) θεῖον λέγει πῦρ ἐξ ὕλης τινος ἀναπτομένης θειώδους ὀνομαζόμενον.

311. ᾧ οὐκ ἔστι μῆκος παραβαλεῖν. καὶ χίμαιραν θρέψεν ἀμαιμακέτην, ᾗ οὐκ ἔστι μέγεθος παραβαλεῖν.

317. —ὡς ἐλεύθερον.

318. αἴθρῳ καὶ καμάτῳ. οὕτως Ἀρίσταρχος, Ζηνόδοτος, Ἀριστοφάνης.

321. λείπει ἡ περί. πολλὴν ἂν ὑπόνοιαν Εὐμαίῳ παρέσχε

τῆς ἑαυτοῦ ἐπιγνώσεως, εἰ εἶπεν ὅτι καὶ ἐθεάσατο τὸν Ὀδυσσέα.

325. βόσκει Schol. τὰ χρήματα βόσκει, ἂν μέχρι δεκάτης γενεᾶς ἕτερον ἐξ ἑτέρου διαδεχόμενον παρὰ πατρὸς παῖδα. ἢ οὕτως· ἄλλον καὶ πάλιν ἄλλον, ὅ ἐστι ἕως δέκα γενεῶν, ὅ ἐστι τετή (sic, i. e. τ ἔτη).

327. τὸν δ' ἐς Δωδώνην] Δωδῶνα νῦν τὴν Θεσπρωτιακὴν, ἔνθα τὸ μαντεῖον ἦν τοῦ Διός. ἑτέρα δέ ἐστι ἡ Θεσσαλιακὴ, ἀφ' ἧς Ἀχιλλεὺς καλεῖ τὸν Δία,

Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ.

328. ἐπακούσῃ[αι] in text. παροξυτόνως τὸ ἐπακοῦσαι. ἐπακούσῃ Ἀρίσταρχος, Ἀριστοφάνης ἐπακοῦσαι.

332. κατειρῦσθαι in text. in marg. παρακειμένου ἐστι, διὸ παροξύνεται.

334. ἀντὶ τοῦ ἀπερχομένη μελλοῦσα ἀπιέναι· ὅ ἐστι συνέβη ἄνδρας Θεσπρώτους θέλειν ἀποπλεῦσαι εἰς τὸ Δουλίχιον.

336. ὡς ἐμοῦ δηλονότι τοῦτο αἰτησαμένου.

338. Ἀριστοφάνης, δύῃ ἐπὶ πῆμα γένηται, ἀντὶ τοῦ ἐπὶ τῇ δύῃ· ἵνα μοι πῆμα ἄλλο γένηται· δύναται δὲ λείπειν ἡ ἐξ, ἵν' ᾖ ἐκ τῆς δύης ἐπὶ βλάβην ἔλθοιμι.

348. γναπτὸν λέγεται τὸ ἐπικαμπὲς καὶ ὥσπερ εἰς ἑαυτὸ καμπυλοειδῶς νεῦον. ἐξ οὗ δὴ τὸ ἀνέγναψαν. ἤτοι ἀπὸ τοῦ γναπτοῦ ἐποίησαν καὶ διέλυσαν τὸν σχοῖνον.

356. μαίεσθαι, ἐπιζητεῖν τὴν ἐμὴν εὕρεσιν.

361. ἆ δειλὲ] Τὸ ᾱ θαυμαστικὸν, ἀντὶ τοῦ, τί ὦ δειλὲ καὶ ἄθλιε πλέον τῶν ἄλλων ξένων.

366. ὅτε ἤχθετο ὁ νόστος δηλονότι.

375. καὶ ὧδε καὶ ἐν τοῖς ἑξῆς δύο στίχοις τὸ ἄρθρον ἐστί.

383. —τὰς ῥαπτρίας.

384. θέρος ὅτε θερίζεται ὁ σῖτος· ὀπώρη, ὅτε τρυγᾶται ἡ ὀπώρα· νῦν δὲ τὸ φθινόπωρον.

392. —εἰς πειθώ. ἔφερόν σε εἰς τὸν ἐμὸν λόγον.

394. ἀντὶ τοῦ μάρτυρες· ἡ γὰρ εὐθεῖα ὁ μάρτυρος.

402. ὡς ἐν ἤθει συλλήβδην καὶ νῦν καὶ ὕστερον.

406. —ἐάν κεν ἀδικήσω.

415. τηλεδαπῷ] Πόρρωθεν ἀφιγμένῳ ἢ ξένῳ.

Ib. ὀϊζὺς, ἔστιν οι ἐπίρρημα.

425. ἀπὸ τοῦ κέω—κειάμενοι—σχίζη λέγεται τὸ ἀποσχισθὲν μέρος τοῦ ξύλου.

429. —καταπάσας αὐτὰ τῷ ἀλεύρῳ, παλύνας ἀλφίτου ἀκτὴν, ἐπιπάσας, ἵνα καὶ ἐκ τοῦ ἄρτου ἀπάρχωνται.

432. ἐλεοῖσιν in text. δασύνεται τὸ ἑλεοῖσιν in marg.

Ib. ἂν δὲ συβώτης] Ἀνίστατο δὲ ὁ συβώτης μαγειρεύσων.

435. —θύειν φησι om. αὐτοὺς, mox ποιμένων.

Ib. ταύτην οἱ νεώτεροι Ἄτλαντος παῖδά φασι.

447. καὶ τοῦτο ἐξ ἐπαναλήψεως ἐπ' αὐτοῦ τοῦ Ὀδυσσέως.

468. ἔνθεν δῆλον ὅτι.

477. ἡ πηγν. τὰ σώματα. ἡ χιὼν δρωσώδης ἐστὶ—πηγνυμένη.

482. Νῦν προφανῶς ζῶμα τὸν χιτῶνα φησὶ, ὡς διὰ τῶν ἑξῆς δῆλον. παρά μ' ἤπαφε δαίμων οἰοχίτων' ἔμμεναι. τινὲς δὲ ζῶμα φαεινὸν τὸν σιδηροῦν χιτῶνα.

485. ἀλλεπάλληλοι om. ἐπεὶ ἅμα τῷ διπλ.

490. —ἀκούσας ὧν εἶπον. περί τε τὰς αὐλάς.

495. κλῦτε φίλοι, θεῖός μοι· ἀθετεῖται ὡς ἐκ τῆς Ἰλιάδος μετενηνεγμένος· γελοῖον δὲ εἰπεῖν καὶ τὸν ἐν λόχῳ καθυπνωκέναι· ὁ δὲ νοῦς, θεῖός μοι ὄνειρος ἐφάνη. λοιπὸν τὰ παρὰ τοῦ ὀνείρου ῥηθέντα ἐπάγει, ἐπειδὴ τῶν νηῶν πόρρω ἔσμεν, ἀπέλθῃ τις καὶ εἴπῃ τῷ Ἀγαμέμνονι πλείους ἡμῖν ἀπὸ τῶν νεῶν πέμψαι συμμάχους, ἵνα μὴ πόρρωθεν ὄντες τῶν ὁμοφύλων ὀλίγοι ὑπάρχοντες, βλαβῶμεν ὑπὸ τῶν πολεμίων.

496. τινὲς φασὶν ἐνίους ἠγνοηκότας ἔθος τοῦ ποιητοῦ, ὅτι ἔθος ἐστὶν αὐτῷ ἀπὸ γὰρ ἄρχεσθαι διὰ τὸ πεπλακέναι τὸν στίχον.

